19454

FR XVI/35

CB 100 1951409

G. de Dartein. 1859.

30 l. Justinien ℓ'

# INSTITVTIONES IVRIS CIVILIS,

*

*Per Theophilum Antecessorem in Græcam linguam traductæ, ac fusiùs explicatæ,*

Cura ac studio Viglij Zuichemi primùm in lucem editæ: nunc verò à Ludouico Mirzo emendatiores redditæ, addita Latina interpretatione Iac. Curtij Brugensis I. C.

*Præter typum graduum cognationum à Francisco Roaldo I. C. celeberrimo restitutum, subiunximus & alios ab eodem I. C. delineatos, quibus integra l. Iurisconsultus plana ac dilucida redditur.*

QVOD TIBI FIERI NON VIS ALTERI NE FECERIS

LVGDVNI,
APVD IOAN. TORNAESIVM,
TYPOGR. REGIVM.
M. D. LXXX.

# IO. TORNÆSIVS STVDIOSO LECTORI S.

*

IAM tandem habes à nobis Institutiones Theophili cum latina interpretatione, tamdiu à te expetitas & expectatas. Quòd eas in manibus habeamus, præcipua gratia debetur Viglio Zuichemo Phrysio, qui magno studio, ac diligentia prope singulari, primam earum editionem procurauit, varijs exemplaribus inter se collatis, vt ipse in epistola ad Carolũ V. luculentè scripsit, in qua apertè indicat, quanti momenti iuris studiosis possint esse lucubrationes Græcorum. Pater meus cùm cuperet has Institutiones in tui gratiam minori formâ excudere, ac è regione addere Curtij interpretationem, quòd videret id à quamplurimis probari, neque à Viglio improbari

(quem

(quem etiam de ijs vertendis consilium cepisse constat) perlegendũ dedit Græcum Theophilum, & eius versionem, Ludouico Miræo, viro sanè diligenti ac erudito, qui tunc tẽporis, in emendandis libris qui edebãtur, nobis operam præbebat. Is cùm patri morem gessisset, cœpta est hęc nostra editio, sed statim, ac in ipso limine, intermissa, cùm Miræus vitam cum morte commutasset. Hanc mortem paulo post secutum est bellum ciuile: bellũ verò lues illa pestifera anni M. D. LXIIII. quæ maximã Lugduni stragem edidit. Quàm ater, quàm infaustus mihi fuerit annus ille, dici non potest. Cohorresco cùm eius recordatio subit. Familia nostra, quæ ex quindecim constabat, quot videlicet Madaurensis in familia esse putat, ad duas redacta fuit. Atque ego relictus, qui parentum, adgnatorum, cognatorum & adfinium obitum deflerem. In his, proh dolor, amisi patrem: patrẽ, inquam, cui plus debebam, quàm vllus alius vmquam patri suo debuerit, tum ob eius in me verè paternum amorẽ, tum etiam ob assiduam de me curam, quæ eum iugiter exercebat. Neque verò me solum afflixit hæc

acerba mors, verum etiam omnes viros frugi, qui eum nouerant, ac omnes litteratos. Nec immerito. Quantopere enim studuerit, quandiu vixit, rem litterariam iuuare, nosse licet ex varijs ac laboriosis librorum editionibus, quos suis typis excusit, tũ suo nomine, tũ etiã nomine ac impensis Seb. Gryphij, typographi de litteris, si quisquã alius, benemeriti, ab anno videlicet M. D. XL. ad LVI. Vix recreabamur ab illa peste, cùm nec opinantibus superuenit secundum bellum ciuile, ac deinde aliud ex alio, velut vnda superuenit vndam. Nec adhuc sedati sunt fluctus. Hoc te volui scire, ne mihi paulo durius succenseres, quòd tãdiu carueris hac editione. Cùm licuit, eam denuo prælo commisi, nec destiti, donec opus cõsummatum viderem. Typus graduum cognationis me aliquandiu suspensum habuit, quòd à paucis viderem probari eos, qui hucusque editi sunt, quamuis nonnulli à doctissimis viris sint delineati: sed in ea hæsitatione oportunè apparuerũt Ledæ filij. Clariss. vir Fr. Roaldus, I. C. nulli nostræ ætatis postponendus, ab Italia rediens cogitur hîc cõmorari, donec certior fiat de rebus

Aqui

Aquitanicis: Sicq; eius dispendium mihi compendio fuit. Peto ab eo, vt dignetur typũ cognationis describere ex sententia Iustiniani. Is, vt est mihi amicissimus, quod in primis bonis duco, ac in rem litterariam propensissimus, non solùm descripsit typum Institutionum, sed etiã eos quibus explanatur l. Iurisconsultus. Hos autẽ, eruditissimi illius viri iudicium secutus, subiunxi ad calcem Institutionum, cum breui ac dilucida eorum expositione. Itaque hanc habes à nobis editionem omnibus numeris absolutam, quam cupio à te probari, nobisq; ob id gratulari. Ne integram eius laudem arripere viderer, volui tibi indicare eos, qui aut vigilias suas, aut studiũ in hunc librum attulerunt. Tu eis, aut eorũ memoriæ gratiam habebis. Bene Vale.

Lug. Idib. Aug.
1580.

# ΤΙΤΛΟΙ ΤΩΝ ΤΕΣΣΑ-ρων βιβλίων τῶν Ἰνστιτούτων Ἰουστινιανοῦ.

Διάταξις βεβαιοῦσα τὰ ἰνστιτοῦτα.

## ΤΗΣ α ΙΝΣΤΙΤΟΥΤΖΙΩΝΟΣ.

α Περὶ δικαιοσύνης καὶ νόμου.
β Περὶ νόμου φυσικοῦ, ἐθνικοῦ, καὶ πολιτικοῦ.
γ Περὶ νόμου προσωπικοῦ.
δ Περὶ δουλείας.
ε Περὶ ἀπελευθέρων.
ϛ Τίνες καὶ ἐκ ποίων αἰτιῶν ἐλευθεροῦν οὐ δύνανται.
ζ Περὶ νόμου Φουσίου ἀναιρέσεως.
η Τίνες ἰδίου ἢ ἀλλοτρίου δικαίου εἰσίν.
θ Περὶ πατρικῆς ἐξουσίας.
ι Περὶ γάμου.
ια Περὶ υἱοθεσιῶν.
ιβ Ποίοις τρόποις τὸ ὑπεξούσιον διαλύεται.
ιγ Περὶ ἐπιτροπῶν.
ιδ Τίνες δίδοσθαι ἐπίτροποι ἐν ταῖς διαθήκαις δύνανται.
ιε Περὶ νομίμων συγγενῶν ἐπιτροπεύσεως.
ιϛ Περὶ ἀρχῆς ἐλαττουμένης.
ιζ Περὶ νομίμου πατρώνων ἐπιτροπεύσεως.
ιη Περὶ νομίμου γονέων ἐπιτροπεύσεως.
ιθ Περὶ τεθαρρημένης ἐπιτροπῆς.

Περὶ

# TITVLI QVATVOR Librorum Institutionum D. Iustiniani.

Procemium Institutionum.

## LIBRI I.

I. *De iustitia & iure.*
II. *De iure naturali, gentium, & ciuili.*
III. *De iure personarum.*
IIII. *De ingenuis.*
V. *De libertinis.*
VI. *Quibus ex causis manumittere non licet.*
VII. *De lege Fusia Caninia tollenda.*
VIII. *De his qui sui sunt vel alieni iuris.*
IX. *De patria potestate.*
X. *De nuptijs.*
XI. *De adoptionibus.*
XII. *Quibus modis ius patriae potestatis soluitur.*
XIII. *De tutelis.*
XIIII. *Qui testamēto tutores dari possunt.*
XV. *De legitima agnatorum tutela.*
XVI. *De capitis diminutione.*
XVII. *De legitima patronorum tutela.*
XVIII. *De legitima parentum tutela.*
XIX. *De fiduciaria tutela.*

κ Περὶ ἀτιλιανοῦ ἐπιτρόπου ἢ ἐκ τοῦ νόμου ἰουλίου καὶ τιτίου διδομένου.
κα Περὶ αὐτενθείας ἐπιτρόπων.
κβ Τίσι τρόποις ἡ ἐπιτροπὴ διαλύεται.
κγ Περὶ τῶν κουρατώρων.
κδ Περὶ τῆς ἐγγύης τῶν ἐπιτρόπων καὶ κουρατώρων.
κε Περὶ παραιτήσεως τῶν ἐπιτρόπων καὶ κουρατώρων.
κϛ Περὶ ὑπόπτων ἐπιτρόπων καὶ κουρατώρων.

## ΤΗΣ β ΙΝΣΤΙΤΟΥΤ.

α Περὶ πραγμάτων διαιρέσεως.
β Περὶ πραγμάτων σωματικῶν καὶ ἀσωμάτων.
γ Περὶ δουλείας ἀγροῦ.
δ Περὶ χρήσεως καρπῶν.
ε Περὶ χρήσεως καὶ οἰκήσεως.
ϛ Περὶ τῶν ἐν χρήσει λαμβανομένων καὶ μακροῦ χρόνου διακατεχομένων.
ζ Περὶ δωρεῶν.
η Τίσιν ἐκποιεῖν ἔξεστιν ἢ οὐκ.
θ Διὰ ποίων προσώπων ἡμῖν προσπορίζεται.
ι Περὶ διαθήκης κατασκευάσεως.
ια Περὶ στρατιωτικῆς διαθήκης.
ιβ Τίνες οὐ συγχωροῦνται διαθήκας ποιεῖν.

Περὶ

XX. De Atiliano tutore, & eo qui ex lege Iulia & Titia dabatur.
XXI. De authoritate tutorum.
XXII. Quibus modis tutela finitur.
XXIII. De curatoribus.
XXIIII. De satisdatione tutorum vel curatorum.
XXV. De excusationibus tutorum vel curatorum.
XXVI. De suspectis tutoribus vel curatoribus.

LIBRI II.

I. De rerum diuisione, & acquirendo ipsarum dominio.
II. De rebus corporalibus & incorporalibus.
III. De seruitutibus prædiorum.
IIII. De vsufructu.
V. De vsu & habitatione.
VI. De vsucapionibus & longi temporis præscriptionibus.
VII. De donationibus.
VIII. Quibus alienare licet vel non.
IX. Per quas personas nobis acquiritur.
X. De testamentis ordinandis.
XI. De militari testamento.
XII. Quibus non est permissum facere testamentum.

ιγ Περὶ ἀποκλήρων παίδων.
ιδ Περὶ τῆς τῶν κληρονόμων ἐνστάσεως.
ιε Περὶ χωρικῆς ὑποκαταστάσεως.
ιϛ Περὶ ὀρφανικῆς ὑποκαταστάσεως.
ιζ Ποίοις τρόποις αἱ διαθῆκαι ἀκυροῦνται.
ιη Περὶ ἀτάκτου διαθήκης.
ιθ Περὶ κληρονόμων ποιότητος καὶ διαφορᾶς.
κ Περὶ ληγάτων.
κα Περὶ ἀφαιρέσεως τῶν ληγάτων.
κβ Περὶ νόμου φαλκιδίου.
κγ Περὶ τῶν ἐν πίστει καταλιμπανομένων κληρονομιῶν, καὶ τοῦ θεσπίσματος τρεβελλιανείου.
κδ Περὶ ἰδικῶν πραγμάτων τῶν διὰ τοῦ φιδεϊκομμίσσου καταλιμπανομένων.
κε Περὶ τῶν κωδικέλλων.

## ΤΗΣ γ ΙΝΣΤΙΤΟΥΤ.

α Περὶ κληρονομιῶν τῶν ἐξ ἀδιαθέτου προσφερομένων.
β Περὶ τῆς νομίμου τῆς κατ' ἀρρενογενείαν διαδοχῆς.
γ Περὶ συγκλήτου δόγματος τοῦ τερτυλλιανείου.
δ Περὶ συγκλήτου δόγματος ὀρφιτιανείου.
ε Περὶ διαδοχῆς τῆς κατὰ θηλυγενείαν.
ϛ Περὶ βαθμῶν τῆς συγγενείας.
ζ Περὶ συγγενείας ἀπελευθέρων.

Περὶ

XIII. *De exheredatione liberorum.*
XIIII. *De heredibus instituendis.*
XV. *De vulgari substitutione.*
XVI. *De pupillari substitutione.*
XVII. *Quibus modis testamenta infirmentur.*
XVIII. *De inofficioso testamento.*
XIX. *De heredũ qualitate & differẽtia.*
XX. *De legatis.*
XXI. *De ademptione legatorum.*
XXII. *De lege falcidia.*
XXIII. *De fideicommissarijs hereditatibus, & ad senatusconsultum Trebellianum.*
XXIIII. *De singulis rebus per fideicommissum relictis.*
XXV. *De codicillis.*

LIBRI III.

I. *De hereditatibus quæ ab intestato deferuntur.*
II. *De legitima agnatorum successione.*
III. *De senatusconsulto Tertulliano.*
IIII. *De senatusconsulto Orphitiano.*
V. *De successione cognatorum.*
VI. *De gradibus cognationum.*
VII. *De successione libertorum.*

De

η Περὶ προσκυρώσεως ἀπελευθέρων.
θ Περὶ τῆς πραιτωρίας διαδοχῆς.
ι Περὶ προσπορισμοῦ διὰ υἱοθεσίαν.
ια Περὶ τοῦ ὅτι τῇ τῶν ἐλευθεριῶν αἰτίᾳ τὰ πράγματα ἐπιζητοῦνται.
ιβ Περὶ διαδοχῶν ὑφαιρεθεισῶν, τῶν γινομένων ἐκ πραγμάτων διὰ πράσεως, καὶ θεσπίσματος κλαυδιανοῦ.
ιγ Περὶ ἐνοχῶν.
ιδ Τίσι τρόποις ἡ ἐν πράγμασι συναλλάττεται ἐνοχή.
ιε Περὶ τῆς ἐν λόγοις ἐνοχῆς.
ις Περὶ δύο ῥέων στιπουλάνδων καὶ προμιττένδων.
ιζ Περὶ ἐπερωτήσεως δούλων.
ιη Περὶ διαιρέσεως ἐπερωτήσεων.
ιθ Περὶ ἀχρηστίμων ἐπερωτήσεων.
κ Περὶ ἐγγυητῶν.
κα Περὶ τῆς ἐν γράμμασιν ἐνοχῆς.
κβ Περὶ συναινετικῆς ἐνοχῆς.
κγ Περὶ ἀγορασίας καὶ πράσεως.
κδ Περὶ μισθώσεως καὶ ἐκμισθώσεως.
κε Περὶ κοινωνίας.
κς Περὶ μανδάτου ἤγουν ἐντάλματος.
κζ Περὶ ἐνοχῆς ὡσανεὶ ἀπὸ συναλλάγματος.
κη Διὰ ποίων ἡμῖν προσώπων ἡ ἐνοχὴ ἐπιζητεῖται.

Τίσι

VIII. De aßignatione libertorum.
IX. De bonorum possessionibus.
X. De acquisitione per arrogationem.
XI. De eo cui libertatis causa bona addicuntur.
XII. De succeßionibus sublatis quæ fiebant per bonorum vẽditiones, & Senatusconsulto Claudiano.
XIII. De obligationibus.
XIIII. Quibus modis re contrahitur obligatio.
XV. De verborum obligationibus.
XVI. De duobus reis stipulandi & promittendi.
XVII. De stipulatione seruorum.
XVIII. De diuisione stipulationum.
XIX. De inutilibus stipulationibus.
XX. De fideiussoribus.
XXI. De litterarum obligatione.
XXII. De obligationibus ex consensu.
XXIII. De emptione & venditione.
XXIIII. De locatione & conductione.
XXV. De societate.
XXVI. De mandato.
XXVII. De obligationibus quæ quasi ex cõtractu nascuntur.
XXVIII. Per quas personas nobis obligatio acquiritur.

Quibus

κθ Τίσι τρόποις ἡ ἐνοχὴ λύεται.

## ΤΗΣ δ ΙΝΣΤΙΤΟΥΤ.

α Περὶ ἐνοχῶν τῶν ἀπὸ ἁμαρτίας γινωμένων ἤτοι φυομένων.
β Περὶ τῶν βίᾳ τὰ ἀλλότρια ἁρπαζόντων.
γ Περὶ νόμου ἀκυιλίου.
δ Περὶ ὕβρεως.
ε Περὶ ἐνοχῶν ὡσανεὶ ἀπὸ ἁμαρτίας φυομένων.
ϛ Περὶ ἀγωγῶν.
ζ Περὶ πεκουλίου.
η Περὶ βλαβερᾶς ἀγωγῆς.
θ Ἐὰν τὸ τετράποδον ζημίαν ποιήσῃ λέγεται.
ι Περὶ ὧν τὰς ἀγωγὰς κινεῖν δυνάμεθα.
ια Περὶ ἱκανοδοσιῶν.
ιβ Περὶ διηνεκῶν καὶ προσκαίρων ἀγωγῶν, καὶ τῶν πρὸς τοὺς κληρονόμους, ἢ ἐν τοῖς κληρονόμοις διαβαινουσῶν.
ιγ Περὶ παραγραφῆς.
ιδ Περὶ ἀναπλοκῶν.
ιε Περὶ τῶν διαλέξεων.
ιϛ Περὶ τιμωρίας καὶ φόβου τῶν δικαζομένων.
ιζ Περὶ τάξεως τῶν δικαστῶν.
ιη Περὶ δημοσίων δικαστηρίων.

ΤΕΛΟΣ.

XXIX. *Quibus modis tollitur obligatio.*

LIBRI IIII.

I. *De obligationibus quæ ex delicto na scuntur.*
II. *De vi bonorum raptorum.*
III. *De lege Aquilia.*
IIII. *De iniurijs.*
V. *De obligationibus quæ quasi ex de licto nascuntur.*
VI. *De actionibus.*
VII. *Quod cum eo qui in aliena potesta te est, negociũ gestum esse dicitur.*
VIII *De noxalibus actionibus.*
IX. *Si quadrupes pauperiem fecisse di catur.*
X. *De his per quos agere possumus.*
XI. *De satisdationibus.*
XII. *De perpetuis & temporalibus actio nibus, & quæ ad hæredes & con tra hæredes transeunt.*
XIII. *De exceptionibus.*
XIIII. *De replicationibus.*
XV. *De interdictis.*
XVI. *De pœna temere litigantium.*
XVII. *De officio iudicis.*
XVIII. *De publicis iudicijs.*

FINIS.

# Η ΔΙΑΤΑΞΙΣ Η ΒΕΒΑΙΟΥΣΑ ΤΑ ΙΝΣΤΙΤΟΥΤΑ.

*

# CONSTITVTIO QVA CONFIRMANTVR INSTITVTA.

*

IMperatoriæ maiestati proprium est, non solum armis decorari, sed etiam legibus armari: vt vtrumq; tempus, & belli & pacis recte gubernetur: ac princeps Romanus victoriam reportet, non tãtum fusis cõgressu hostibus nomẽ sibi cõparans, sed etiam per legales adinuentiones calumniatorum iniquitates expellẽs. Atq; tam iure constituẽdo venerabilem se præbeat, quàm de victis hostibus triumphet.
¶ Horum vtranq; viam cũ summis vi-

Βασιλικῆς μεγαλοφροσύνης ἐστὶν ἴδιον οὐ μόνον ὅπλοις κοσμεῖσθαι, ἀλλὰ καὶ νόμοις ὁπλίζεσθαι. ὥς τε ἑκάτερον, καὶ τὸν τοῦ πολέμου, καὶ τὸν τῆς εἰρήνης καιρὸν, ὀρθῶς κυβερνᾶσθαι. καὶ ὁ Ῥωμαίων βασιλεὺς ἀποφέρεται νίκας, οὐ μόνον ἐν ταῖς τῶν πολεμίων συμπλοκαῖς εὐδοκιμῶν, ἀλλὰ καὶ νομίμοις ἐπινοίαις, τὰς τῶν συκοφαντῶν ἀδικίας ἐξωθῶν. καὶ γένοιτο μὴ ἐν νόμοις σεβάσμιος, θριαμβεύοι ἢ τῶν πολεμίων κρατήσας. ¶ Τούτων ἑκατέραν τὴν ὁδὸν ἀγρυπνίαις ὑπερβο- 6. Quorum vtranque.

a λαῖς,

λαῖς, καὶ μεγίστῃ προμηθείᾳ τῶν ἐσομένων, θεοῦ συνεργοῦντος ὁ ἡμέτερος ἤνυσε βασιλεύς. καὶ τοὺς μὲν ἐν πολέμοις ἱδρῶτας αὐτοῦ, τὰ βαρβαρικὰ ἔθνη δουλωθέντα κηρύττει, πεῖραν μαθόντα τὰ τοῦ κρείττονα. καὶ τοῦτο μὲν Ἀφρική, τοῦτο δὲ καὶ ἑτέραι τὸ πλῆθος ἀναρίθμητοι ἐπαρχίαι, μετὰ πολλὰς ἐνιαυτῶν περιόδους, ταῖς αὐτοῦ νίκαις, ἄνωθεν φιλοτιμηθεῖσαι πάλιν, τῇ Ῥωμαίων ἀρχῇ, καὶ τῇ αὐτοῦ προστεθεῖσαι βασιλείᾳ βοῶσιν. ἅπας δὲ δῆμος, ὑπὸ νόμων ἐκφωνηθέντων τε ὑπ' αὐτοῦ καὶ συντεθέντων ἰθύνεται, καθὸ καὶ νόμος αὐτός. καὶ τὰς μὲν βασιλικὰς διατάξεις πάλαι συγκεχυμένας, καὶ μαχομένας ἀλλήλαις, εἰς σαφεστάτην ἤγαγε συμφωνίαν. τριῶν δὲ ὄντων κωδίκων, τοῦ τε Γρηγοριανοῦ φημί, καὶ Ἑρμογενιανοῦ, καὶ Θεοδοσιανοῦ, προσέτι δὲ καὶ ἄλλων πολλῶν διατάξεων, αἳ μετὰ τὸν Θεοδοσιανὸν ἐτέθησαν, καὶ πολλῆς οὔσης ἐν ταῖς ἐμφερομέ-

giliis, maximaq; rerum futurarũ prouidentia, Deo iuuãte Imperator noster cõfecit. Et bellicos quidem sudores eius Barbaræ gẽtes sub iugum missæ testantur, re ipsa fortiorem potentioremq; expertæ: & tam Africa, quàm aliȩ innumerȩ prouinciæ post multas annorum circumuolutiones: victoriis eius à cælesti numine præstitis, iterum Romanȩ ditioni & imperio ipsi⁹ additæ clamãt. Porrò & omnes populi legib⁹ ab ipso editis & compositis reguntur: quasi ipse lex sit. Et principũ quidem cõstitutiones, quæ olim confusȩ iacebant & inter se pugnabant, in luculentissimã erexit cõsonantiã. Cùm autẽ tres essent Codices, Gregorianus, Hermogenianus, & Theodosianus: ad hæc & multæ extarẽt aliȩ constitutiones, quæ post Theodosianum Codicem fuerãt emissȩ: ac magna etiam esset con

trar

trarietas, atque discordia îter eas, quę in præfata volumina erant relatæ: optim⁹ hic noster & maximus Princeps, resectis his, quæ aut inutiles erant, aut eadem repetebant, aut cum aliis, quarum iure vtimur, pugnabant: Codicem iussit conscribi, quem de suę serenitatis nomine vocauit. Sed & his non contentus, ad immensa veterum legũ volumina curam suam extendit, & opus quod omnem spem vincebat, veluti per medium pelagus incedens, Deo fauente correxit, & probatas receptasq; , vel eorum sententias vno libro conclusit. ¶ Atq; id cùm peractum esset, Triboniano gloriosissimo magistro & exquęstore sacri Palatii, necnon Theophilo, Dorotheoq; viris illustribus & Antecessorib⁹, quorum omnium solertiam & legum scientiã, ac in Principum iussis fidem

ναις διατάξεσι, τοῖς εἰρημένοις συντάγμασιν, ἐναντιώσεως, ὁ κράτιστος ἡμῶν βασιλεύς, τὰς ἀχρήστους, καὶ τὰ αὐτὰ λεγούσας, καὶ τὰς ταῖς κρατούσαις μαχομένας, περιαιρεθῆναι παρακελευσάμενος, κώδικα ἐκέλευσε συγγραφῆναι, ὁμώνυμον τῇ αὐτοῦ γαληνότητι. ἠξίωσε δὲ τῆς οἰκείας φροντίδος, καὶ τὰ ἀναρίθμητα τῶν πάλαι νομικῶν βιβλία. καὶ πρᾶγμα πάσης κρεῖττον ἐλπίδος, ὥσπερ διὰ μέσου βαδίζων πελάγους, θεοῦ κατώρθωσεν εὐνοίᾳ, καὶ τὰς εὐδοκιμούσας τῶν παλαιῶν γνώμας, ἐν ἑνὶ συνήγαγε βιβλίῳ. ¶Τοῦτο δὲ πρᾶξαι, Τριβουνιανῷ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ, καὶ ἀπὸ κοιαιστώρων τοῦ θείου παλατίου προσέταξεν. οὐ μὴν ἀλλὰ καὶ Θεοφίλῳ καὶ Δωροθέῳ, ἀνδράσιν ἰλλουστρίοις τε καὶ ἀντικήνσωρσιν. ὧν τὴν σύνεσιν ἁπάντων, καὶ τὴν ἐν νόμοις παίδευσιν, καὶ τὸ περὶ τὰς βασιλικὰς κελεύσεις πι-

θ. Cumq; hoc.

στότατον, ἐκ πολλῶν ἐλέγχων ὁ θειότατος γνοὺς βασιλεὺς, τοὺς εἰρημένους συγκαλεσάμενος παρήγγειλεν ἰδικῶς, ὥστε κατὰ τὴν αὐτοῦ αὐθεντίαν, καὶ ταῖς αὐτοῦ πειθομένους ὑποθήκαις, τὰ ἰνστιτοῦτα, ἤγουν τὰς εἰσαγωγὰς τῶν νόμων συνθεῖναι. ὥστε τοῖς νέοις ἐξεῖναι, τὰ πρῶτα τῶν νόμων προοίμια, οὐκ ἐξ ἀρχαίων μύθων παραλαμβάνειν. τὰ γὰρ πάλαι μὲν κρατήσαντα, νῦν δὲ τῆς χρήσεως ἐκβεβλημένα ἀναγινώσκοντες, ἐοίκασι τοῖς ἐντυγχάνουσι μύθοις· ἀλλ' ἐκ τῆς βασιλικῆς λαμπηδόνος ταῦτα γινώσκοντες, τοῦτο μὲν τὰς ἑαυτῶν ἀκοὰς, τοῦτο δὲ καὶ τὰς ψυχὰς, μηδὲν ἄχρηστον, μηδὲ εἰκῆ κείμενον, ἀλλ' ὅπερ δι' αὐτῆς τῶν πραγμάτων ἰσχύει τῆς πείρας μανθάνοιεν. ¶Καὶ ὅπερ πρότερον μετὰ τριετῆ μόλις χρόνον τοῖς ἀναγινώσκουσι συνέβαινεν, ὥστε μετὰ τοσοῦτον χρόνου παραδρομὴν βασιλικαῖς ἐντυγχάνειν διατάξεσι, τοῦτο

6. Et quod in priori.

ex multis argumentis cùm cognitam perspectamq; haberet imperator sanctissimus, conuocatis specialiter mandauit, vt sua ipsius auctoritate, suoq; imperio obtemperantes, Instituta, siue εἰσαγωγὰς Iuris componerent: quo adulescentibus liceret, prima Iuris exordia, non ab antiquis fabulis discere (nam qui ea legũt quæ olim obtinebant, & nunc ab vsu reiecta sunt, similes vidẽtur his, qui in fabulas incidere) sed ab Imperatorio splendore ea cognoscere, ac tam aures ipsorum quàm etiam animi, nihil inutile, nihilque perperam positum: sed quod in ipsa rerum obtineret experientia, addiscerent. ¶Et ita quod superioribus temporibus, vix post trium annorum tempora Iuri operam dantibus contingebat, vt tanto tempore elapso, Principum constitutiones legerẽt: id

id nunc in ipsis rerum (vt ita dixerim) initiis consequentur: tanto digni habiti honore, tantamque adsecuti felicitatem, vt & Iuris exordium, & huius disciplinæ finem à voce Imperatoria adipiscerentur. Nam & præsens volumen ab Imperatoria voce cõponitur, quod veluti prooemium est, atq; exordium legalis disciplinæ: & perlecta veteris Iuris interpretatione, necesse est eum, qui in iure instituitur, legendis se Principum constitutionibus dedere.

¶ Postea quam igitur compositi sunt libri Digestorum siue Pandectarum, in quibus omne ius antiquum collectũ est, quos gloriosissimus Tribonianus & ceteri illustres facundissimiq; viri composuerunt: in quattuor hos libellos, dictorum Digestorum institutiones Serenissimus Imperator noster partiri iussit:

νῦν ἐξ αὐτῶν, ὡς εἰπεῖν, τῶν πραγμάτων ἐφάπτονται, τοσαύτης ἀξιωθέντες τιμῆς, καὶ τοσαύτης ἀπολαύσαντες εὐτυχίας, ὥστε καὶ τὴν τῶν νόμων ἀρχὴν, καὶ τὸ πέρας τῆς τούτων διδασκαλίας, ἀπὸ βασιλικῆς αὐτοῖς προσηνέχθαι φωνῆς. καὶ τὸ παρὸν γὰρ σύνταγμα, ἐκ βασιλικῆς συντίθεται φωνῆς, προοίμιον ὑπάρχον τῆς τῶν νόμων διδασκαλίας, καὶ μετὰ τὴν ἀνάγνωσιν τῆς τῶν παλαιῶν νόμων ἐκθέσεως, ἀνάγκη δὲ τοὺς νόμους παιδευόμενον, τῇ τῶν διατάξεων ἀναγνώσει ἑαυτὸν ἐπιδοῦναι.

¶ Μετὰ ταῦτα μὲν οὖν συντέθειται βιβλία τῶν Διγέστων, ἤτοι Πανδέκτων, ἐν οἷς ἤθροισται πᾶσα ἡ τῶν ἀρχαίων νομοθεσία, ἅτινα διὰ τοῦ ἐνδοξοτάτου Τριβωνιανοῦ, καὶ τῶν λοιπῶν περιφανῶν, καὶ ἐλλογιμωτάτων ἀνδρῶν συντέθειται, μετ' ἐκεῖνα δὲ ἐν τέτρασι τούτοις βιβλίοις τῶν εἰρημένων Διγέστων, τὰς εἰσαγωγὰς ἐκέλευσεν

θ. Igitur.

*

σεν ὁ γαληνότατος ἡμῶν βασιλεὺς ἐπιμεληθῆναι, πάσης νομικῆς παραδόσεως ἐσομένας πρῶτα στοιχεῖα. ἐν αἷς διὰ βραχέων ἐκτέθειται, καὶ ὅπερ ἐκράτει πάλαι, καὶ τὸ μετὰ ταῦτα τῇ ἀσυνηθείᾳ συσκιασθὲν, ἐκ τῆς βασιλικῆς θεραπείας ἐφωτίσθη.

θ. Quas ex omnibus.

¶ Ταύτας δὲ τὰς εἰσαγωγὰς ἐκ πάντων τῶν τοῖς ἀρχαίοις γεγραμμένων ἰνστιτούτων, καὶ μάλιστα τῶν ὑπομνημάτων Γαΐου, τοῦτο μὲν τῶν ὡς ἐν ἰνστιτούτοις, τοῦτο δὲ καὶ ἐκ τῶν Κωδίκων αὐτοῦ, ἔνθα διαλέγεται περὶ τῶν καθ' ἑκάστην ἡμέραν κινουμένων πραγμάτων, καὶ ἐξ ἄλλων πολλῶν συνταγμάτων, οἱ εἰρημένοι τρεῖς σοφώτατοι ἄνδρες συνθέντες, βασιλεῖ τῷ μεγάλῳ προσήγαγον. ἡ δὲ αὐτοῦ γαληνότης ἀναγνοῦσα ταύτας, ἐπέγνω δεῖν οἰκείαν καὶ πληρεστάτην αὐταῖς διατάξει τὴν ἰσχὺν φιλοτιμήσασθαι.

θ. Summa itaque.

¶ Προτρέπεται τοίνυν διὰ τῆς παρούσης διατάξεως ὁ ἡμε-

vt totius legalis disciplinæ prima essent elementa: in quibus breuibus ac paucis expositum est, & quod apud maiores obtinebat, & quod deinde desuetudine obumbratum, Imperatoria cura illuminatum est. ¶ Has autem Institutiones ex omnibus veterum Institutis, præcipuéq; ex commentariis Gaii, tum Institutorum, tum Codicum, in quibus de rebus cottidianis disputat, aliisque multis voluminibus collectas, præfati tres prudentissimi viri maximo Imperatori obtulerunt. Porrò cùm Serenitas eius eas legisset, cognouit opus esse, vt suum plenissimumq; robur per constitutionem eis accommodaret. ¶ Adhortatur igitur per præsentem constitutionem clementissimus Imperator noster eos, ad quos eam rescripsit: vt summa ope, & alacri studio

dio præſentes leges excipiant: & his legendis ita ſe prudentes oſtendant, vti ſpes eos pulcherrima foueat, alatque, fore vt toto legali opere perfecto, diuerſæ ipſiusImperatoris Reipublicæ partes regendæ credantur.

ρώτατος ἡμῶν βασιλεὺς, πρὸς οὓς ταύτην ἐποιήσατο τὴν ἀντιγραφὴν, ὥστε πολλῇ τῇ δυνάμει καὶ προθύμῳ σπουδῇ, τοὺς παρόντας δέξασθαι νόμους. καὶ διὰ τῆς αὐτῶν ἀναγνώσεως, οὕτως ἑαυτοὺς ἐπιδεῖξαι σοφοὺς, ὥστε αὐτοὺς ὑπὸ καλλίστης τρέφεσθαί τε καὶ θάλπεσθαι τῆς ἐλπίδος, ὡς παντὸς τοῦ νομικοῦ διανυθέντος ἔργου, διαφόρων τῆς αὐτοῦ πολιτείας ἄρξειν μερῶν.

# INSTITV-TIONVM LIB. PRIMVS.

*

## DE IVSTITIA ET IVRE. Titulus I.

¶ Iustitia. Πρὸ πάντων δεῖ εἰδέναι τὸν τῆς δικαιοσύνης ὅρον. ἔστιν οὖν δικαιοσύνη σταθηρὰ καὶ διηνεκὴς βούλησις, ἡ ἑκάστῳ τὸ οἰκεῖον δίκαιον νέμουσα. Ἔπειτα δὲ λέγωμεν καὶ

¶ Iurisprudentia. πῶς ὁρίζεται ἡ νομική. ¶ Νομικὴ δέ ἐστι θείων τε καὶ ἀνθρωπείων πραγμάτων γνῶσις, τῶν δὲ δικαίων καὶ ἀδίκων ἐπιστήμη.

¶ His igitur ¶ Τούτων δὲ γενικῶς προτεθεωρημένων, νῦν δεξαμένοις ἡμῖν ἐξηγήσεως τῶν νόμων, καὶ τῶν δικαίων τῆς τῶν Ῥωμαίων πολιτείας, οὕτω δοκεῖ αὐτὰ βέλτιστα ἂν παραδίδοσθαι, ἐὰν πρότερον μὲν εὐχερεῖ καὶ ἁπλῷ τρό-

ANTE omnia definitionē iustitię scire oportet. Est igitur iustitia, constans & perpetua voluntas, ius vnicuique suum tribuēs. Deinde dicam' quo modo definiatur & Iurisprudentia. ¶ Iurisprudentia autem est, diuinarum atque humanarum rerum notitia, iusti; & iniusti scientia. ¶ His igitur generaliter praecognitis, incipientibus nunc nobis exponere Leges ac Iura populi Romani, ita maximè videntur ea cōmodè tradi posse, si primò facili ac simplici

plici via, post deinde exactissima diligentissimaq; interpretatione singula exequamur. Alioqui si statim in ipsis initiis procemiisq; rudes etiamnum & infirmas adulescentum aures multitudine ac varietate rerum onerauerimus: duorum alterum, aut desertores huius studii efficiemus, aut cum magno labore sæpe etiam cum diffidentia, quæ plerumque iuuenes auertit, serius ad ea perducemus, ad quæ leuiori via deducti, sine labore & bona cum spe maturius perduci possent. ¶ Iuris autem præcepta tria sunt hæc. Honestè viuere: alterum non lædere: & ius cuique suum tribuere. ¶ Porrò studii huius duæ sunt positiones siue species, Publicum & Priuatum. Et Publicum quidem ius dicitur, quod ad statum rei Romanæ spectat. Priuatum verò, quod ad sin-

πῳ, εἶτα δὲ μετὰ ταῦτα ἀκριβεστάτῃ καὶ λεπτοτάτῃ ἐξηγήσει ἕκαστα διεξέλθωμεν. ἄλλως τε γὰρ ἐν αὐτοῖς τοῖς τῶν νόμων προοιμίοις, ἀπείρους καὶ ἀσθενεῖς ἔτι τῶν νέων ἀκοὰς, τῷ τῶν πραγμάτων πλήθει καὶ τῇ ποικιλίᾳ βαρήσαντες, τῶν δύο ἕτερον, ἢ ἀφισταμένους αὐτοὺς ταύτης τῆς σπουδῆς, ἢ καὶ μετὰ μεγάλων πόνων ἔσθ' ὅτε καὶ μετὰ δυσελπιστείας τῆς τοὺς νέους ὡς ἐπὶ πολὺ ἀποστρεφούσης ὀψιμαθεστέρους ἀπεργασόμεθα, ὧνπερ εὐκολωτέρως ὁδηγησάμενοι ἀπονητὶ καὶ εὐέλπιστοι ἐπιτυχεῖν διὰ ταχέως ἂν ἠδύναντο. ¶ Τὰ δὲ τοῦ δικαίου παραγγέλματα ταῦτα τρία. καλῶς βιοῦν, ἕτερον μὴ βλάπτειν, καὶ τὸ οἰκεῖον δίκαιον ἑκάστῳ νέμειν. ¶ Καὶ ταύτης μὲν τῆς σπουδῆς δύο εἰσὶν θέσεις ἤγουν εἴδη, πούβλικον τουτέστι δημόσιον, καὶ πρίβατον τουτέστι ἰδιωτικόν. καὶ πούβλικον μὲν δίκαιον λέγεται ὅπερ πρὸς στάσιν τῆς τῶν Ῥωμαίων πολι-

θ. Iuris præcepta.

θ. Huius.

τείας ὁρᾷ. ἰδιωτικὸν δὲ τὸ περὶ τὴν τῶν ἑκάστων ὠφέλειαν. ἀναγκαῖον δὲ εἰπεῖν περὶ τοῦ ἰδιωτικοῦ ὅτι ἐστὶ τριμερές. συλλέλεκται γὰρ ἢ ἐκ φυσικῶν ἢ ἐθνικῶν ἢ πολιτικῶν παραγγελμάτων.

gulorum vtilitatem pertinet. Dicendum est autem de Iure priuato, quod ex tribus constat partibus. Collectũ est enim aut ex naturalibus, aut ex gẽtium, aut ex ciuilibus præceptis.

## DE IVRE NATVRALI, GENtium, & Ciuili. Tit. II.

Φυσικὸν νόμιμόν ἐστι, τὸ κατὰ πάντων ζώων, χερσαίων, ἐνύδρων, καὶ ἀερίων ἐπεκτεινόμενον. οὐ γὰρ μόνον μέχρις ἀνθρώπων ἔστησεν ἡ φύσις τὰ ἑαυτῆς, ἀλλὰ διέταξε τὰ ἐναέρια, τὰ ἐν τῇ γῇ διετύπωσεν. οὐκ εἴασε δὲ οὐδὲ τὰ ἐν θαλάσσῃ τικτόμενα τῆς οἰκείας προμηθείας ἐκτός. παράδειγμα δὲ τοῦ φυσικοῦ νομίμου, ἄρρενός τε καὶ θηλείας συνάφεια, ὅπερ ἡμεῖς γάμον προσαγορεύομεν, καὶ ἡ περὶ τοὺς τεχθέντας ἀνατροφή, καὶ σπουδή. ὁρῶμεν γὰρ, οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ τὰ λοιπὰ ζῶα ἐν τοῖς τιμῶσι τοῦτον τὸν νόμον ἀναγεγραμμένα. ἡ γὰρ φύσις

IVs naturale est, quod ad omnia animalia, quæ in terra, in aqua, vel in aëre sunt, extenditur. Nec enim vsque ad solos homines natura vim suã coangustauit: sed etiam, ea quę in aëre sunt, disposuit: & his quæ in terra viuunt, formam dedit. Ac ne illa quidẽ quæ in mari nascuntur, prouidentiæ suæ expertia esse passa est. Exẽplũ autẽ Iuris Naturalis est, maris atq; feminę coniunctio, (qđ nos matrimoniũ appellamus) & in liberis educãdis studiũ. Videm⁹. n. non homines modò, sed cetera quoq; animalia his, qui legẽ hãc obseruant, adscribi.

Quod

Quoniã natura cùm singula quæq; animalia videret morte cõsumi: per matrimonium, & ex eo sequentem liberorum procreationẽ, ac rursus eorũ, quæ procreata sunt, caritatem, educationemq; & successionem, quandam veluti immortalitatẽ iis commenta est. ¶ Diximus suprà, Iura aut naturalia esse, aut gentiũ, aut ciuilia. Cùm igitur dictum sit de Iuris naturalis definitione, & exemplis eius, necesse est, vt & de Iure gentium dicamus. Quoniã quicumq; Rempublicã cõstituit, & eam legibus ornare vult: has duas in legibus ferendis vias sequitur: Aut enim Ius gentium (quod etiã per abusionem Naturale vocamus) aut Ius Ciuile cõstituit: & aut Ius scriptũ, aut Ius nõ scriptũ. Quid est Ius gentiũ? Ius gentiũ est, quod ad omnes homines, aut eos saltem, qui ratione volunt viuere, extẽditur. Exem-

ὁρῶσα, τὸ καθ' ἕκαστον τῶν ζώων, θανάτῳ δαπανώμενον, διὰ τοῦ γάμου, καὶ τῆς ἐντεῦθεν παιδοποιίας, καὶ τῆς πρὸς τοὺς τεχθέντας στοργῆς τε καὶ ἀνατροφῆς, καὶ διαδοχῆς, τὴν ἀθανασίαν τούτοις ἐμηχανήσατο. ¶ Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν, ὅτι τῶν νόμων, οἱ μέν εἰσι φυσικοί, οἱ δὲ ἐθνικοί, οἱ δὲ πολιτικοί. εἰπόντες οὖν τοῦ φυσικοῦ νομίμου τὸν ὅρον, καὶ τὰ παραδείγματα, ἀναγκαίως ὀφείλομεν εἰπεῖν καὶ περὶ τοῦ ἐθνικοῦ. ὁ γὰρ πολιτείαν συνιστῶν, καὶ βουλόμενος νόμοις ταύτην κοσμῆσαι, ταῖς δυσὶ ταύταις προσέχων ὁδοῖς τὴν νομοθεσίαν ἐργάζεται. ἢ γὰρ ἐθνικοὺς τίθησιν, οὓς καὶ φυσικοὺς καταχρηστικῶς ἀπεκαλοῦμεν, ἢ πολιτικούς, καὶ ἢ ἐγγράφους, ἢ ἀγράφους. Τί ἐστιν ἐθνικὸν νόμιμον; ἐθνικὸν νόμιμόν ἐστι, τὸ κατὰ πάντων ἀνθρώπων, ἤγουν τῶν λελογισμένως βιοῦν ἐθελόντων ἐπεκτεινόμενον. παραδείγματα δὲ

θ. Ius autẽ ciuile.

τὰ δὲ αὐτοῦ, τὸ τοὺς φονέας ἀποτέμνεσθαι, τοὺς μοιχοὺς κολάζεσθαι, τοὺς κλέπτας εἰς χρήματα τιμωρεῖσθαι, ἐπειδήπερ ἔβλαψεν ἡμᾶς περὶ χρήματα. τὸ χρεώστην εὐγνώμονα γίνεσθαι πρὸς τὸν ἐν καιρῷ ἀνάγκης χρήσιμον ὀφθέντα, τὸ οἰκέτην ὑποτάττεσθαι τοῖς εὐλόγοις προστάγμασι τῶν δεσποτῶν. τὸ γίνεσθαι συναλλάγματα, πράσεις, ἀγορασίας, μισθώσεις, ἐκμισθώσεις, παρακαταθήκας, κοινωνίας, δάνεια. τὸ γίνεσθαι δωρεὰς, διαθήκας συγγράφεσθαι. Τί ἐστι πολιτικὸν νόμιμον; ὅπερ τοπικὸν, καὶ χρειῶδες προσαγορεύεται, τὸ τόπῳ περικεκλεισμένον, ὃ τόπου χρείαν ἀποπληροῖ, καὶ τὸ λυποῦν ἐκεῖνον τὸν τόπον ἐκκόπτει. οἷον ἡ τῶν Ἀθηναίων πόλις ἐκέχρητο ἐπεισάκτῳ σίτῳ, οἷα λεπτόγεως οὖσα, καὶ μέγιστον ἦν παρ' αὐτοῖς ἐλάττωμα, τὸ τῆς σιτοδείας βάρος. ὁ τοῦτο τοίνυν βουλόμενος καταπαῦσαι, τί ἂν ἐνομοθέτει ἢ τοῦτο; ὥστε

pla aũt eiꝰ sunt, Homicidas interfici, Adulterũ puniri, Furẽ pecunia multari, quoniã & in pecunia nos lęsit. Vt debitor memorẽ se ostẽdat beneficii, & gratũ aduersus eũ, q in rebꝰ angustis necessitati ipsiꝰ succurrit. Vt seruꝰ domini iussis, quę lex non phibet, obtemperet. Vt cõtractꝰ celebrent, vẽditiones, emptiones, locatiões, cõductiones, deposita, societates, mutui datiões. Vt donatiões fiãt, vt testaméta cõscribantur. Quid est Ius Ciuile? quod locale, & χρειῶδες appellatur: id est, ex vsu necessitateq; rerũ latũ: locoq; circũscribit, & his quibus cuiq; loco opꝰ est, subuenit, eaq; quæ loco illi perniciosa sunt, tollit. Veluti, Ciuitas Atheniẽsiũ aduectício fruméto vtebat, vtpote quæ sterilis esset, nec vlla alia res magis eos premebat ac grauabat, q̃ annonæ caritas. Huic malo qui finẽ quæreret, quid aliud lege lata constituisset, quàm

hoc? Vt negotiatores omnes frumẽtarii immunitatẽ vectigaliũ haberẽt. Id enim cùm fama per oẽs gentes diffudisset, multi erãt in Atticã nauigaturi, duo hæc studentes, vt & ꝓpter frumẽti inopiã statim venderẽt, & nullũ insup huiꝰ negotiationis noĩe vectigal pẽderent. Cùm autẽ multi illuc nauigassent, dubiũ nõ est, quin magna aduecta fuerit frumenti copia. Ius igitur hoc, solis vtile erat Atheniẽsibꝰ. Apud Alexãdrinos verò & alios, q frumẽto abũdãt, nõ solũ supuacaneũ, sed etiã ridiculũ fit, tale aliqd cõstituere. Alterũ exẽplũ Iuris Ciuilis ꝑbet nobis ciuitas Lacedæmoniorũ: q̃ ex iure qđ Lycurgꝰ ipsis cõposuerat, peregrinos expellebat: quã inde ξενηλασίαν vocant, ne ĩmixtis peregrinis mores ciuiũ Lacedæmoniorũ ĩ deteriꝰ mutarent corrũperẽturq;. Ius hoc apud Lacedæmonios magna ĩ venera-

τοὺς σιτεμπόρους, ἀτελείας ἀξιοῦσθαι. τούτου γὰρ δήλου γενομένου, πολλοὶ κατέπλεον ἐπὶ τὴν Ἀττικὴν, δύο ταῦτα πραγματευόμενοι, ὅτι τε ταχεῖαν διὰ τὴν ἔνδειαν ἡ τοῦ σίτου γενήσεται πρᾶσις, καὶ πρὸς τούτοις, ὅτι τέλος ὑπὲρ τῆς τοιαύτης οὐ καταπιθέασιν ἐμπορείας. πολλῶν δὲ καταπλεόντων, εἰκότως πολὺς εἰσεκομίζετο σῖτος. τοῦτο γοῦν τὸ νόμιμον, Ἀθηναίοις χρήσιμον μόνοις ἦν· Ἀλεξανδρεῦσι δὲ ἢ ἑτέροις, οἷς ἐστιν ἀφθονία σίτου, οὐ μόνον περιττὸς, ἀλλὰ καὶ καταγέλαστος ὁ τοιοῦτόν τι νομοθετῶν. Δεύτερον παράδειγμα τοῦ πολιτικοῦ νομίμου ἡ τῶν Λακεδαιμονίων πόλις, ἥτις ἐνεχρῆτο ξενηλασίᾳ, Λυκούργου τοῦτο νομοθετήσαντος ἵνα μὴ διὰ τῆς τῶν ξένων ἐπιμιξίας διαφθείρηται καὶ χεῖρον γένοιτο τὸ τῶν Λακεδαιμονίων ἦθος. ὁ τοιοῦτος νόμος ἠμέλεται μὲν παρὰ Λακεδαιμονίοις, Ἀθηναῖοι δὲ τούτου καταφρονοῦσι, τοσοῦτον

τοσοῦτον τῆς ξενηλασίας ἀφεστῶτες, ὅτι καὶ βωμὸς ἐλέου τιμᾶται παρ' αὐτοῖς· οὕτως ἑτοίμως τοὺς εἰς αὐτοὺς φοιτῶντας ὑποδεχόμενοι, ὅτι πολλάκις διὰ φιλανθρωπίας ὑπερβολὴν, καὶ πολεμεῖν ὑπὲρ αὐτῶν οὐκ ὤκνησαν.

θ. Ius autē ciuile.

¶ Ἅπας οὖν δῆμος, ἢ ἐγγράφοις κέχρηται νόμοις, ἢ ἀγράφοις. καὶ πῆ μὲν ἰδίοις, τουτέστι πολιτικοῖς· πῆ δὲ κοινοῖς, τουτέστι iure gentium. ὅσα γὰρ νόμιμα ἑκάστη πόλις ἑαυτῇ συνεστήσατο, καὶ μέχρις αὐτῆς ἵστανται, ταῦτα ius ciuile προσαγορεύεται. ὅσα δὲ ὁ φυσικὸς, ἤτοι ἐθνικὸς λόγος μεταξὺ πάντων ἀνθρώπων ἐφεῦρε, ταῦτα παρὰ πᾶσιν ἔθνεσι φυλάττεται, καὶ ius gentium προσαγορεύεται. καὶ ὁ δῆμος οὖν ὁ Ῥωμαϊκὸς, ποτὲ μὲν πολιτικοῖς, ποτὲ δὲ ἐθνικοῖς κέχρηται νόμοις, ἅτινα καθ' ἕκαστον καὶ ὁποῖα τὴν φύσιν ἐστὶν, ἐν τοῖς οἰκείοις ἐκθησόμεθα τόποις.

θ. Sed ius q̃dē ciuile.

¶ Ἀλλὰ τὸ πολιτικὸν

tione eſt. At Athenienſes penè irrident, qui adeò abſunt ab expellendis peregrinis, vt etiam magno apud eos in honore ſit ara Miſericordiæ, & tam officiosè eos, qui ad ſe veniunt excipiant, vt præ ingenti humanitate pro his ſæpe bella gerere non ſint veriti. ¶ Omnes igitur populi aut ſcripto iure vtũtur, aut non ſcripto: Et aliàs proprio, id eſt, Ciuili, aliàs cõmuni, id eſt, iure gentium. Quæcumque enim iura ſibi quæque Ciuitas conſtituit, & intra eam conſiſtunt: ea Ius ciuile dicuntur. Quæ verò naturalis & humana ratio inter omnes homines inuênit, hæc apud omnes gentes obſeruantur, & Ius gentium appellantur. Et populus igitur Romanus partim Iure Ciuili, partim Iure gentium vtitur. Quæ ſingillatim, & qualem naturam habeant, ſuis locis exponemus.

¶ Sed ius quidem

Ciuile,

Ciuile, ex vnaquaque ciuitate, in qua obtinet, appellationem ſumit, veluti Athenienſium aut Lacedæmoniorum. Nam ſi quis leges Solonis, qui Athenienſibus leges conſcripſit, aut Draconis, qui Lacedæmoniis, Ius ciuile Athenienſium vel Lacedæmoniorum appellare velit: non omnino peccauerit, aut à veritate aberrauerit. Similiter & Ius quo Ciuitas Romana vtitur, Ius Quiritum dicitur, hoc eſt, quo Quirites vtuntur. Romani enim à Quirino, id eſt, Romulo, qui ſe ex Marte natum gloriabatur, Quirites appellantur. Cùm verò quis indefinitè Ius Ciuile dicit, non addito cuiúſnam Ciuitatis, Romanum ſignificat. Quemadmodum cùm Poëtam dicimus, nec proprium nomen addimus, apud Græcos, ſubintelligitur Homerus: apud

νόμιμον ἐκ μιᾶς ἑκάστης πόλεως προϊὸν ἐν ᾗ καὶ κρατεῖ, δέχεται τὴν ὀνομασίαν. οἷον τῶν Ἀθηναίων ἢ Λακεδαιμονίων. εἰ γάρ τις ἐθέλει τοὺς Σόλωνος τοῦ τῶν Ἀθηναίων νομοθέτου, ἢ τοὺς Δράκοντος τοῦ τῶν Λακεδαιμονίων ius ciuile Athenienſium vel Lacedæmoniorum, τουτέστι πολιτικὸν νόμιμον τῶν Ἀθηναίων, ἢ Λακεδαιμονίων ἀποκαλέσαι, οὐκ ἂν διαμάρτοι, οὐδὲ σφαλῇ τῆς ἀληθείας. ὡσαύτως καὶ τὸ νόμιμον ᾧπερ ἡ Ῥωμαϊκὴ κέχρηται πολιτεία, ius Quiritum τουτέστι ᾧ κέχρηνται οἱ Κυιρῖται. οἱ γὰρ Ῥωμαῖοι, ἀπὸ Κυϊρίνου τουτέστι Ῥωμύλου τοῦ ἐξ ἄρεως τὴν φύσιν ἔχειν αὐχοῦντος, Κυϊρῖται προσαγορεύονται. ἡνίκα δέ τις ἀπροσδιορίστως εἴποι ius ciuile, οὐ προστιθεμένου τοῦ τῆς δεῖνα πόλεως, τὸ Ῥωμαϊκὸν σημαίνει. ὥσπερ ἡνίκα ποιητὴν εἰπόντες, καὶ μὴ προστιθέντες τὸ κύριον ὄνομα, παρ' ἕλλησι μὲν δηλοῦμεν τὸν Ὅμηρον, παρὰ

παρὰ δὲ Ῥωμαίοις τὸν Βιργίλιον.

§. Ius autē gentium.

¶ Τὸ δὲ ἐθνικὸν νόμιμον, κοινὸν τοῦ παντὸς ἀνθρώπων γένους ἐστί. τῆς χρείας γὰρ καλούσης, καὶ τῆς ἀνθρωπίνης ἀνάγκης ἀπαιτούσης, τὸ ἡμέτερον γένος ἐφεῦρεν ἀπ' ἑαυτοῦ πάμπολλα, ἤτοι κατεστήσατο. καὶ γὰρ ἀνεφύησαν πόλεμοι, καὶ τούτοις ἐπηκολούθησαν αἰχμαλωσίαι, καὶ εἰσηνέχθησαν δουλεῖαι, ὅπερ ἐναντίως τῷ φυσικῷ συμβαίνει νόμῳ. ἡ γὰρ φύσις ἐξ ἀρχῆς πάντας ἀνθρώπους ἐλευθέρους οἶδε τικτομένους. ἐκ τούτου τοῦ ἐθνικοῦ νομίμου, καὶ πάντα σχεδὸν ἐπενοήθησαν τὰ συναλλάγματα· οἷον ἀγορασία, πρᾶσις, μίσθωσις, ἐκμίσθωσις, κοινωνία, παρακαταθήκη, δάνεισμα, καὶ ἕτερα πάμπολλα συναλλάγματα.

§. Constat.

¶ Εἰπόντες οὖν τὴν πρώτην τῶν νόμων διαίρεσιν, ὅτι οἱ μέν εἰσι φυσικοί, οἱ δὲ ἐθνικοί, οἱ δὲ πολιτικοί, καὶ ἕκαστον ὁρισάμενοι, καὶ παραδείγμασι σαφηνίσαν-

Latinos, Virgilius. ¶Ius autem gentium omni humano generi commune est. Nam vsu exigente & humanis necessitatibus efflagitantibus gens humana quædam ex sese inuenit atque constituit. Et bella enim coorta sunt, & ea captiuitates secutæ, & introductæ seruitutes, quæ res maximè iuri naturali contraria est: quoniam natura ab initio liberos homines omnes creauit. Ex hoc Iure gentium omnes ferè contractus inuenti sunt, vt emptio, venditio, locatio, conductio, societas, depositum, mutuum, & alii complures contractus. ¶Cùm igitur de prima Iuris diuisione dictum sit, aliud scilicet esse naturale, aliud gentium & aliud ciuile: & vnumquodque eorum definitione & exemplis explicatum sit: transeamus

mus ad secūdā Iuris diuisionē. Ius igitur aliud scriptū est, & aliud non scriptū. Et scriptū quidē ius est, vt Leges, Plebiscita, Senatuscōsulta, Principū cōstitutiones, Magistratuū edicta, Prudentū responsa. ¶ Libēter verò discerem, quot sint qui iura apud Romanos constituant: & quinā hi sint, & quo ea, quæ singuli quiq; eorū cōstituerint vocentur. Sex sunt, qui apud Romanos iura cōstituūt. Populus, Plebs, Senatus, Princeps, Magistratus, & Prudentes vrbis Romæ. Et quid est populus? cōis fortune cōciliū, in vnū & eundē cū plebe numerū relato Senatu. Ius autē quod à populo cōstituit, dicit Lex, quoniā scriptū ius erat, quod à populo cōstituebatur. Porrò cōmune est omni scripto iuri nomen, Lex: cùm ex ea & ceterę quinque Iuris cōstituēdi rationes proficiscant. Quoniam verò omniū, qui iura cōstituunt, prima potestas

τες, ἔλθωμεν ἐπὶ δευτέραν τῶν νόμων διαίρεσιν. Τῶν νόμων, οἱ μὲν ἔγγραφοι, οἱ δὲ ἄγραφοι. καὶ ἔγγραφοι μὲν νόμοι εἰσὶν, οἷον ἡ lex, τὰ plebiscita, senatusconsulta, διατάξεις βασιλικαὶ, ἀρχόντων ἐδίκτα, τῶν σοφῶν ἀποκρίσεις. ¶ Ἡδέως δὲ ἐμάνθανον, πόσοι παρὰ Ῥωμαίοις εἰσὶν νομοθέται, καὶ τίνες οὗτοι. καὶ πῶς τὰ παρ' ἑκάστου νομοθετούμενα κέκληται. ἓξ παρὰ Ῥωμαίοις εἰσὶν νομοθέται, δῆμος, χυδαῖος δῆμος, σύγκλητος, βασιλεὺς, ἄρχοντες, τῆς Ῥώμης σοφοί. καὶ τί ἐστι δῆμος; κοινῆς τύχης σύνοδος, κατὰ ταυτὸ συναριθμουμένων τοῖς ἰδιώταις καὶ τῶν συγκλητικῶν. Τὸ δὲ παρὰ τοῦ δήμου νομοθετούμενον, λέγεται λὲξ, ἐπειδὴ ἐγγράφως ὁ δῆμος ἐνομοθέτει. κοινὸν δὲ τῶν ἐγγράφων νόμων ὄνομα τὸ λέξ. καθὸ ἐξ αὐτοῦ καλοῦνται αἱ λοιπαὶ ϛ νομοθεσίαι. ἐπειδὴ κορυφαιότατός ἐστιν ὁ δῆμος τῶν νομο-

6. Lex est.

θετῶν, ἔδει καὶ τὴν παρ' αὐτοῦ νομοθεσίαν κεκοσμῆσθαι, τῇ κοινῇ τῶν ἐγγράφων νόμων ὀνομασίᾳ. Ἐγίνετο δὲ τοῦτον τὸν τρόπον. Τοῦ συγκλητικοῦ ἄρχοντος, οἷον τοῦ ὑπάτου ἐρωτῶντος, εἰ χρὴ τόδε νομοθετεῖν, ὁ δῆμος ἐπένευεν.

θ. Plebiscitum.

¶Ὁ χυδαῖος δῆμός ἐστι, τὸ λοιπὸν ἅπαν πλῆθος, ἐξῃρημένων τῶν συγκλητικῶν. τὸ δὲ παρ' αὐτοῦ νομοθετούμενον, πλεβίσκιτον ἐκαλεῖτο, τουτέστι τὸ ὑπὸ τοῦ πλήθους γνωσθὲν, καὶ κυρωθέν. Τοῦ γὰρ πλεβισκίτου ἄρχοντος, τουτέστι τοῦ τριβούνου· οὗτος δέ ἐστιν ὁ δήμαρχος· ἐρωτῶντος, ἐνομοθέτει τὸ πλῆθος.

θ. Plebs autem.

¶Τὸ δὲ χυδαῖον πλῆθος τοῦ δήμου τούτῳ διενήνοχε, ᾧ διενήνοχε γένος ἀπὸ εἴδους. Τῇ γὰρ τοῦ δήμου προσηγορίᾳ, πάντες σημαίνονται πολῖται συναριθμουμένων πατρικίων, καὶ συγκλητικῶν. τῇ δὲ τοῦ πλέβις ὀνομασίᾳ, δίχα πατρικίων τε καὶ συγκλητικῶν οἱ λοιποὶ πολῖται δηλοῦνται.

θ. Senatusconsultũ.

¶Ἐν

apud Populũ erat, necesse erat, vt & ius quod ab eo constitueretur, communi nomine, quod omnes iuris scripti species habent, cohonestaretur. Hunc autem in modum id constituebatur. Senatorio magistratu, veluti Consule interrogante, an hoc constituendum esset, adnuebat populus. ¶Plebs est, reliqua omnis multitudo exceptis Senatoribus. Quod autem ab ea constituebatur, dicebatur Plebiscitum, quasi quod Plebs sciuit ac ratum esse iussit. Nam plebeio magistratu (vt est Tribunus plebis, quem Græci δήμαρχον vocant) interrogante, plebs constituebat ius. ¶Plebs autem à Populo eo differt, quo species à genere. Nã appellatione populi, omnes ciues significant, cõnumeratis etiam Patriciis & Senatoribus. At plebis nomine, sine Patriciis & Senatoribus, ceteri ciues veniunt. ¶Tertio loco

loco apud Romanos ius cõstituit Senatus. Senatus est, concilium è selectis viris constans, quo nulli plebeio aditus est. Ius autem, quod ab eo constituitur, proprio nomine dicitur Senatusconsultũ. Sed dicat hic mihi aliquis: Quomodo cùm Populꝰ facilè cõuenire posset, & legem condere, ius omne suum in tam varias secuit sciditq; appellationes? Et causa eiꝰ rei est hæc. Cùm vrbs Roma hominũ numero abũdaret, discordia vt ferè fieri cõsueuit, & seditio inter Plebẽ & Senatum coorta est, Senatu fortè primas omniũ rerum ad se trahente. Eiusce rei nomine secesio facta est, & vtriq; per se agebant, & per se Remp. gerebãt. Sed quoniã, in Rep. nõ poterãt viuere, quin negotia cõtraherẽt, & cõtractus inirẽt, ad tollẽdas controuersias, & iudicãdas lites quæ inde exoriebãtur: iura quædam à Senatu cõsti-

τρίτῃ τάξει νομοθετοῦσι παρὰ Ῥωμαίοις ἡ σύγκλητος. Σύγκλητος δέ ἐστι, σύστημα ἐξ ἐπιλέκτων ἀνδρῶν, καθαρεῦον ἰδιώτου παντός. Τὸ δὲ παρ' αὐτῶν νομοθετούμενον, λέγεται ἰδικῷ ὀνόματι senatusconsultum, τουτέστι τῆς συγκλήτου τὸ θέσπισμα. Ἀλλ' ἔχοι τις εἰπεῖν, Πῶς δυναμένου τοῦ δήμου συνιέναι, καὶ λέγειν, ἤτοι τὸν νόμον ποιεῖν, εἰς διαφόρους διήρησεν τὸν νόμον ὀνομασίας; ἡ δὲ αἰτία ἐστὶν αὕτη· ἐν τῇ Ῥώμῃ πολυανθρώπῳ οὔσῃ, οἷα φιλεῖ γίνεσθαι, στάσις, καὶ διχόνοιά τις ἀνεφύη, μεταξὺ τῶν συγκλητικῶν καὶ τοῦ χυδαίου δήμου, τυχὸν προτίμησιν ἔχειν βουλομένων τῶν συγκλητικῶν. Τούτου χάριν ἀλλήλων ἐχωρίσθησαν καὶ ἰδίᾳ διῆγον, καὶ ἰδίᾳ ἐπολιτεύοντο. Καὶ ἐπειδὴ ἐν πολιτείᾳ ὄντας δίχα συναλλαγμάτων οὐκ ἦν ζῆν, διὰ τὸ τὰς ἐγγενομένας καταπούδην φιλονεικίας τε καὶ δίκας, ἐτέθησαν νόμοι ὑπὸ τῶν συγκλητι-

 κῶν

κῶν, ἐνομοθέτει δὲ κεχωρισμένως ὁ χυδαῖος δῆμος, καὶ εἰκότως ἐδέχετο τὰ παρ' αὐτῶν νομοθετούμενα διάφορον προσηγορίαν. Τὸ γὰρ ὑπὸ τῆς συγκλήτου νομοθετούμενον, λὲξ οὐκ ἠδύνατο προσαγορεύεσθαι, διὰ τὸ μὴ προσεῖναι τὴν τοῦ χυδαίου δήμου προαίρεσιν, καὶ ἀναγκαίως ἐκ τῶν εὑρόντων, ἐκλήθη Σενάτους κονσοῦλτον, τουτέστι τῆς συγκλήτου τὸ δόγμα. Senatus γάρ ἐστι ἡ σύγκλητος, consulere δὲ τὸ πρόνοιαν ποιεῖσθαι. ἐπειδὴ οὖν ἡ σύγκλητος πρόνοιαν ἐποιεῖτο τῶν δικῶν τῶν ὑποπιπτουσῶν ἐκθεῖσα νόμους, δικαίως ἐκλήθη σενάτους κονσοῦλτον, καὶ παρὰ τοῖς ἰδιώταις δὲ ἐκινοῦντο δικῶν προφάσεις, καὶ νόμος ἐτίθετο παρ' αὐτοῖς ὃς οὐκ ἠδύνατο λέγεσθαι λὲξ, διὰ τὸ μὴ κατὰ γνώμην γίνεσθαι τῶν συγκλητικῶν. ἐκαλεῖτο οὖν πλεβίσκιτον, τουτέστι τοῦ πλήθους ἡ γνῶσις καὶ νομοθεσία. ἐπειδὴ δὲ τὰς ἔχθρας ἀθανάτους, μηδὲν περ'

tuebantur. Idem & seorsum fiebat à Plebe. Nō igitur iniuria, quæ ab iis cōstituta erant, diuersam appellationem sumpsere. Et quidē quod à Senatu cōstituebatur, Lex dici non poterat, cùm Plebis cōsensus nō interuenisset: vnde necesse erat, vt ab his qui id cōstituerant, nomen caperet, & diceretur Senatusconsultū. Nimirum à Senatu, & à consulendo. Consulere porrò est, prouidere & curam gerere. Quoniam ergo Senatus constituendo Iure lites subinde incidentes ad curā suā reuocabat, meritò vocatū est id Senatuscōsultū. Sed & cùm apud Plebem litium occasiones orirētur: Ius ab ea constituebatur: quod nec ipsum lex dici poterat, propterea quòd de sententia Patrum factum nō esset. Vocatum est igitur Plebiscitum. Quoniā tamen inimicitias eorum immortales esse non

deceb

decebat, Hortenſius quidam vir patriæ amans, ſuaſit eis, vt poſita mutua maleuolentia, ad concordiã reuerterent, enarrans mala quæ ex diſcordiis ſeditionibusq; conſequi ſolẽt: & tandẽ perſuaſos, in mutuam gratiã reduxit. Cũ igitur in vnũ cõueniſſẽt, poſtulare cœpit Plebs, vt ea, quæ ipſa ſciuiſſet, etiam aduerſum Senatum tenerẽt. Petebat aũt & Senatus, vt Senatuſcõſulta etiã aduerſus Plebem valerẽt. Cumq; his vtrique aduerſarentur, & Senatus dedignaretur Plebiſcita recipere, & Plebs id ægreferens, Senatuſcõſultis parere nollet: futurum erat, vt veteres inimicitiæ renouarentur, donec idem Hortenſius, ſedata eorum diſſenſione, perſuaſit, vt alteri alterorum iura acciperent, & his obtemperarent. Et ita quidem, quod vtrique [ſine alteris] conſtituerant, lex dici non po-

αὐτοῖς οὐκ ἐνίων, Ὁρτήσιός τις φιλόπολις ὤν, συνεβούλευσεν αὐτοῖς, ἀποτίθεσθαι μὲν τὴν πρὸς ἀλλήλους δυσμένειαν, εἰς ὁμόνοιαν δὲ τραπῆναι, τὰ διὰ τὴν ἔχθραν συμβαίνοντα δυσχερῆ διηγήσας, καὶ πείσας εἰς φιλίαν συνήλασε. συνελθόντων οὖν κατὰ ταυτὸ ὁ χυδαῖος ἐβούλετο δῆμος, τὰ παρ' αὐτοῦ νομοθετηθέντα κρατεῖν, καὶ κατὰ τῶν συγκλητικῶν. ἀπῄτει δὲ καὶ ἡ σύγκλητος, ὥστε τὰ σενάτους κονσοῦλτα, καὶ κατὰ ἰδιωτῶν ἰσχύειν. Καὶ ἑκατέρων ἐναντιουμένων, καὶ τῶν μὲν συγκλητικῶν ἀπαξιούντων δέχεσθαι τὰ πλεβίσκιτα, τοῦ δὲ χυδαίου δήμου δυσανασχετοῦντος, καὶ τοῖς σενάτους κονσούλτοις ὑποκύπτειν μὴ βουλομένου, ἔμελλεν ἀνανεοῦσθαι τὰ τῆς ἔχθρας, μέχρις οὗ ὁ αὐτὸς Ὁρτήσιος παύσας αὐτῶν τὴν διχόνοιαν, ἔπεισε τὰς ἀλλήλων δέξασθαι νομοθεσίας, καὶ ταύταις ὑπείκειν. Καὶ οὕτως λὲξ μὲν οὐκ ἠδύνατο κληθῆναι τὸ παρ' ἑ-

κατέρου τεθέν, διὰ τὸ μὴ τὴν ἀρχὴν κατὰ συναίνεσιν τῶν δύο τίθεσθαι μερῶν. ἐπεὶ δὲ καὶ τὸ νομοθετηθὲν ἐκ τοῦ ἰδιώτου δήμου πλεβίσκιτον τὴν αὐτὴν ἔκβασιν ἔσχε, καὶ τοῦ αὐτοῦ ἔτυχεν ἀποτελέσματος, τοῦ κρατεῖν φημὶ κατὰ πάντων καὶ legis vigorem habet, τουτέστι νόμου τάξιν ἐπέχει. Τοῦ δὲ χρόνου προϊόντος, καὶ τῶν Ῥωμαίων εἰς πολὺ πλῆθος αὐξανομένων, ὡς δυσχερῆ τὴν εἰς ἕνα τόπον αὐτῶν γίνεσθαι σύνοδον, τοῦ νομοθετεῖν ἕνεκα, δικαιότατον ἐνομίσθη, ἐν τάξει τοῦ παντὸς δήμου τὴν σύγκλητον μόνην νομοθετεῖν.

§.Sed & qđ principi.

¶ Εἰρήκαμεν τρεῖς νομοθέτας, δῆμον, χυδαῖον δῆμον, σύγκλητον. Εἰπόντες οὖν τὸν ὅρον ἑκάστου, καὶ πῶς ὀνομάζεται τὸ παρ᾽ αὐτῶν νομοθετούμενον, εἴπωμεν τοίνυν καὶ περὶ τοῦ τετάρτου νομοθέτου. Τέταρτος νομοθέτης παρὰ Ῥωμαίοις ἐστὶν ὁ βασιλεύς. Καὶ τί ἐστι βασιλεύς; Βασιλεὺς

tuit, cùm initio de consensu ambarum partium constitutũ non esset. Sed cùm ius quod Plebs constituerat, (id est, Plebiscitum) eundem exitum haberet, & eundem sortiretur effectum, vt scilicet omnes teneret (id enim dico) ac legis vigorẽ haberet: ac deinde successu temporis, Populus Romanus in magnam multitudinẽ excresceret, ita vt difficile esset populũ in vnũ locum iuris constituendi causa conuenire, æquissimum visum est, vt vice totius populi, solus Senatus iura conderet. ¶ Tres diximus qui iura constituerent, Populum, Plebem, & Senatum. Quum igitur dictum sit, quomodo singuli eorum definiantur, quomodoq; ius quod ab his constituitur, vocetur, dicamus nũc & de eo, qui quartus ius constituit. Quartꝰ apud Romanos iura constituit Prĩceps. Et quid est Princeps? Princeps est,

est, qui potestatem imperandi à Populo accepit. Ius autē quod ab eo conditur, generali nomine Cõstitutio vocat, hoc est, διάταξις, aut διατύπωσις. Porrò in tria diuiditur: in Epistolam, in Edictum, & in Decretum. Et quid est epistola? Rescriptũ Principis ad relationem magistratus alicuius, de re quapiã dubia emissum. Veluti, Euenit vt in Prouincia aliqua, mortuo quopiam cùm neque parentum vllus extaret, neq; liberorũ, duo de hereditate contenderent frater & patruus defuncti, horum enim vterque solus ad hereditatem volebat admitti. Ille vt frater, hic, vt patruus. Cùm lex nulla posita esset, qua controuersia hæc dirimeretur, Præses Prouinciæ ea de re quid fieri placeret ad Principem rettulit. Princeps cùm rem allatam legisset, rescripsit: fratrem defuncti

ἐστιν, ὁ τὸ κράτος τῆς ἀρχὴν παρὰ τοῦ δήμου λαβών. Τὸ δὲ παρ' αὐτοῦ νομοθετούμενον, ὀνόματι κέκληται γενικῷ κωνσιτουτζιὼν, τουτέστιν ἡ διάταξις ἢ διατύπωσις. τέμνεται δὲ εἰς τρία, εἰς ἐπιστολὴν, εἰς ἔδικτον, εἰς δέκρετον. Καὶ τί ἐστιν ἐπιστολή; ἀντιγραφὴ βασιλέως πρὸς ἄρχοντος ἀναφορὰν περί τινος ἀμφιβόλου πράγματος γενομένη. οἷον συνέβη κατά τινα ἐπαρχίαν τελευτήσαντός τινος, καὶ μὴ ὄντος τινὸς κληρονόμου τῶν ἀνιόντων, ἢ κατιόντων, δύο περὶ τῆς ἐκείνου κληρονομίας ἀμφισβητεῖν, ἀδελφὸν καὶ θεῖον τοῦ ἀποιχομένου. Τούτων γὰρ ἑκάτερος ἠξίου μόνος τὴν κληρονομίαν λαμβάνειν. Ὁ μὲν ὡς ἀδελφὸς, ὁ δὲ ὡς θεῖος. Νόμου οὖν μὴ κειμένου, ταύτην τέμνοντος τὴν ἀμφιβολίαν, ἀναφορὰ γέγονε πρὸς βασιλέα, παρὰ τοῦ τῆς ἐπαρχίας ἄρχοντος. Ἀναγνοὺς τὸ ἀνενεχθὲν ὁ βασιλεὺς, ἀντέγραψε τὸν ἀ-

δελφὸν τοῦ τελευτήσαντος προτιμηθῆναι. Νομοθετεῖ δὲ καὶ ἐν δεκρέτῳ ὁ βασιλεύς. Καὶ τί ἐστι δέκρετον; Ἀπόφασις βασιλέως μεταξὺ δύο μερῶν παρ' αὐτοῦ δικαζομένων ἐκφερομένη, ὡς ἐπὶ τοῦ αὐτοῦ θέματος. Δύο τινὲς ἐφιλονείκουν περὶ κληρονομίας τελευτήσαντός τινος, ἀδελφός φημι, καὶ θεῖος τοῦ κατοιχομένου, περὶ τοῦ τίνα δεῖ εἰς τὴν κλῆσιν προτιμηθῆναι τῆς κληρονομίας. Καὶ ὁ βασιλεύς, ἀμφοτέρων ἀκροασάμενος, ἀπεφήνατο τὸν ἀδελφὸν προτιμηθῆναι, καὶ τοῦτο νόμος ἐστὶ βασιλέως. Λέγεται δὲ δέκρετον, παρὰ τὸ δεκέρνερε, ὅ ἐστι θεωρῆσαι. Σκοπήσας γὰρ τῇ οἰκείᾳ διανοίᾳ, τὸ νομιζόμενον αὐτῷ δίκαιον ἀποφαίνεται. Λέγεται δὲ ὁμωνύμως δέκρετον, καὶ ἡ τοῦ ἄρχοντος ἀπόφασις· ἀλλὰ ταῦτα διενηνόχασιν· ὅτι τὸ μὲν τοῦ βασιλέως δέκρετον, καὶ αὐτὴν καὶ ἄλλην τοιουτότροπον ὅτε

debere præferri.

Per decretũ quoque Princeps ius constituit. Et quid est Decretũ? Est sententia Principis inter duas partes, de quarũ ipse causa cognoscit & iudicat, pronuntiata. Vt in eadem specie. Duo aliqui magnis contentionibus de defuncti cuiusdam hereditate agebant, frater inquam & patruus defuncti, nempe vter eorum potiùs ad hereditatem deberet vocari. Princeps causa cognita & vtroq; audito, pronuntiauit: fratrem præferri. Et hoc lex est Principis. Dicitur autem Decretum à decernendo, quod dispicere significat: quoniam is vbi cum animo suo de tota re dispexit, id quod iustum sibi videtur, pronũtiat. Aequè autem & decretum dicitur sententia magistratus. Sed in hoc differunt: Quòd Principis Decretum, & eam ipsam & aliam similẽ causam

sam quocumq; tempore exortam dirimat. Magistratus autem decretum, eam tantùm de qua agitur, ac interdum ne eam quidẽ si intercesserit appellatio. Per edictum quoq; ius constituit Princeps. Et quid est edictum? Quicquid ex sua natura motus Princeps statuit ad honestatẽ & vtilitatẽ subditorũ. Dicit autẽ Edictũ ab edicẽdo, quod ꝓdicere significat, & obuiã ire rebus, quæ si cõtingant, damno aut dolori sint subditis futuræ. Nã sæpe Prĩcipes, cùm apud se de vita ac moribus suorum cogitationẽ instituerent, depræhẽderũt aliqua quæ admodũ iniqua & praua essent. Quale hoc fuerit: Quidam cùm centũ aureos mutuò daret, octonos aureos sibi quotannis dari vsuræ nomine stipulatus est. Id cùm Princeps apud se valde iniquũ esse videret, cõmotus aduersus eos q tã grauiter peccarẽt, cõstitutiõe emissa cauit,

δήποτε ἀναφυομένην ὑπόθεσιν ἐκτέμνει. τὸ δὲ τῶν ἀρχόντων, αὐτήν. ἔσθ᾽ ὅτε οὐδὲ αὐτήν, εἴγε ἔγκλητος παρακληθήσεται. Νομοθετεῖ δὲ καὶ ἐν ἐδίκτῳ ὁ βασιλεύς. Καὶ τί ἐστιν ἐδίκτον; Πᾶν ὅπερ ἐξ οἰκείας φύσεως κινηθεὶς ὁρίσει ὁ βασιλεύς, πρὸς τὴν τῶν ὑπηκόων εὐπραξίαν καὶ λυσιτέλειαν. Λέγεται δὲ ἐδίκτον, παρὰ τὸ ἐδίκερε, ὅ ἐστι προλέγειν, καὶ προαναστέλλειν, τὰ ἔσθ᾽ ὅτε τοῖς ὑπηκόοις συμβησόμενα λυπηρά. πολλάκις γὰρ καθ᾽ ἑαυτὸν ἐλογίσατο ὁ βασιλεύς, ἄτοπον εἶναι τὸ παρὰ τῶν ὑποτελῶν αὐτοῦ γινόμενον οἷον δανείσας τις ρ νομίσματα λόγῳ τόκου ἐπηρώτησε δίδοσθαι κατ᾽ ἔτος αὐτῷ νομίσματα η. Ἄτοπον τοῦτο καθ᾽ ἑαυτὸν ἐνθυμηθεὶς ὁ βασιλεύς, καὶ κινηθεὶς κατὰ τῶν τοιαῦτα πλημμελούντων τίθησι διάταξιν, ὥστε καθ᾽ ἕκαστον ἔτος, ἕνεκα νομισμάτων ἑκατὸν δεδανεισμένων, ϛ λόγου

χάριν τοῦ δίδοσθαι νομίσματα. Τὰ δὲ παρὰ τοῦ βασιλέως νομοθετούμενα, ἰσοδυναμεῖν τῇ λέξει τῶν ὡμολογημένων ἐστίν. Ἀλλ' ἔχει τις εἰπεῖν, Διὰ τί τῶν νομοθετησάντων τὰ σενάτους κονσοῦλτα πολλῶν ὄντων, ἡ γνώμη κατὰ τῶν ἰδιωτῶν οὐκ ἐκράτει; Καὶ πάλιν τοῦ χυδαίου δήμου ὄντος ἀμέτρου, οὐκ ἴσχυον αἱ νομοθεσίαι κατὰ συγκλητικῶν, εἰ μὴ Ὀρτίκιός τις, κατὰ ἀμφοτέρων τὰ παρ' ἑκατέρων κρατεῖν, ἔπεισε. Βασιλεὺς δὲ εἷς ἄνθρωπος ὢν νομοθετεῖ, καὶ οὐδεὶς τοῖς τούτου δόγμασιν ἐναντιοῦται; Ἀλλ' ἐροῦμεν, ὡς εἴ τις βουληθείη τὴν αἰτίαν γνῶναι, τοῦ ὅρου ὀφείλει λαβεῖν κατὰ διάνοιαν τοῦ τοῦ βασιλέως, ὅτι βασιλεύς ἐστιν, ὁ τὸ κράτος τῆς ἀρχῆς παρὰ τοῦ δήμου λαβών. Δῆμος δὲ ἐν ἑαυτῷ τὴν σύγκλητον ἔχει, καὶ τοὺς ἰδιώτας. Ὥστε οὖν, οὔτε τὸ χυδαῖον πλῆθος ταῖς τούτου διατάξεσιν ἠναντιοῦτο, οὔτε ἡ σύγκλητος

vt in centū aureos mutuò datos seni tā tùm (verbi gratia) quotānis vsuræ nomine darent. Porrò in cōfessum venit, ea quæ à Principe cōstituunt, legis vim habere. Sed dixerit hìc mihi aliqs: Quare cū in Senatuscōsultis faciendis frequēs sit Senatus, ea tamē plebē non tenerēt. Et rursum, cū immensus sit Plebis numer⁹, aduersus tamen Senatū Plebiscita nō valerēt, nisi Hortensius aliqs ita cū eis egisset, vt eo iure, quod alteri cōstituerēt, vtrosq; teneri vellēt: & tamē nemo Principis cōstitutionib⁹, quæ ab eo vno hoīe emittūtur, parēre detrectat? Sed dicim⁹ eū, q rationē eiusce rei cognoscere velit, ī memoria habere definitionē Prīcipis debere. Est enī Princeps, q ptātem imperādi à populo accepit. Porrò aūt populi appellatio, & Senatum & Plebem in se continet. Atque ita, neq; Plebs constitutionib⁹ eius parēre renuebat, neq;

Senatꝰ eas asperna- baf. Alioquin enim ipsi fecũ & cũ suffragiis suis pugnassẽt: populꝰ enim eũ in comitiis creauitvim obtinẽte lege Regia quæ de imperio eiꝰ lata est, & omnem Principi in populũ potestatem concessit. Quæ igitur constituuntur à Principe, communi nomine cõstitutiones vocantur. Atq; harum quædam sunt personales, neq; in exẽplũ trahuntur: quia non hoc Princeps voluerit. Nam si cui Princeps ob egregia in Rempub. merita aliquid concesserit, veluti immunitatem à tributis aut vectigalibus: ac deinde alius quispiam non peius aut etiam longè melius de Repub. mereatur, is ex illa lege consimilem sibi immunitatẽ vindicare non poterit: Propterea, quòd illa lex intra certam personam cõsistat. Sed & si cui aut grauiorẽ q̃ pro delicto vel q̃ lege cautum est, pœnã irrogauerit, aut

ταύτας ἀπεδοκίμαζε. Τοῦτο γὰρ πράττοντες, ταῖς ἑαυτῶν ἐμάχοντο ψήφοις. ὁ γὰρ δῆμος τοῦτον ἐχειροτόνησε, νόμου ῥεγίου τοῦτο κυρώσαντος, ὃς περὶ βασιλείας τεθεὶς, πᾶσαν βασιλεῖ δέδωκε κατὰ τοῦ δήμου τὴν ἐξουσίαν. Τὰ μὲν οὖν ὑπ' αὐτοῦ τεθέντα, κοινῷ ὀνόματι κέκληνται κονστιτούτιονες. Τούτων δὲ, αἱ μέν εἰσιν περσονάλιαι, καὶ οὐδ' εἰς παράδειγμα ἕλκονται, ἀλλὰ τὸ μὴ τοῦτο βασιλέα βεβουλῆσθαι· ἐὰν γάρ τινα τὴν ἑαυτοῦ πολιτείαν εὐεργετήσαντα φιλοτιμήσηται, ὁποῖον τὸ ἐξεῖναι αὐτῷ φόρους δημοσίους μὴ καταβάλλειν. ἐὰν οὖν συμβῇ μετὰ ταῦτα ἕτερον ὅμοια ἢ καὶ ἴσως μείζονα ὠφελῆσαι τὴν ἑαυτοῦ πολιτείαν, ὁ τοιοῦτος οὐ δυνήσεται ἐξ ἐκείνου τοῦ νόμου περιποιεῖν ἑαυτῷ παραπλήσια, ἀλλὰ τῷ προσώπῳ περικέκλεισται τοῦ νόμου. Εἰ δὲ καὶ τιμωρίαν ἔθετο ὅτε τινὶ τῶν ἐπταικότων τοῦ δέοντος ἐπήγαγε μείζονα, ἢ καὶ ἡμαρ

ἡμαρτηκότι πολλάκις συνέγνω τινὶ, οὐ πρὸς μίμησιν τοῦτο πέπραχε. ἀμέλει τοι, οὐδεὶς τῶν μετὰ ταῦτα πεπλημμεληκότων, τεύξεται τῆς ὁμοίας φιλανθρωπίας, ἢ περαιτέρω τιμωρηθήσεται τοῦ προσήκοντος. Μέχρι γὰρ τῶν τετυχηκότων ἵστανται ταῦτα. Αἱ μὲν οὖν προσωπικαὶ οὐχ ὑπερβαίνουσι τοὺς ἐφ' ὧν ἐτέθησαν. Αἱ δὲ γενικαὶ, καὶ κατὰ πάντων ἐκτείνονται προσώπων τε καὶ πρα-

¶.Prætorũ. γμάτων. ¶ Εἰρήκαμεν δὲ δ΄ νομοθέτας, δῆμον, χυδαῖον δῆμον, σύγκλητον, βασιλέα. Ἐν πέμπτῃ τάξει νομοθετοῦσι παρὰ Ῥωμαίοις οἱ ἄρχοντες τοῦ δήμου τοῦ Ῥωμαϊκοῦ, οἵτινες καὶ αὐτοὶ, τῇ στολῇ τῇ ὑπατικῇ, ἤγουν τῷ δίφρῳ ἐκέχρηντο. Πολλοὶ δὲ οὗτοι καὶ διάφοροι, γενικῷ δὲ πάντες ὀνόματι κέκληνται magistratus populi Romani, τουτέστιν ἄρχοντες τοῦ δήμου τοῦ Ῥωμαϊκοῦ. Ἐνομοθέτουν δὲ οὗτοι, οὐκ ἐν ἐπιστολῇ, οὐκ ἐν δεκρέτῳ,

pœnæ gratiam fecerit, id ad consequētiam non pertinet. Itaque nec si quis postea in idem delictū inciderit, aut similem gratiā consequetur, aut grauius quam par est in eū animaduertet. Quoniā intra personas eorum, quibus subuentum est, vel auctum suppliciū, ea sistentur. Personales igitur cōstitutiones, personas eorum de quibus emissę sunt, non excedunt. Quæ autē generales sunt: in omnes tum personas, tum res valent, atq; extenduntur. ¶ Quattuor diximus, qui Iura constituerēt, Populum, Plebem, Senatum, & Principem. Quinto loco apud Romanos Iura cōstituūt, Magistratus Populi Romani: qui & ipsi sella consulari siue curuli vtebantur. Multi autem hi, & varii sunt: & communi nomine Magistratus Populi Romani vocātur. Porrò constituebant hi Iura, non per epistolā, nec per decretū,

sed

sed p edicta tantū. Et quænā ratio est, vt Princeps & p decretū & p edictū Iura constituat: magistrat⁹ autē tantū p edictū? Et inde hui⁹ rei causa fluxit. Veteres cū Remp. Romanā cōstituerēt, & eā bonis legib⁹ institui vellent, id summo opere laborauerūt, ne qd in cōstituēdo Iure admitterē, qd meritò reprehendi posset. Id aūt maximè vident esse cōsecuti, cùm Principū decreta & edicta, legis vigorē habere voluerūt: magistratuū verò nō item. Satis enim sciebāt, Magistratū multis obnoxiū esse suspiciōib⁹, utrū amicitiæ aliqd tribuens, aut donis corruptus, an odio incēsus ita p̄nūtiasset. Quę in Principē nō cadūt. Neq; enī auro is inescat, q nō tantū fortunarū nostrarū, sed etiā corporū ipsorū domin⁹ est. Neq; ob amicitiā Iura trāsgredit: quoniā princeps ei, quē diligit, aliter p̄desse pōt, vnde & certiorē gratiā, & veriorē gloriā adsequat. Ne-

ἀλλ᾽ ἐν ἐδίκτῳ μόνον. Καὶ τί τὸ αἴτιον, τὸν βασιλέα μὲν, καὶ ἐν δεκρέτῳ νομοθετεῖν, καὶ ἐν ἐδίκτῳ· τοὺς δὲ ἄρχοντας, ἐν ἐδίκτῳ μόνον; ἐντεῦθεν ἡ αἰτία. οἱ πάλαι τὴν Ῥωμαϊκὴν πολιτείαν καταστήσαντες, καὶ ταύτην εὐνομεῖσθαι βουληθέντες, ἀνεπίληπτον τὴν οἰκείαν γενέσθαι νομοθεσίαν ἐσπούδασαν. Τοῦτο δὲ ἐπετύγχανον, βασιλεῖ, καὶ ἐν δεκρέτῳ καὶ ἐν ἐδίκτῳ νομοθετεῖν ἐπιτρέψαντες, ἄρχουσι δὲ οὐκ ἔτι. ἤδεσαν γὰρ ὡς ὁ ἄρχων, πολλαῖς ὑποψίαις ὑπόκειται, ὅτι τῇ φιλίᾳ χαριζόμενος, ἢ δῶρα λαβὼν, ἢ πρὸς ἔχθραν κλίνων, ἀπεφήνατο τοιῶσδε. Βασιλεὺς δὲ τούτων κρείττων· οὔτε γὰρ χρυσῷ δελεάζεται, ὃς οὐ μόνον τῆς ἡμετέρας περιουσίας, ἀλλὰ καὶ αὐτῶν τῶν σωμάτων ἐστὶ κύριος. οὐδὲ φιλίᾳ ὑπερβαίνει τὸ νόμιμον. φιλῶν γὰρ βασιλεὺς, ἑτέρως ὠφελῆσαι δύναται, ἐξ ὧν μᾶλλον εὐδοκιμεῖ. οὐδὲ δι᾽ ἔχθραν

τὰ

τι ποιεῖ. οὐ γὰρ μισεῖ τινα βασιλεὺς τῶν ὄντων ὑπὸ τὴν αὐτοῦ πολιτείαν. Εἰ δέ τις εὑρεθῇ, τοῖς τελευτῶσι συναριθμηθήσεται. Τὸ δὲ ἐν ἐδίκτῳ μόνῳ νομοθετεῖν τοῖς ἄρχουσιν ἐφεῖται. ἐπειδὴ πρὸ τῶν πραγμάτων τίθενται, τουτέστι πρὸ τοῦ κινηθῆναι τὰ πράγματα καὶ τὰς ὑποθέσεις. καὶ πάσης χείρονος ὑποψίας ἐστέρηται. Δεδώκασι δὲ κατεξαίρετον τὸ νομοθετεῖν, τῷ πραίτωρι τῷ οὐρβανῷ καὶ τῷ πραίτωρι τῶν περεγρίνων, καὶ τοῖς ædilibus curulibus. καὶ πραίτωρ οὐρβανὸς ὠνόμασται ἐντεῦθεν. πραίτωρ μὲν παρὰ τὸ pręcedere, τουτέστι προηγεῖσθαι καὶ ἄρχειν. οὐρβανὸς δέ, ἐπειδὴ vrbs κατ᾽ ἐξοχὴν ἡ Ῥώμη λέγεται. ἐδικαιοδότει γὰρ τοῖς ἐν ῥώμῃ. ὁ δὲ ἕτερος ὠνομάζετο πραίτωρ περεγρῖνος. πραίτωρ μὲν διὰ τὸ præcedere, περεγρῖνος δέ, ἐπειδὴ ἐδικαιοδότει τοῖς ξένοις τε καὶ ἐπήλυσιν. ἐπειδὴ γὰρ πλήθους

que etiam odio cuiusquã aliqd facit. Nec enim odit Princeps quemquã eorũ qui sunt in ipsi⁹ Republica: aut si quis inuẽtus fuerit, is ꝓtinus inter mortuos connumerabit̃. Porrò ideò tantũ ꝑ edictũ iura constituere magistratib⁹ ꝑmissũ est, quòd edicta res ipsas præcedant, id est, ꝙ anteq̃ negotia & causę existãt, ꝓponi soleãt: atq; ita omnis sinisterior suspicio cesset. Præcipua autẽ iuris cõstituẽdi potestas Prętori vrbano data est, & Prætori peregrino, & Aedilib⁹ Curulib⁹. Ac Prætoris vrbani appellatio ĩde fluxit: quoniã Prætor à præcedẽdo qđ anteire & imperare significat dictus est. Vrban⁹ autẽ, q̃a Vrbs κατ᾽ ἐξοχὴν, id est, ꝑ excellẽtiã Roma dicit̃. Atq; is his, q̃ Romæ agebãt, ius dicebat. At alter Prætor Peregrin⁹ dicebat̃: Prætor q̃dẽ ab eo qđ est præcedere: Peregrin⁹ verò, ꝙ inter peregrinos & aduenas ius redderet. Nã

cùm

cùm innumerabilis hominũ turba Romam confluerет, nec omnibus Prætor vrbanus operam dare posset: creatus est Prætor Peregrinus, qui peregrinis *ius diceret. ¶Porrò ædiles Curules & ipsi constituebãt Iura, qui ex eo nomẽ hoc sumpsêre, quòd ædium sacrarum curam gererent, ναοὶ enim, id est, templa, Latinè ædes: φροντὶς, id est, sollicitudo, Latinè cura. Id enim ad sollicitudinẽ ipsorũ ꝑtinebat, ne qs ante quadragesimũ fortè annũ ad sacerdotiũ admitterẽt. Aut, qđ vel magis est, ꝗ forum curarẽt, ita vocati sunt. Nã & qui Latinè ædiles dicũtur, à Græcis ἀγορανόμοι vocantur. Aut qđ omniũ maximè ad verũ accedit, ex illo. Nã quo tempore plebs secesserat à Senatu, queãdmodũ inter Patres Cõsul ius reddebat, & cõtrouersias dirimebat: ita & in plebe creat⁹ est quidã, quẽ hi adirẽt q ope aliqua egerẽt, & ita

ὄντος ἀναριθμήτου, οὐκ ἐξήρκει πάντων ἀκροᾶσθαι ὁ πραίτωρ ὁ οὐρβανὸς, ἐπενοήθη ὁ περεγρῖνος, ὥστε δικαιοδοτεῖν τοῖς περεγρίνοις. ¶Οἱ δὲ ædiles curules, καὶ αὐτοὶ ἐνομοθέτουν. ὠνομάσθησαν δὲ ἐντεῦθεν, ἐπειδὴ φροντὶς αὐτοῖς ἦν ἡ τῶν ναῶν εὐκοσμία. ædes γὰρ οἱ ναοὶ, cura δὲ ἡ φροντίς. ἦν γὰρ αὐτοῖς ἐν ἐπιμελείᾳ, ὥστε μὴ πρὸ τοῦ τεσσαρακοστοῦ τυχὸν ἐνιαυτοῦ, ἱερωσύνης ἐπιλαβέσθαι τινά. ἢ μᾶλλον ἐπειδὴ τῆς ἀγορᾶς ἐφρόντιζον, οὕτως ὠνομάσθησαν. ædiles γὰρ οἱ ἀγορανόμοι. ἢ τὸ πάντων ἀληθέστατον, ἐντεῦθεν. ἐν τῷ καιρῷ τῆς διαστάσεως, ὥσπερ παρὰ τοῖς συγκλητικοῖς ἦν ὁ ὕπατος, δικαιοδοτῶν καὶ τέμνων τὰς δίκας, οὕτω καὶ παρὰ τοῖς ἰδιώταις, προεβλήθη τις, ὃν ἔδει δέχεσθαι τὰς προσελεύσεις τῶν δεομένων τινὸς βοηθείας. καὶ ἀπὸ τῆς προσελεύσεως, ædilis ὠνομάσθη ἀπὸ τῆς ἀδιλίας

θ. Proponebant.

ὅ

ὅ ἐστι προσέλευσις, εἶτα διὰ τὴν εὐφωνίαν, προσετέθη τὸ Ε στοιχεῖον, καὶ γέγονεν αἰδίλες. Κούρουλες διὰ τοῦτο, ἐπειδὴ ἐκέχρηντο τῇ σέλλῃ τῇ ὑπατικῇ. τὰ δὲ τούτων ἔδικτα, ἐκράτει καὶ ἐν ταῖς ἐπαρχίαις. ἐλέγετο δὲ ἡ τούτων νομοθεσία, ius honorarium, ἐπειδὴ εἰς τιμὴν τῶν ἀρχόντων, καὶ τῶν τεθέντων, ἐκράτει τοῦτο καὶ ἐπολιτεύετο. καὶ οἱ αἰδίλες οὖν ἐνομοθέτουν περί τινων κεφαλαίων, καὶ τὸ τούτων ἔδικτον, μέρος γέγονεν, ἤτοι συνήφθη τῷ ἐδίκτῳ τῶν δύο πραιτώρων, οὐρβανοῦ τε, καὶ περεγρίνου ¶ Ἐν ἕκτῃ τάξει νομοθετοῦσιν οἱ σοφοί. Σοφοὺς δὲ λέγω, οἷς τὸ νομοθετεῖν ὁ δῆμος, ἡ σύγκλητος, ἢ βασιλεὺς ἐπέτρεψε. τὸ δὲ παρ' αὐτῶν νομοθετούμενον, γενικῷ ὀνόματι κέκληται responsa prudentum, τουτέστιν ἡ ἀπόκρισις τῶν σοφῶν, ἐπειδὴ κατὰ πεῦσιν καὶ ἀπόκρισιν ἐνομοθέτουν. τὸ δὲ responsum τέμνεται εἰς

6. Respōsa prudentū.

ab adeundo dictus est ædilis quasi adilis: nam euphoniæ gratia interposita est littera E, & ita factum est, Aediles. Curules autē ideo dicuntur, quòd sella consulari vterentur. Horum edicta & in prouinciis obtinebant. Ius autem quod hi constituebant, ius honorariū appellabatur: quoniam in honorem magistratuum & auctorum eius, id valebat, & in vsum recipiebat. Aediles igit de capitulis & causis quibusdā ius cōstituebant: & edictū eorum factū est portio, ac cohæret edicto amborū Prætorum Vrbani & Peregrini. ¶ Sexto loco Ius cōstituunt prudentes. Prudētes dico, quibus iura condere popul' aut Senatus aut Princeps cōcessit. Ius autē qđ ab his constituitur, generali nomine vocatur, Respōsa Prudentū: quoniā per cōsultationē & responsionē iura condebant. Porrò respōsum diuiditur in sent

sententiam & opinionem. Et quid est sententia? Est perfecta & indubia responsio. Veluti, hoc facere licet, hoc facere non licet. Opinio verò est, suspensa & timida, ac cum dubitatione elata responsio. Vt existimo hoc fieri licere: existimo hoc fieri non licere. Concessum autem erat his, vt publicè Iura constituerent, siue interpretarentur: qui & Iurisconsulti appellati sunt, quòd de iure interrogarentur: nam consulere, interrogare est. Quorum sententiæ & opiniones eã auctoritatem obtinẽt, vt liberum non sit Iudici, à responso eorum recedere: quemadmodum & Principis cuiusdam constitutione cauetur. In his igitur Ius omne scriptum consistit: in his scilicet, quę vel à Populo constituta sunt, vel à Plebe, vel à Senatu, vel à Principe, vel à magistratibus populi Romani, vel ex responso

σεντέντζιαν, καὶ ὀπινιόνα. καὶ τί ἐστι σεντέντζια; ἡ αὐτοτελὴς καὶ ἀναμφίβολος ἀπόκρισις. οἷον ἔξεστι τόδε ποιεῖν, οὐκ ἔξεστι τόδε ποιεῖν. ὀπίνιο δὲ ἡ ὑπεσταλμένη, καὶ μετ' ἐνδοιασμοῦ προσφερομένη ἀπόκρισις. οἷον νομίζω ὅτι ἔξεστι τόδε ποιεῖν, νομίζω ὅτι οὐκ ἔξεστι τόδε ποιεῖν. ἐπετέτραπτο δὲ τούτοις δημοσίᾳ νομοθετεῖν, ἤτοι τοὺς νόμους ἑρμηνεύειν. οἵτινες Iurisconsulti προσηγορεύθησαν, τουτέστιν οἱ περὶ τοῦ νόμου ἐπερωτώμενοι. Consulere δέ ἐστι τὸ ἐρωτᾶν. ὧν αἱ σεντέντζιαι καὶ ὀπινιόνες ταύτην ἔχουσιν τὴν αὐθεντείαν, ὥστε μὴ ἔχειν παρρησίαν δικαστὴν ταῖς αὐτῶν ἀπειθεῖν ἀποκρίσεσιν, ὥσπερ καὶ βασιλέως βοᾷ διάταξις. καὶ ἐν τούτοις μέν ἐστιν ἡ ἔγγραφος νομοθεσία, τουτέστιν ἐν τοῖς ὑπὸ τοῦ δήμου τεθεῖσιν, ἢ χυδαίου δήμου, ἢ συγκλήτου, ἢ βασιλέως, ἢ ἀρχόντων τῆς Ῥώμης, ἢ τῶν σοφῶν

θ. Ex non scripto.

ἀποκρίσεως. ¶ Ἄγραφος δὲ νόμος ἐστὶν ὅνπερ ἡ χρονία συνήθεια συναινέσει τῶν χρωμένων ἐβεβαίωσε, καὶ εἰς μίμησιν ἀνήγαγε τοῦ ἐγγράφου νόμου.

θ. Et non inelegāter.

¶ Ἀνεπιλήπτως οὖν εἴποι τις, εἰς δύο εἴδη ταύτην τὴν πολιτικὴν διαιρεῖσθαι νομοθεσίαν, εἰς ἔγγραφον νόμον, καὶ ἄγραφον. ἡ δὲ τούτων ἀρχηγονία ἐκ διδασκαλίας τῶν δύο πόλεων, Ἀθηνῶν φημὶ, καὶ Λακεδαίμονος καταρρεῦσαι δοκεῖ. ἐν γὰρ ταῖς πόλεσι ταύταις, εἰώθει πράττεσθαι τοῦτο καὶ κρατεῖν. ὥστε Λακεδαιμονίους μὲν μνήμῃ τοὺς οἰκείους νόμους διαφυλάττειν. Ἀθηναίους δὲ ἐκείνους τιμᾶν, ὅσους ἐν γράμμασιν ἴσασιν ὄντας, καὶ τούτους φυλάττειν.

θ. Sed naturalia.

¶ Ἀλλὰ τὰ μὲν iura gentium ἤτοι ἐθνικὰ νόμιμα, παρὰ πᾶσι ἔθνεσι πολιτεύεται ἐκ θειοτέρας εὑρεθέντα προνοίας. ὅθεν τὸ βέβαιον καὶ ἀμετακίνητον ἔχει. ὅσα δὲ ius ciuile, τουτέστιν ἅπερ ἑκάστη

prudentum. ¶ Ius autem nō scriptum est, quod longa consuetudo consensu vtentium approbauit, & ad similitudinem Iuris scripti redegit. ¶ Haud igitur culpādus fuerit, qui dicat in duas species Ius Ciuile distributum esse, in Ius scriptum, & in Ius non scriptum. Summa autem eorum origo ex institutis duarum ciuitatum Athenarū scilicet & Lacedæmonis videtur fluxisse. In his enim Ciuitatibus ita agi solitum erat, vt Lacedæmonii iura sua magis memoriæ mandarent, Athenienses ea maximè seruarent custodirentq́;, quę in litteras essent relata. ¶ Sed iura quidem gentium veluti diuina quadam prouidentia apud omnes peræquè gentes seruantur, vnde & firma semper atque incommutabilia permanent. Quæ verò ex Iure ciuili descendunt, id est, quæ ipsa sibi quæque ciuit

ciuitas constituit, sæpe mutari solent: vel tacito populi consensu, vel alia lata lege.

πόλις ἐνομοθέτησεν ἑαυτῇ, ἀμείβεσθαι πολλάκις εἴωθε, ἢ σιωπηρᾷ τοῦ δήμου συναινέσει, ἢ δευτέρου νόμου θέσει.

---

## DE IVRE PERSONARVM. Tit. III.

CVm diximus quid sit iustitia, & generalem iuris diuisionem exequuti simus, didicerimusq; quot olim iura constituerint, ac quomodo ea, quæ à quoque constituebantur, vocata sint: & quemadmodum aliud sit ius scriptũ, & aliud sit ius non scriptum: pergamus ad aliud, ac discamus circa quot ius Romanorum versetur. Circa tria igitur versatur: circa personas, circa res, circa actiones. Et quidem circa personas, quum dicimus, hic Senatorius est, aut ex plebe. Circa res, cùm quærimus testamentũ ab aliquo factũ valeátne, an inutile sit. Circa actiones, cùm in dubiũ venit, Sitne huic actio, an nõ sit. Atq;

ΕΙπόντες τί ἐστι δικαιοσύνη, καὶ τὴν γενικὴν διεξελθόντες τῶν νόμων διαίρεσιν, μαθόντες δὲ καὶ πόσοι τὸ παλαιὸν ἐνομοθέτουν, καὶ πῶς τὸ παρ᾽ ἑκάστου νομοθετούμενον κέκληται, καὶ ὅτι τῶν νόμων οἱ μὲν ἔγγραφοι, οἱ δὲ ἄγραφοι, μετέλθωμεν ἐφ᾽ ἕτερον. καὶ μάθωμεν περὶ πόσα ἡ τῶν Ῥωμαίων καταγίνεται νομοθεσία. περὶ τρία τοίνυν γίνεται, περὶ πρόσωπα, περὶ πράγματα, περὶ ἀγωγάς. καὶ περὶ πρόσωπα μὲν, ὅταν εἴπωμεν, ὁ δεῖνα συγκλητικός ἐστιν, ἢ ἰδιώτης. περὶ πράγματα, ἡνίκα ζητοῦμεν, πότερον ἔρρωται, ἡ γενομένη ὑπό τινος διαθήκη, ἢ ἄχρηστός ἐστι. περὶ ἀγωγάς, ἡνίκα ἀμφισβητεῖται, πότερον τῷδε πρόσεστιν ἀγωγὴ, ἢ οὐ πρόσεστιν. καὶ

δεῖ κατὰ τὴν πρώτην τάξιν περὶ προσώπων διαλεχθῆναι, εἶτα περὶ πραγμάτων, καὶ μετὰ ταῦτα περὶ ἀγωγῶν. Συμβαίνει δὲ τὸ καλῶς ἔχειν ἡ τοιαύτη τάξις. προσώπων μὲν γὰρ ὑποκειμένων, ἀναφύεσθαι πράγματα τῶν ὁμολογημένων ἐστίν· ὑπόντων δὲ πραγμάτων, καὶ περὶ ἀγωγῶν ἀνάγκη ζητεῖν. δεῖ οὖν περὶ προσώπων εἰπεῖν. εὐτελὴς γὰρ καὶ ἀνόνητος ἡ τῶν νόμων κατάληψις, εἴγε τὰ πρόσωπα παρ' ἡμῶν ἀγνοεῖται, ὧν χάριν ἐπινενόηνται νόμοι. ¶ Ἡ τοίνυν τῶν προσώπων ἀκριβὴς διαίρεσίς ἐστιν αὕτη· ὅτι τῶν ἀνθρώπων, οἱ μέν εἰσιν ἐλεύθεροι, οἱ δὲ δοῦλοι. ¶ Καὶ τὴν μὲν ἐλευθερίαν ἐξ ἧς ἡ τῶν ἐλευθέρων ἐπινενόηται προσηγορία, οὕτως ὁρίζεσθαι χρή. ἐλευθερία ἐστὶν, ἐξουσία φυσικὴ, ἑκάστῳ συγχωροῦσα πράττειν ἃ βούλεται, εἰ μὴ νόμος ἢ βία κωλύσῃ. βία μὲν, ἐπειδὴ βουλόμενόν με ἐσθ' ὅτε τι πρᾶ

¶. Summa itaque.

¶. Et libertas.

in primis de personis disserendum est, deinde de rebus, & postea de actionibus. Hic enim ordo verissimus & rectissimus est. Quoniam vbi personæ sunt, ibi & res existere in confesso est. Atque cùm res existunt, tunc & de actionibus necesse est quærere. Dicendum est igitur de personis. nam & exiguum quiddam sit ac inutile, iura noscere: si personæ, quarum gratia ius constitutum est, à nobis ignorentur. ¶ Summa itaque personarum diuisio est hæc, quòd hominum alii sint liberi, alii serui. ¶ Et libertas quidem (ex qua & liberi vocantur) sic definienda est, Libertas est naturalis facultas, qua cuique facere, quæ velit, concessum est nisi quatenus aut ius, aut vis prohibet. Vis quidem, veluti cùm me agere aliquid volentem quod iure vetis

vetitum non est, fortior quispiam & plus habens virium prohibet. Ius autem, veluti cùm pœnarum minis coërceor, ne quidquid animo collibitum est, faciam. Nam seruo ne omnia pro animo suo agat, etiam timor domini obstat. ¶ Seruitus autem est constitutio iurisgentium qua quis dominio alieno contra ius naturæ subiicitur. Quoniam natura omnes liberos produxit: bellorum autem machinamenta, seruitutem inuenerunt. Nam ius belli vult, vt victores eorum, quos vicerint, domini fiant. ¶ Serui autem ex eo appellati sunt, quod Imperatores captiuos quos vendere volebant, seruabant, nec occidi sinebant. A seruando igitur serui dicti sunt, qui etiam vocantur mancipia, quòd ab hostibus manu capiantur.

ἐξὸν, ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, διακωλύει τις ἰσχύι μείζονι βιαζόμενος. νόμος δέ ἐστιν, ὅτε τιμωριῶν ἀπειλαῖς εἴργομαι πράττειν ἃ βούλομαι. οἰκέτην γὰρ ποιεῖν τι κατὰ γνώμην, ὁ δεσπότου δέος ἐμποδίζει. ¶ Δουλεία δέ ἐστιν, ἐθνικοῦ νομίμου διατύπωσις, ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ, ὑπεναντίον τοῦ φυσικοῦ νομίμου. ἡ γὰρ φύσις πάντας ἐλευθέρους παρήγαγεν, ἡ δὲ τῶν πολεμίων ἐπίνοια τὴν δουλείαν ἐφεῦρεν. ὁ γὰρ τοῦ πολέμου νόμος, κτῆμα τῶν κρατούντων θέλει τοὺς νενικημένους εἶναι. ¶ Καὶ οἱ δοῦλοι λέγονται σέρβοι, ἐντεῦθεν προσαγορευθέντες, ἐπειδήπερ οἱ τῶν πολέμων ἡγεμόνες, τοὺς αἰχμαλώτους οὓς ἐβούλοντο πιπράσκειν ἐφύλαττον, καὶ ἀναιρεῖν διεκώλυον. ἀπὸ οὖν τοῦ σερβάρε, ὅ ἐστι φυλάττειν, ὠνομάσθησαν σέρβοι, οἵτινες καὶ μαγκίπια προσαγορεύονται, quia manu capiuntur.

§. Seruitus autem.

§. Serui autem ex eo.

tur. ἐπειδὴ ἀπὸ τῶν πολεμίων χειρὶ λαμβάνονται. ¶ Οἱ δὲ δοῦλοι ἢ τίκτονται, ἢ γίνονται. τίκτονται οἱ ἐκ τῶν ἡμετέρων ἡμῖν προσγινόμενοι θεραπαινῶν. γίνονται οἱ ἐκ τῶν ἐθνικῶν νομίμων, τουτέστιν ἐκ τῆς αἰχμαλωσίας. ἢ νόμῳ πολιτικῷ, οἷον ἡνίκα τις ἐλεύθερος ὢν, καὶ μείζων τῶν κ ἐτῶν, ἐπὶ τῷ μερίσασθαι τὸ τίμημα, ἑαυτὸν ὑπέμεινε διαπραθῆναι. ἔσθ' ὅτε γὰρ διαλέγομαί τινι, ὥστε με πωλῆσαι νομισμάτων, λόγου χάριν, κ, καὶ αὐτὸν μὲν ἀποκερδᾶναι ε, ἐμοὶ δὲ παρασχεῖν ιε. ὁ γὰρ τοιοῦτος, ἐκ τῆς ἰδικῆς τῶν Ῥωμαίων νομοθεσίας ὑφαίρεσιν ὑφίσταται τῆς ἐλευθερίας, ἣν ὕβρισεν, ἀνάξιον ἑαυτὸν ταύτης ἀποδείξας, καὶ τὴν ἐκεῖθεν αὐτῷ προσοῦσαν παρρησίαν προδοὺς, εὐτελοῦς χρυσίου λήψει. ¶ Καὶ ἡ μὲν τῶν δούλων τύχη οὐδεμίαν ἐπιδέχεται διαίρεσιν. οὐ γάρ ἐστιν εἰπεῖν ἐπ' αὐτῶν, ἧττον δοῦλος, ἢ μᾶλλον δοῦλος. ἔστιν οὖν ἄτμητος ἡ δουλεία.

§. Serui autem.

¶ Porrò serui aut nascũtur, aut fiunt. Nascuntur, qui ex ancillis nostris nobis gignuntur. Fiũt, aut iure gentium, id est, ex captiuitate: aut iure ciuili, vel uti cùm homo liber maior viginti annis, ad participãdum pretium se venundari passus est. Egi enim fortasse cum aliquo, vt me, verbi gratia viginti aureis venderet, & sibi pro lucro quinque haberet, & quindecim mihi redderet. Hic namque talis, eo iure, quod Romanorum proprium est, libertatẽ amittit, cui tantam ignominiæ notam inussit, simul & seipsum ea indignum ostendens, & liberũ arbitrium quod per eam habebat, vili accepto argento, prodens.

§. In seruorum.

¶ Et seruorum quidem conditio nullam recipit diuisionem, neq; enim de quoquam eorum dicere possis, minùs seruus aut magis seruus. Scindi igitur in species seruitus non

potest. In liberis verò multas inuenimus differẽtias: aut enim, ingenui sunt, aut libertini.

ἐπὶ δὲ τῶν ἐλευθέρων, πολλὰς εὑρίσκομεν διαφοράς. ἢ γὰρ εὐγενεῖς εἰσὶν, ἢ ἀπελεύθεροι.

---

## DE INGENVIS. Tit. IIII.

Diximus liberos in duo diuidi, in ingenuos, & libertinos. Et ingenuus est, qui simul ac natus est, liber est, nondum seruitutis iugum expertus, siue ex duobus ingenuis matrimonio editus est, siue ex duobus libertinis, siue vna persona ingenua sit, & altera libertina. ¶ Sed & si quis ex matre nascatur libera, sed patre seruo: nihilo minus ingenuus erit: quemadmodum & is, qui ex matre libera, & incerto patre, hoc est, ex meretricio concubitu natus est. Neque enim pueri ingenuitatẽ offendit, ex meretricio coitu conceptũ esse. Sufficit autem liberam esse matrẽ, eo tempore quo nascitur: quamuis eo tẽpore,

Εἰρήκαμεν τοὺς ἐλευθέρους εἰς δύο διαιρεῖσθαι, εἰς εὐγενεῖς καὶ ἀπελευθέρους. καὶ εὐγενής ἐστιν, ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὢν, καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος, εἴτε ἐκ συνοικεσίου, δύο εὐγενῶν ἐτέχθη, εἴτε ἐκ δύο ἀπελευθέρων. εἴτε τὸ ἓν πρόσωπόν ἐστιν εὐγενὲς, τὸ δὲ ἕτερον ἀπελεύθερον. ¶ Εἰ δὲ καί τις ἐξ ἐλευθέρας τεχθῇ μητρὸς, δούλου δὲ πατρὸς, εὐγενὴς ὁμοίως ἐστὶν, ὥσπερ ὁ ἐξ ἐλευθέρας μητρὸς, καὶ ἀδήλου πατρὸς, τουτέστιν ὁ ἀπὸ πορνείας. οὐδὲ γὰρ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν, τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν. ἀρκεῖ δὲ ἐλευθέραν εἶναι τὴν μητέρα μετὰ τὸν χρόνον τοῦ τοκετοῦ, εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς, οὐδὲν αὐ- (t. Sed & si quis.)

τὴν δούλην. καὶ ἐκ τοῦ ἐναντίου, εἰ ἐλευθέρα συλλάβοι, καταδουλωθεῖσα δὲ, ἐπειδὴ ὑπέσχετο ἑαυτὴν πραθῆναι, καὶ ἐκ τοῦ τιμήματος εἰληφέναι, καὶ τέκῃ, ἐλεύθερον τὸ τεχθέν. ὁ γὰρ κυοφορούμενος οὐ βλαβήσεται ἐκ τῆς συμφορᾶς τῆς περιστώσης τὴν μητέρα. ἐπειδὴ δὲ εἰρήκαμεν, ἀρκεῖν πρὸς ἐλευθερίαν τῷ παιδὶ, τὸ ἐλευθέραν ἐν τῷ τίκτειν εἶναι τὴν μητέρα, καὶ ὅτι ἐὰν γένηται σύλληψις ἐν ἐλευθερίᾳ, ὁ τοκετὸς δὲ ἐν δουλείᾳ, ἐλεύθερος ὁ τικτόμενος, ἐντεῦθεν ὅρα οἷον ἐζητήθη. δούλη τις οὖσα κατὰ τὸν καιρὸν ὃν συνέλαβε, τῆς δουλείας ἠλευθερώθη. ὀλίγου χρόνου παραδραμόντος, κατεδουλώθη. τέτοκε μετὰ τὴν καταδούλωσιν. σκοπήσωμεν, πότερον ἐλεύθερον ἢ δοῦλόν ἐστι τὸ τικτόμενον. καὶ φαμὲν ἐλεύθερον εἶναι. ἀρκεῖ γὰρ τῷ ὄντι ἐν γαστρὶ, τὸ κατὰ τὸν μέσον καιρὸν ἐλευθέραν εἶναι τὴν μητέρα, ὅπερ καὶ ἀληθές ἐστι.

quo conceptus est, serua fuerit. Et ex contrario, si libera concepit, & ancilla facta peperit, vt quia vendi se passa est, & ex pretio accepit, liberum est quod nascitur. Quoniam ei, qui in vtero est, calamitas matris non nocet. Porò cùm dictum sit sufficere infanti ad libertatem, quòd mater in pariendo libera fuerit: & quando conceptio in libertate contigit, ac partus in seruitute, liberum esse qui nascitur: vide quid ex hoc quæsitum sit. Ancilla quædam cùm prægnans esset, manumissa est; paulò post ancilla facta est. Posteaquam ancilla facta esset, peperit. Videamus, seruum an liberum pepererit. Et dicimus liberum pepe-risse. Sufficit enim ei, qui in vtero est, matrem ipsius vel medio tempore liberam fuisse. Quod & verum est.

¶ Is, qui ingenuus natus est, si status sui ignarus seruierit, & deinde manumissus fuerit, Ingenuitas eius per manumissionem nō læditur. Nam id ita sæpissime Principum constitutionibus cautum est, Libertatem ex abundanti & superuacuo datam, nullum ingenuitati præiudiciū párere. Et quomodo contingat, vt ingenuus aliquis manumittatur, exēplo aliquo velut ex facto ostendamus. In ministerio meo liberam habebam mulierem. Ea peperit: Et anniculum (verbi gratia) relinquens puerum decessit. Non multò post euēnit, vt & ego morerer. Heres meus cùm in hereditate mea infantem hūc reperisset, seruum esse putauit: Sed & is cùm adoleuisset, condicionem suam ignorabat. Verùm Ius cui nota est veritas: ex heredis & ipsius pueri errore, ingenuitatem eius non

¶ Ὁ δὲ τικτόμενος εὐγενὴς, ἐὰν ἐν ἀγνοίᾳ τῆς οἰκείας δουλεύσῃ τύχης, εἶτα ἐλευθερωθῇ, οὐδεμίαν ὑποστήσεται περὶ τὴν εὐγένειαν βλάβην, ἐκ τοῦ ἐλευθερωθῆναι. τοῦτο γὰρ πολλάκις ταῖς βασιλικαῖς εἴρηται διατάξεσι, τὴν κατὰ τὸ περιττὸν διδομένην ἐλευθερίαν, πρόκριμα μὴ ποιεῖν τῇ εὐγενείᾳ. καὶ πῶς συμβαίνει τὸν εὐγενῆ ἐλευθερωθῆναι; εἴπωμεν ὡς ἐπὶ θέματος. εἶχον ἐγὼ ἐλευθέραν τινὰ γυναῖκα πρὸς ὑπηρεσίαν. τέτοκεν αὕτη· καὶ ἐνιαύσιον, λόγου χάριν, καταλιποῦσα τὸ τεχθὲν, ἐτελεύτησε. συνέβη κἀμὲ τελευτῆσαι μικρὸν ὕστερον. ὁ ἐμὸς κληρονόμος εὑρὼν ἐν τῇ ἐμῇ περιουσίᾳ τὸ παιδίον, ἐνόμισεν εἶναι δοῦλον, καὶ αὐτὸ δὲ τὸ παιδίον τέλειον γεγονὸς, τὴν οἰκείαν ἠγνόει τύχην. ὁ δὲ νόμος εἰδὼς τὸ ἀληθὲς, ἐκ τῆς τοῦ κληρονόμου, καὶ τῆς αὐτοῦ τοῦ παιδὸς πλάνης, οὐκ ἤμειψεν αὐτοῦ

θ. Cum autem.

τὴν εὐγένειαν. κἂν ὁ ἐμὸς πεπραθεὶς κληρονόμος, εὐνοίᾳ ἑαυτοῦ ἠλευθέρωσεν, ἡ κατὰ τὸ περιττὸν ὡς εἴρηται προστεθεῖσα ἐλευθερία, διὰ τὴν ψευδῆ δουλείαν, τὴν ἐξ ἀληθείας οὐκ ἠδίκησεν εὐγένειαν.

mutauit. Et si heres beneficium manumissionis in eum conferre voluerit, libertas frustra & superuacuò, vt dictum est, data, propter fictam seruitutem, veram ingenuitatem non corrumpet.

---

## DE LIBERTINIS. Tit. V.

Εἰρήκαμεν τίνες εἰσὶν εὐγενεῖς, εἴπωμεν καὶ τοὺς ἀπελευθέρους. ἀπελεύθερος δέ ἐστιν, ὁ ἐκ δικαίας δουλείας ἐλευθερωθείς. πρόσθες δὲ, Καὶ ἐννόμου. οὐκοῦν ἀπελεύθερός ἐστιν, ὁ ἐκ δικαίας καὶ ἐννόμου δουλείας ἐλευθερωθείς. προσέκειται τῷ ὅρῳ, Δικαίας, ἵνα ἐξέλω τὸν ἐν ἀγνοίᾳ τῆς οἰκείας δουλεύοντα καταστάσεως. Ἐννόμου δὲ προσετέθη, διὰ τὸ τὴν φύσιν οὐκ εἰδέναι τοὺς δούλους, ἀλλὰ ταύτην εὑρεθῆναι ἐκ τῆς τῶν πολέμων ἐπινοίας. ἡ δὲ ἐλευθερία λέγεται παρὰ Ῥωμαίοις μανουμίσσιο. καὶ τί ἐστι μανουμίσ-

Diximus qui sint Ingenui: Dicamus & de Libertinis. Libertinus est, qui ex iusta seruitute manumissus est. Verùm adde, Et legitima. Libertinus igitur est, qui ex iusta & legitima seruitute manumissus est. Additum est autem definitioni, Iusta, vt eum eximerem, qui suæ cōdicionis ignarus seruiit. Adiectum quoque est, Legitima: propterea quòd natura seruos nesciat, sed ex bellis inuenta sit seruitus. Porrò liberatio horum, Latinè dicitur Manumissio. Et quid est Manumissio?

sio? Est datio libertatis. Etenim quamdiu quis in seruitute est, manui potestatiq; nostræ subiicitur: & manumissus, ab ea potestate liberatur. Manumissio autem hæc à Iure gentium primam originem sumpsit, cùm iure naturali omnes homines liberi nascerentur. Nec enim nota erat manumissio, cùm seruitus esset incognita. Sed postquam Iusgentium seruitutem introduxit, consequenter & beneficio manumissionis opus esse visum est. Et cùm natura nobis vnum nomen hominis dedisset. (Omnes enim, homines appellamur) iure gentium tria esse hominum genera cœperunt. Sunt enim liberi, & qui his opponuntur serui. Est & tertium genus Libertinorum, id est, eorum, qui serui esse desierunt. Diximus ho-

σιο; datio libertatis, τουτέστιν ἡ δόσις τῆς ἐλευθερίας. καὶ γὰρ ἐφ' ὅσον τις ἐστὶν ἐν τῇ δουλείᾳ, τῇ χειρὶ καὶ τῇ ἐξουσίᾳ ὑπόκειται τῇ ἡμετέρᾳ. ἐλευθερωθεὶς δὲ, ἀπαλλάττεται τῆς ὑπεξουσιότητος. αὕτη δὲ ἡ ἐλευθερία, ἐκ τοῦ iure gentium, τουτέστι τοῦ ἐθνικοῦ νομίμου τὴν ἀρχαιογονίαν ἔλαβε, διὰ τὸ κατὰ τὸν φυσικὸν νόμον πάντας ἐλευθέρους τίκτεσθαι. οὐδὲ γὰρ ἦν ἐγνωσμένη ἡ ἐλευθερία, τῆς δουλείας οὔσης ἀγνώστου. μεθ' ὃ δὲ ὁ ἐθνικὸς νόμος εἰσήγαγε τὴν δουλείαν, ἀκολούθως ἡ ἐκ τῆς ἐλευθερίας εὐεργεσία χρειώδης ὤφθη. καὶ τῆς φύσεως ἓν ὄνομα παρασχούσης ἡμῖν τὸ τοῦ ἀνθρώπου, ἅπαντες γὰρ ἄνθρωποι προσαγορευόμεθα, τὸ ius gentiũ τρία τῶν ἀνθρώπων εἶναι γένη διετύπωσεν. εἰσὶ γὰρ ἐλεύθεροι, καὶ οἱ τοῖς ἐλευθέροις ἀντικείμενοι δοῦλοι. καὶ τρίτον γένος, τὸ τῶν ἀπελευθέρων, τουτέστι τῶν παυσαμένων εἶναι

δούλων. Εἰρήκαμεν τῶν ἀνθρώπων τοὺς μὲν εἶναι δούλους, τοὺς δὲ ἐλευθέρους. καὶ τὴν μὲν δουλείαν ἄτομον εἶναι, τὴν δὲ ἐλευθερίαν τέμνεσθαι εἰς δύο· εἴς τε εὐγενεῖς καὶ ἀπελευθέρους. ἔστι δὲ ἡ εὐγένεια ἄτομος, οὐκ ἔχουσα τὸ μᾶλλον, ἢ τὸ ἧττον ἐν ἑαυτῇ. σκοπήσωμεν δὲ, περὶ τῆς ἀπελευθερότητος. ἥτις καὶ αὐτὴ σήμερον ἄτομός ἐστιν, εἰς τρία πάλαι τεμνομένη, ὡς προϊόντος τοῦ λόγου ἐροῦμεν. ὡρισάμεθα δὲ ἐν τοῖς προλαβοῦσι τὸν ἀπελεύθερον ὅστις ἐστί.

¶.Multis autem modis.

¶Πολλοῖς δὲ τρόποις ἡ ἐλευθερία συμβαίνει. ἢ γὰρ ἐκ τῶν θείων διατάξεων ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐλευθεροῦν δυνάμεθα, ἢ ἐπὶ ἄρχοντος, ὃ ἐστι βινδίκτα. (τὴν δὲ αἰτίαν τῆς ὀνομασίας μαθησόμεθα.) ἢ μεταξὺ φίλων, ὅπερ λέγεται inter amicos, ἢ δι' ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἱαδήποτε τελευταίᾳ βουλήσει. καὶ ἑτέροις πλείστοις τρό-

minum alios esse seruos, alios liberos. Et seruitutem quidem indiuiduam esse, libertatem verò in duas species diuidi: In ingenuos & libertinos. Ingenuitas quoque indiuidua est, neque magis aut minus in se recipit. Videamus & de Libertinitate, quæ & ipsa hodie indiuidua est, quamuis olim tres eius fuerint species, vt infrà dicemus. Definiimus jam antè, quis esset libertinus. ¶ Porrò manumissio multis modis procedit, aut enim ex sacris constitutionibus in sacrosanctis ecclesiis manumittere possumus: aut apud magistratum, quod dicitur Vindicta: (cuius appellationis causam infrà discemus): aut inter amicos (sic enim id vocatur): aut per epistolam: aut in testamento: aut per aliam quamlibet vltimam voluntatem. Sed & aliis multis modis libert

libertas dari potest: qui tum ex veteribus, tum ex Imperatoris nostri constitutionibus introducti sunt. ¶ Libertas autem seruis omni tempore rectè dari potest, etiam in die festo. Nec solùm, cùm magistratus in suo Prætorio consistit, sed etiam cùm is procedit, possumus eum adire, & ita manumittere, veluti cùm Prætor Romæ, vel Proconsul, aut Præses in prouinciis in balneum aut theatrum abeunt, aut ad ædes publicas, vel cum quauis alia de causa in publico comparent. ¶ Libertinorum autem tripartitò diuisa erat condicio. Nam qui manumittebantur: aliàs maiorem & maximè legitimam libertatem consequebantur, & fiebant ciues Romani: aliàs minorem, & efficiebantur Latini Iuniani, ex lege Iunii Norbani, quæ condicionem eorum prima

ποις ἐλευθερία δίδοσθαι δύναται. ὧν αἱ μὲν ἐκ τῶν παλαιῶν, αἱ δὲ ἐκ τῶν διατάξεων τοῦ ἡμετέρου βασιλέως ἐπινενόηνται. ¶ Ἡ δὲ ἐλευθερία τοῖς οἰκέταις ἐν παντὶ χρόνῳ νομίμως δύναται δίδοσθαι, καὶ ἐν ἀπράκτῳ ἡμέρᾳ. οὐ μόνον ὄντος τοῦ ἄρχοντος ἐν τῷ οἰκείῳ πραιτωρίῳ, ἀλλὰ καὶ προϊόντος δυνατὸν προσελθόντα ἐλευθεροῦν. οἷον ἡνίκα ὁ πραίτωρ ἐν τῇ Ῥώμῃ, ἢ ὁ ἀνθύπατος, ἢ ὁ τῆς ἐπαρχίας ἄρχων ἐν ταῖς ἐπαρχίαις, ἐπὶ βαλανεῖον ἢ θέατρον ἄπεισιν, ἢ τυχὸν, ἐπὶ δημόσιον οἰκοδόμημα, ἢ διὰ οἱανδήποτε αἰτίαν, ἐν δημοσίῳ φαίνεται ὤν. ¶ Τῶν δὲ ἀπελευθέρων τριχῶς ἦν ἡ διαίρεσις. πολλοὶ γὰρ ἐλευθερούμενοι, ποτὲ μὲν τὴν μείζονα καὶ ἐννομωτάτην ἐλάμβανον ἐλευθερίαν, καὶ ἐγίνοντο πολῖται Ῥωμαῖοι. ποτὲ δὲ τὴν ἐλάττονα, καὶ ἀπετελοῦντο Latini Iuniani, ἀπὸ νόμου Iunii Norbani,

θ. Serui verò.

θ. Libertinorum autem.

ni, ὃς εὑρετὴς ἐγεγόνει τῆς αὐτῶν αἱρέσεως. τοὺς δὲ dediticios ἐπενόησεν ὁ Αἴλιος Σέντιος. φησὶ γάρ, ἐάν τις ἐν τῷ καιρῷ τῆς δουλείας ὑποπέσῃ ἑνὶ τῶν παθῶν τῶν ὑπ' αὐτοῦ εὑρεθέντων, οἷον ἐὰν διά τι πταῖσμα λάβῃ στίγματα κατὰ τοῦ μετώπου, ἢ γοῦν ἐμβληθῇ ἐν δημοσίᾳ εἱρκτῇ, ἢ καὶ διά τι πταῖσμα τυπτόμενος ὁμολογήσῃ τὸ πταῖσμα, καὶ μετὰ ταῦτα εὔνους γενόμενος τῷ δεσπότῃ ἐλευθερωθῇ, ἐγένετο δεδιτίτζιος ἀπελεύθερος. ὠνόμασε δὲ αὐτοὺς δεδιτιτζίους, κατὰ μίμησιν τῶν περεγρίνων. ποτὲ γάρ τινες τῶν περεγρίνων, ὑποτελεῖς ὄντες Ῥωμαίοις, τυραννικόν τι φρονήσαντες κατὰ τῶν Ῥωμαίων, ὅπλα ἔλαβον κατ' αὐτῶν καὶ παραταξάμενοι Ῥωμαῖοι ἐνίκησαν. οὐ δυνηθέντες γὰρ αὐτῶν ὑπενεγκεῖν τὴν ἀνδρείαν οἱ περεγρῖνοι, ῥίψαντες τὰ ὅπλα, ἑαυτοὺς ἐκδεδώκασι. φιλανθρωπευσάμενοι δὲ Ῥωμαῖοι,

reperit. Dediticios verò inuenit Aelius Sentius. Ait enim, Si quis tempore seruitutis inciderit in aliquod ex his vitiis aut affectis, quæ ab eo reperta sunt, veluti si ob delictũ, notis in fronte & stigmatis compunctus, vel in publicos carceres coniectus: aut propter delictum aliquod verberibus affectus, delictum confessus sit: ac deinde gratia cũ domino inita, manumissus ab eo fuerit: Libertinum Dediticium hunc fieri. Dediticios autem eos nominauit ad exemplum peregrinorum. Nam quondam Peregrinorum aliqui cũ Romanis vectigal penderent, infestis aduersus Romanos animis, arma in eos sumpsere. Quos collata acie & dato congressu Romani vicerunt. Etenim cùm impetum fortitudinéq; eorũ, Peregrini sustinere nõ possent, abiectis armis, sese dediderunt. At Romani, cũ his humanè

nè agentes : vitam quidem his concessere, sed huius appellationis ignominia affectis, vt quia se dedidissent, Dediticii vocarentur. Et hi quoq; igitur Libertini, ex lege Aelia Sentia Dediticii vocati sunt : vt quorum turpitudo communis erat : eorum & nomen commune esset. ¶ Sed dediticii quidē iam ex multis temporibus in desuetudinem abierant. Latinorum verò nomen non admodum frequens erat in vsu. Vnde & Imperator noster omnia augere cupiens, & in meliorem statum reducere: duabus constitutionibus veterum errores correxit, sublata dediticiorum & Latinorum condicione: & Iure libertinorum ad pristinam formā reuocato, libertinitatem omnē vnius generis fecit. Quando & à primis Imperii Romani incunabulis, vna atque simplex fuit Libertinorum condicio,

τὸ μὲν ζῆν αὐτοῖς ἐχαρίσαντο. ὕβρισαν δὲ αὐτοὺς μόνῃ προσηγορίᾳ, δεδιτζίους αὐτοὺς ὀνομάσαντες, ὅτι ἐκδεδώκασιν ἑαυτούς. καὶ οὗτοι οὖν οἱ ἀπελεύθεροι, ἀπὸ τοῦ Αἰλίου Σεντίου ὠνομάσθησαν δεδιτίτζιοι. κοινωνήσαντες γὰρ αὐτοῖς τῆς αἰσχρότητος, ἐκοινώνησαν καὶ τῆς προσηγορίας.

¶ Ἀλλ' οἱ μὲν δεδιτίτζιοι, ἐκ πλείστων ἤδη τῶν χρόνων, εἰς ἀσυνήθειαν ἐχώρησαν. τὸ δὲ τῶν Λατίνων ὄνομα οὐκ ἦν ἐν τοῖς συχνάζουσιν. ὅθεν καὶ ὁ ἡμέτερος βασιλεὺς αὔξων ἅπαντα, εἰς καλλίω τάξιν μεταφέρων, ἐν δύο διατάξεσι, τὰ τῶν παλαιῶν διώρθωσεν πταίσματα, ἀνελὼν τὴν τῶν δεδιτιτζίων τε, καὶ Λατίνων τύχην, εἰς δὲ τὸ ἀρχαῖον σχῆμα τὰ τῶν ἀπελευθέρων ἀνακαλεσάμενος. καὶ μονοειδῆ τὴν ἀπελευθερότητα ποιήσας. ἐπειδὴ καὶ ἐκ προοιμίων ἡ Ῥωμαίων ἀρχὴ, ἁπλοῦν τινα τῶν ἀπελευθέρων αἵρεσιν ἠπίστατο,

θ. Sed dediticiorum.

τουτέστιν ὥστε τὴν αὐτὴν ἔχειν ἐλευθερίαν, ἣν καὶ ὁ ἐλευθερῶν ἐκέκτητο, καὶ ἀμφοτέρους εἶναι πολίτας Ῥωμαίους, ἐν τούτῳ μόνῳ τῆς διαφορᾶς οὔσης, ὅτι ὁ μὲν ἐλευθερούμενος ἀπελεύθερος ἦν, εἰ καὶ ὁ ἐλευθερῶν εὐγενὴς ὑπῆρχε. ¶ Καὶ τοὺς μὲν δεδιτικίους διάταξις ἀνεῖλε τοῦ θειοτάτου βασιλέως ἀντιγραφεῖσα πρὸς συγγεστιόνα ἀπὸ Τελβουνιανοῦ τοῦ ὑπερφυεστάτου κυαίστωρος, ἣν ταῖς δεκιζίοσι συναριθμουμένην ἐξεφώνησε, ταῖς τῶν ἀρχαίων διακρινῶν ἀμφιβολίας. τοὺς δὲ Λατίνους ἰουνιανοὺς, καὶ πᾶσαν ἥτις ἦν παρ' αὐτοῖς παραφυλακὴν, τοῦ αὐτοῦ συγγερεύοντος ἐνδοξοτάτου κυαίστωρος τῆς πολιτείας ἐξήλασε δι' ἑτέρας διατάξεως, ἣ καὶ ἐκλάμπουσαν ἐστὶν ἰδεῖν μεταξὺ τῶν βασιλικῶν διατάξεων, ὥστε πάντας ἀπελευθέρους πολίτας εἶναι Ῥωμαίους. μηδεμιᾶς οὔσης διαφο-

θ. Et dediticios.

id est, vt Libertus eandem libertatem haberet, quam habebat manumissor, & vterque, ciuis esset Romanus, tantumq; in illo differrent, quòd libertinus esset is, qui manumitteretur, quāuis is, qui manumitteret, esset ingenuus. ¶ Et dediticios quidem Imperatoris sanctissimi constitutio sustulit, quam ad suggestionem Triboniani excellentissimi Quæstoris rescripsit, & inter decisiones per quas veterum altercationes compresit, in vulgus emisit. Latinos autem Iunianos, & omnem quæ circa eos erat obseruantiam, eodem gloriosiss. Quæstore suggerente, per aliā constitutionē è Rep. profligauit, quæ & ipsa inter Imperatorias sāctiones resplēdet. Vt omnes iam libertini ciues sint Romani: nullo habito discrimine in ætate manumissi, aut in dominio manumissoris, aut in modo

modo manumittendi, sicut antea obseruabatur. Quid autem id sit, dicere necesse est. Tu hæc habeto in modũ præuiæ cuiusdam inspectionis. Est apud Romanos legitima ætas, est & naturalis ætas. Est legitimum dominiũ, est & naturale dominium. Est legitimus modusmanumissionis, est & naturalis modusmanumissionis: Etnaturalis quidem ætas est, quæ minor est triginta annis. Legitima verò, quæ maior est anno trigesimo. Non quòd ætatem maiorẽ triginta annis, natura non agnoscat (quoniam omnis ætas naturalis est) sed quòd specialiter lex ætatis quæ annos triginta excedit, meminerit, ideo dixi hanc ætatem esse legitimam. Est etiam (vt dixi) naturale dominium, est & legitimum dominiũ. Et naturale dominium dicitur in bonis: & Dominus Bonitarius. Legitimũ verò dicitur, Iure Quiri-

ρᾶς περὶ τὴν ἡλικίαν τοῦ ἐλευθερουμένου, ἢ τὴν δεσποτείαν τοῦ ἐλευθεροῦντος, ἢ τὸν τρόπον τῆς ἐλευθερίας καθάπερ ἐφυλάττετο πρότερον. τί δὲ τοῦτό ἐστιν, ἀναγκαῖον εἰπεῖν. ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ. ἔστι παρὰ Ῥωμαίοις ἔννομος ἡλικία, καὶ φυσικὴ ἡλικία, ἔννομος δεσποτεία, καὶ φυσικὴ δεσποτεία, ἔννομος τρόπος ἐλευθερίας καὶ φυσικὸς τρόπος ἐλευθερίας. καὶ φυσικὴ μέν ἐστιν ἡλικία, ἡ ἧττον τῶν λ ἐνιαυτῶν. ἔννομος δὲ ἡ ὑπὲρ τῶν λ. οὐχ ὅτι τὴν μείζονα τῶν λ ἐνιαυτῶν ἡλικίαν ἡ φύσις ἀγνοεῖ (πᾶσα γὰρ ἡλικία φυσική) ἀλλ' ἐπειδὴ ὁ νόμος ἰδικῶς ἐμνήσθη τῆς ὑπὲρ τὰ λ ἔτη, διὰ τοῦτο εἶπον αὐτὴν ἔννομον. ἔστιν οὖν ὡς εἶπον φυσικὴ δεσποτεία, καὶ ἔννομος δεσποτεία. καὶ ἡ μὲν φυσικὴ λέγεται in bonis, καὶ δεσπότης βονιτάριος. ἡ δὲ ἔννομος λέγεται iure Quiritium, τουτέ-

στιν ἐκ τοῦ δικαίου τοῦ Κυϊριτῶν Ῥωμαίων. Κυΐριται γὰρ οἱ Ῥωμαῖοι, ἀπὸ Ῥωμύλου, ἐξ οὗ τὴν ἀρχαιογονίαν ἐσχήκασιν. ὁ δὲ δεσπότης iure Quiritario. εἰ δέ τις τὰς ἀμφοτέρας ἔχει δεσποτείας, ἐλέγετο, pleno iure dominus, τουτέστι τελείῳ δικαίῳ δεσπότης, ὡς ἔχων ἀμφοτέρας, τὴν ἔννομον καὶ τὴν φυσικήν. ἔστι καὶ ἔννομος τρόπος ἐλευθερίας, καὶ φυσικὸς τρόπος ἐλευθερίας. καὶ ὁ ἔννομος τρόπος, γίνεται κατὰ τρόπους τρεῖς, vindicta, censu, testamento. καὶ βινδίκτα μὲν ἦν ἡ ἐπὶ ἄρχοντος γινομένη ἐλευθερία. ἐλέγετο δὲ βινδίκτα, quia vindicatur mancipium in naturalem libertatem. ἐπειδὴ ἐξεδικεῖτο, καὶ ἀνέτρεχε τὸ ἀνδράποδον εἰς τὴν φυσικὴν ἐλευθερίαν. ἢ ἀπὸ Βινδικίου τινὸς, ὃς ὢν οἰκέτης, ἐπιβουλὴν ἐσομένην κατὰ τῶν Ῥωμαίων ἐμήνυσε, καὶ ἠλευθερώθη δημοσίᾳ ὑπὸ Ῥωμαίων,

tium, id est, Romanorum: Romani enim Quirites à Romulo, à quo originem ducunt, vocantur. & dominus dicitur, Iure Quiritario. Quòd si quis vtrumque dominium habeat, is pleno iure dominus dicitur: vt ambo dominia habens, naturale & legitimum. Est & legitimus modus manumissionis & naturalis modus manumissionis. Et legitimus modus, tribus modis fiebat: vindicta, censu, testamento. Et vindicta erat, apud magistratum facta manumissio. Dicta est autem vindicta, quòd vindicaretur mancipium in naturalem libertatem: aut à Vindicio quodam, qui cùm seruus esset, erupturam aduersus Romanos coniurationem, indicio suo patefecit: publicéque à Romanis manumissus est, & in honorem eius, quicumque apud magistratum manumis

numittuntur, vindicta manumitti dicebantur. Quæ autem censu fiebat manumissio, ea hunc in modum procedebat. Census significat tabulam aut chartam, in qua Romani facultates suas conscribebant, vt belli tempore, pro modo patrimonii sui vnusquisque conferret. In hoc igitur censu cùm iussu domini seruus se liberum scribebat, liberabatur à seruitute. Testamento verò, cùm quis seruum suum in testamento liberum esse iussisset. Naturales quoque modi manumissionis erãt tres: inter amicos, per mensam, & per epistolam. Et quidem inter amicos, cùm præsentibus amicis quempiam manumittebãt. Per mensam verò, cùm libertatis dandę gratia seruum conuiuio adhibebant. Per epistolam, quando aliis in locis agenti missis litteris permittebant, vt liber

καὶ εἰς ἡμῶν τούτου πάντες οἱ ἐπὶ ἄρχοντος ἐλευθερούμενοι, ἐλέγοντο βινδίκτα ἐλευθεροῦσθαι. τὸ δὲ censu περιέβαινε τοῦτον τὸν τρόπον. κένσος ἦν σανὶς ἤτοι χάρτης, ἔνθα Ῥωμαῖοι ἀπεγράφοντο τὰς οἰκείας περιουσίας, ἐπὶ τὸ ἐν καιρῷ πολέμου κατὰ τὸ μέτρον τῆς ἰδίας ὑποστάσεως, ἕκαστον εἰσφέρειν. ἐν τούτῳ οὖν τῷ κένσῳ, εἴποτε οἰκέτης κατὰ κέλευσιν δεσπότου ἑαυτὸν ἐλεύθερον ἔγραψεν, ἀπηλλάττετο τῆς δουλείας. τεσταμέντῳ δὲ, ἡνίκα τις τὸν ἴδιον οἰκέτην ἠλευθέρωσεν ἐν διαθήκῃ. φυσικοὶ δὲ τρόποι ἐλευθερίας ἦσαν τρεῖς, inter amicos, per mensam, per epistolam. καὶ inter amicos μὲν ἡνίκα φίλων παρόντων ἠλευθέρουν τινά. per mensam, ὅτε συνεστιαθῆναι ἐπὶ ἐλευθερίας δόσει προσέταττον τῷ οἰκέτῃ. per epistolam, ἡνίκα ὄντι αὐτῷ ἐν ἑτέρᾳ χώρᾳ, δι' ἐπιστολῆς ἐπέτρεπον διάγειν ἐν

ἐλευθερίαν. ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. ἡνίκα τρία ἔννομα συνδράμωσιν, ἐπὶ τῷ ἐλευθερουμένῳ οἰκέτῃ, ὥστε αὐτὸν καὶ ὑπερβεβηκέναι τὸν λ ἐνιαυτόν, καὶ ἔχειν ἐπ᾽ αὐτῷ τὸν δεσπότην τὴν ἔννομον δεσποτείαν, τουτέστι τὸ ex iure Quiritium, ἠλευθεροῦτο δὲ καὶ ὁ οἰκέτης βινδίκτα, ἢ κένσου, ἢ τεσταμέντῳ, πάθος δὲ μὴ ὑπέκειτο, πάντως ὁ ἐλευθερούμενος ἐγίνετο πολίτης Ῥωμαῖος. εἰ δὲ πάθους μὴ ὑπόντος, μὴ συνέδραμε τὰ τρία ἔννομα. ἢ γὰρ ὁ οἰκέτης ἦν ἐλάττων τῶν λ ἐτῶν ἢ ὁ δεσπότης βονιτάριος μόνον ἦν, οὐκ εἶχε δὲ καὶ ἔννομον δεσποτείαν, ἢ ἐγίνετο ἡ ἐλευθερία, per mensam, ἢ per epistolam, ἢ inter amicos, ἢ τοῖς δύο ἔσθ᾽ ὅτε ἐνέλιπε τὰ ἔννομα, ἢ καὶ τὰ τρία, ὁ ἐλευθερούμενος ἐγίνετο Latinus Iunianus. πάθους δὲ ὑποκειμένου πάντως ἐγίνετο

viueret. His ita pręcognitis, videto nũc rem qua de agimus. Cùm in manumittendo seruo tria legitima cõcurrebãt: vt & ipse maior esset annis triginta, & dominus eius legitimus esset dominus, hoc est ex Iure Quiritium: & seruus vindicta, censúue aut testamento manumitteretur, nec ignominiæ vllum genus perpessus esset: omnino is, qui manumittebatur, ciuis Romanus fiebat. Quòd si cũ ignominia nulla subesset, tria non concurrebãt legitima. Quoniã aut seruus minor erat triginta annis: aut dominus tantũ Bonitarius erat domin9, nec etiã legitimũdominiũ habebat aut manumissio procedebat p mẽsam, aut p epistolã, aut inter amicos: aut duo interdum desiderabãtur legitima, aut etiam oĩa tria: is, qui ita manumittebatũ, Latinus Iunianus fiebat. Porrò cũ nota ignominię suberat, omnino is, qui manumit

numittebat̃, fiebat dediticius. Et hæc quidem olim. Hodie verò, cùm (vt dictum est) vna sit species Libertinitatis, hi qui manumittuntur, omnino fiunt ciues Romani: nec quicquicquam curiosiùs de dominio, modóue manumittendi, aut de ætate tractamus.

δεδιτίτζιος. ἀλλὰ ταῦτα μὲν κατὰ τὸ παλαιόν. σήμερον δὲ, ἐπειδὴ μονοειδής ἐστιν ἡ ἀπελευθερότης ὡς εἴρηται, ὁ ἐλευθερούμενος πάντως γίνεται πολίτης Ῥωμαῖος, οὐ διαφερομένων ἡμῶν, οὔτε περὶ δεσποτείας, οὔτε περὶ τρόπου ἐλευθερίας, οὔτε περὶ ἡλικίας.

---

## QVIBVS EX CAVSIS MANVmittere non possunt. Tit. VI.

SVperiora nos docere possunt, quot modis manumissio procedat. Nunc necesse est, vt discamus, quemadmodum non cuiuis domino liceat manumittere. Nam is, qui in fraudem creditorum manumittit, nihil agit. Quia lex Aelia Sentia libertatem impedit. Odio enim ius habet illos, qui fraudem eorum facultates suas minuunt, qui in tempore necessitatis, cùm egerent, pecuniam ipsis suppeditaue-

ἘΔίδαξεν ἡμᾶς τὰ προλαβόντα, καὶ πόσους τρόπους γίνεται ἡ ἐλευθερία. νυνὶ ἀναγκαῖον ἐστὶ μαθεῖν ὅτι οὐ παντὶ δεσπότῃ παρέχειν ἔξεστιν ἐλευθερίαν. ὁ γὰρ in fraudem creditorum, τουτέστιν ὁ πρὸς βλάβην καὶ ἀπάτην τῶν δανειστῶν ἐλευθερῶν, οὐδὲν πράττει. ὁ γὰρ Ἀέλιος Σέντιος ἐμποδίζει τῇ ἐλευθερίᾳ. μισεῖ γὰρ τοὺς ἐπὶ βλάβην τὴν οἰκείαν μειοῦντας περιουσίαν ἐκείνων, οἳ ἐν καιρῷ ἀναγκαίῳ τοῖς δεηθεῖσιν ἐχορήγη-

σιων χρήματα. Αὐτὸς δὲ ὁ νόμος ταῦτα κελεύσας, δέδωκε ποσὴν ἄδειαν τοῦ ἐλευθεροῦν. εἰ καὶ ἐλαττοῦται ἐντεῦθεν αὐτῶν ἡ περιουσία, τουτέστι τοῖς ἀπόροις. ἄπορος δέ ἐστιν ὁ πλείονα ἐποφείλων ὧν κέκτηται. ὁ τοιοῦτος ἄπορος, ἐν πολλῇ καθεστηκὼς ἀθυμίᾳ, λογιζόμενος, οὐχ οὕτω τὰ αὐτῇ ζωῇ ἐπαχθῆ, ἅπερ ἔσθ' ὅτε ἠδύνατο τρόποις τισὶ διαφυγεῖν, ἀλλὰ τὰ μετὰ τελευτὴν ἐνθυμούμενος, καὶ τὴν προσγενησομένην αὐτῷ ὕβριν. οὐδεὶς γὰρ ἀνέξεται τῶν εὖ φρονούντων προσέλθειν κληρονομίαν, ἐξ ἧς κέρδος μὲν οὐδὲν τῷ ἀδιτεύοντι. ὕβρεις δὲ μυρίαι καὶ ζημίαι, καὶ οἱ ἐπὶ δικαστηρίων ἑλκυσμοί. μηδενὸς οὖν ὑπεισιόντος τὴν τούτου κληρονομίαν, ἀνάγκη διαπιπράσκεσθαι ὑπὸ τῶν δανειστῶν τὴν τούτου περιουσίαν, καὶ ἐντεῦθεν τὴν αὐτοῦ μνήμην εὐτελίζεσθαι. ἡ γὰρ κρεδίτορες, οὐκ ἔτι λέγουσιν, ὅτι τὰ τοῦδε διαπιπράσ-

rũt.Eadẽ tamen lex quæhoc cauit, quibusdã manumittẽdi potestatẽ facit:quãuis per hoc facultates ipsorũ minuantur:hoc est his, qui nõ soluendo sunt, quos Græci ἀπόρους vocant.Is autẽ non soluẽdo est:qui plꝰ debet,q̃ in bonis habet. Is igitur qui nõ soluẽdo est,valde sit ĩfracto ægroq; & curis confecto aĩo necesse est, cùm apud sese tacitus cogitat, nõ tã ea,quę multa & grauia viuos fatigãt & vexãt,vt pote quę interdũ deuitari quibusdãmodis possint:quàm ignominiã infamiãq;, quã à morte ciuneribꝰ atque ossibꝰ suis videt inustũ iri. Nemo.n. q modò mentẽ aliquã habet, hereditatẽ admittet, ex qua adiẽs nullũ emolumentũ sperare possit, sed quæ multas iniurias,molestiasq; & dãna,& lites secũ afferat. Nemine igĩt eiꝰ hereditatẽ suscipiente,necesse erit, vt bona ipsiꝰ à creditoribꝰ vẽdant, & p hoc memoria eiꝰ laceret ac minuat.

Neq;

Neque enim dicent creditores se heredis illius bona vendere, sed defuncti. ¶ Permittit igitur lex Aelia Sentia ei qui non soluendo est, vt si seruos habet, vnum eorum cum libertate heredem instituat: qui post mortem ipsius heres ei fiet ex necessitate, ac dicetur solus & necessarius. Solus, quoniam vnum & eum solum ei, qui non soluendo est, heredem licet instituere. Nam vsque ad vnum lex constitutioné suam vitiat & corrumpit. Necessarius, quoniá & inuitus heres fit. Fiebat autē hic heres cùm nemo alius ex testamēto heres esset, aut quia alius heres non erat scriptus, aut quia q scriptus erat, heres esse nolebat. Magna est ergo huiusce legis prouidentia, qua ꝓspectū est, vt hi qui non soluendo sunt, cùm eorum hereditatem omnes auersarentur, vel seruū suum heredem háberent: qui credi-

σκεται πράγματα τοῦ κληρονόμου, ἀλλὰ τοῦδε τοῦ τελευτήσαντος. ¶ Δέδωκε τοίνυν τῷ ἀπόρῳ ὁ Αἴλιος Σέντιος, ὥστε εἰ ἔχει οἰκέτας, ἕνα τούτων γράψαι κληρονόμον cum libertate, ὃς μετὰ τελευτὴν γενήσεται αὐτῷ κληρονόμος ἐξ ἀνάγκης, καλούμενος solus & necessarius. Solus μὲν ἐπειδὴ ἕνα καὶ μόνον, καὶ οὐ πλειοτέρους ἔξεστι τῷ ἀπόρῳ γράφειν κληρονόμον. μέχρι γὰρ ἑνὸς τὴν οἰκείαν παραχαράττει νομοθεσίαν. Necessarius δὲ ἐπειδὴ καὶ μὴ βουλόμενος γίνεται κληρονόμος. ἐγίνετο δὲ οὗτος κληρονόμος ἑτέρου μὴ κληρονομοῦντος ἀπὸ διαθήκης, ἢ διὰ τὸ μὴ γεγράφθαι ἕτερον, ἢ ἐπειδὴ ὁ γεγραμμένος οὐκ ἐβούλετο κληρονομῆσαι. μεγίστης οὖν τοῦτο προμηθείας τοῦ νόμου, ὥστε τοὺς ἀπόρους, ἂν ἕκαστος παραιτεῖται τὴν κληρονομίαν, ὑπὸ οἰκέτου αὐτοῦ κληρονομεῖσθαι, ὃς ἔμελλε τὸ ἱκανὸν

θ. Licet autem.

τοῖς κρεδίτωρσι ποιεῖν, καὶ τὸ χρέος αὐτοῖς ἀποπληροῦν· ἢ τούτου μὴ γινομένου τὰ πράγματα διαπιπράσκεσθαι, οὐκέτι τοῦ τελευτήσαντος, ἀλλὰ τοῦ κληρονόμου, καὶ ἐντεῦθεν τὸ ἀνύβριστον τῷ τελευτήσαντι περιεγίνετο. καὶ ἑκάτερος εὐεργετεῖται, καὶ ὁ τελευτήσας, καὶ ὁ ἀπελεύθερος. ὁ γὰρ ἄπορος, εἰ καὶ εἰς τὴν τοῦ οἰκέτου διατίμησιν ἠλάττωσε τὴν οἰκείαν περιουσίαν, ἀλλ' οὖν ὕβριν διέφυγεν. ὁ δὲ οἰκέτης εἰ καὶ ὑβρισθῇ, ἀλλὰ μισθὸν ἔχει τῆς ὕβρεως τὴν ἐλευθερίαν.

¶. Idemq; iuris. ¶ Εἰ δὲ καὶ δίχα ἐλευθερίας ὁ οἰκέτης ἐγράφη κληρονόμος, ἐλεύθερος γίνεται, τῆς διατάξεως τοῦ ἡμετέρου βασιλέως κελευούσης γενικῶς, εἴτε ἄπορος, εἴτε πλούσιος ἦν ὁ τελευτήσας, καινοτέρῳ φιλανθρωπίας χρησαμένης λογισμῷ, ὥστε ἐξ αὐτῆς μόνης τῆς ἐνστάσεως τοῦ οἰκέτου ἐλευθεροῦσθαι. οὐ γὰρ ἐστι πιθανὸν, μὴ βούλεσθαι τὸν

toribus satisfacere, debitaq; dissoluere posſit: aut hoc eo nō faciēte, creditores res hereditarias vēderent, nō defuncti, sed heredis nomine. Et ita manes defuncti ab omni contumelia vindicarentur. Atq; vterque tum defunctus scilicet, tum libertus beneficio afficeretur. Nā & qui non soluēdo obiit, quāuis in serui pretio facultates suas imminuerit, tamen ignominiam euasit. Et seruus quamuis ignominię subiiciatur, mercedem tamen ignominię habet libertatē. ¶ Sed etsi seruus heres sine libertate institutus sit, nihilominus liber fit. Sic enim id generaliter constitutione Imperatoris nostri cautū est: siue non soluendo, siue locuples decesserit dominus. Atque in hoc noua quadam humanitatis ratione vsus est: vt per solā institutionem ipsam seruus manumissus esse intelligatur. Cū verisimile non sit,

dominus

dominum nolle eũ liberum esse, quem sibi heredem esse voluit: sed eo manente in seruitute, neminem ipsius hereditatem amplecti. ¶ Quomodo quis in fraudem creditorum manumittere videatur, quærere necesse est. Et quidam dicebant eum in fraudem creditorum manumittere, qui plus deberet, quàm in bonis haberet. Alii eum, cui deducto ære alieno, nihil reliquum esset, cuiúsque præsens patrimonium creditoribus posset sufficere, sed datis libertatibus futurum sit, vt creditores lædantur, quia hoc modo minuantur eius bona, ita vt soluendo esse desinat. Verùm præualuit, vt non solùm inspiciamus, an non soluendo sit is, qui manumittit, sed etiam an vt creditores defraudet, det libertatem. Tunc enim datio libertatis impeditur, cùm & consilium inter-

δεσπότην ἐλεύθερον εἶναι ἐκεῖνον, ὃν ἑαυτῷ διάδοχον ἐσπούδασεν εἶναι, ἀλλὰ μένειν ἐν τῇ δουλείᾳ, μηδένα δὲ τῆς αὐτοῦ κληρονόμον εἶναι περιουσίας. ¶ In fraudem creditorum, τίς πῶς ἐλευθερῶν δοκεῖ, ἀναγκαῖον ζητῆσαι. καὶ οἱ μὲν ἔλεγον, ἐκεῖνον in fraudem creditorum ἐλευθεροῦν τὸν πλείονα ἐποφείλοντα ὧν κέκτηται. οἱ δὲ ἐκεῖνον, ᾧ μηδὲν περιλιμπάνεται, μετὰ τὴν τῶν χρεῶν ὑπεξαίρεσιν. οὗ ἡ μὲν ὑπόστασις ἡ παροῦσα, ἀποπληρῶσαι τοὺς κρεδίτορας ἐξαρκεῖ. τῆς δὲ ἐλευθερίας διδομένης, συμβαίνει τοὺς δανειστὰς ἀδικεῖσθαι, τούτῳ τῷ τρόπῳ παυομένης αὐτοῦ τῆς περιουσίας, τοῦ δύνασθαι τὸ ἱκανὸν ποιῆσαι τοῖς κρεδίτορσιν. ἐκράτησε δὲ, τὸ μὴ μόνον σκοπεῖν, εἰ ἄπορός ἐστιν ὁ ἐλευθερῶν, ἀλλὰ καὶ εἰ πρὸς περιγραφὴν τῶν δανειστῶν δίδωσι τὴν ἐλευθερίαν. τότε γὰρ καὶ ἡ δόσις ἐπέχεται τῆς ἐ-

θ. In fraudem.

ἐλευθερίας, ὅτε θεωρεῖται cōsilium καὶ euentus. ὥστε οὖν ἀμφοτέρων μὴ συντρεχόντων, ὁ οἰκέτης οὐκ ἐλευθεροῦται. ἑνὸς δὲ ἐλλείψαντος, ὁ δοῦλος ἐλεύθερος ἀποτελεῖται. ἔστι δὲ εὑρεῖν ἀμφότερα, τό,τε cōsilium καὶ euentum, ἐπὶ θέματος τοιούτου. ἐκέκτητό τις τριακοσίων νομισμάτων περιουσίαν. οὗτος ἐχρεώστει τριακόσια νομίσματα. ἐβουλήθη πρὸς περιγραφὴν τῶν οἰκείων δανειστῶν ἐλευθερῶσαι οἰκέτας, ἀξίους ὄντας ἑκατὸν νομισμάτων, καὶ τούτῳ τῷ τρόπῳ ἐγένετο ἡ αὐτοῦ περιουσία νομισμάτων διακοσίων. ἐνταῦθα ἀμφότερά ἐστι, καὶ consilium καὶ euentus, καὶ γὰρ πονηρᾷ γνώμῃ τοῦτο πεποίηκε, καὶ ἡ ἀπόβασις ζημιοῖ τοὺς κρεδίτορας. ἐλλείπει δὲ ὁ euentus, οὕτως. ἔχων τις χιλίων νομισμάτων περιουσίαν ἐνόμιζεν ἔχειν τ νομισμάτων, ἐχρεώστει δὲ υ ἠλευθέρωσε τοὺς ἰδίους οἰκέτας ἐν

do maritũ illius, filium meũ, defunctũ esse. Itẽ cùm dico, Quæ quondã priuigna mea fuit, ostendo matrẽ illi⁹, vxorem meã, mortuam esse. Etenim si hæc adhuc priuigna mea est, & illa adhuc nurus: maior est ratio, quæ prohibet ne eã vxorẽ ducã, quoniã futurum est, vt aut vn⁹ vir duas habeat vxores, aut vna mulier duobus maritis nupta sit. Si enim nurũ meã duxero, & filium meũ & me illa habebit maritos. Sin verò priuignam meã, continget, vt mihi duę sint vxores, ea scilicet, quæ mea nũc vxor est, & filia quoq; ei⁹ priuigna mea. Porrò capitalis in eos pœna cõstituta est, q bi nas nuptias contrahũt. Nemo igit maiore ꝓhibitiõe omissa, (de capitali pœna sẽtio) de minore disputat: & ĩ honorẽ adfinitatis cõiunctionẽ dicit ꝓhibitã esse. ¶ Vxorem non possum ducere, quę quõdã aut socr⁹ mea aut nouerca fuerit. Quoniam matrum

6. Socrum quoque.

loco habetur. Et socrus qdē est, vxoris meæ mater. Nouerca verò, patris mei vxor, ex qua ego natus nō sum. Addidi aūt & hic dictiũculā illā, (Quondam) vt ostendam personas, quæ causā affinitati dederūt, nō extare, quia aut vxor mea, aut pater meus defunctus sit. Nā si adhuc supersint, fie[illegible] geminētur nuptiæ. Etenī si socrū meā vxorē duxero, futurum est, vt duas habeā vxores socrū & filiam eius. Sin nouercam, duorū illa vt vxor sit cōtinget, patris scilicet mei, & mea ipsius. Porrò ex his quę diximus, nosti capitalem esse binarū nuptiarum pœnā. ¶ Patrimus, cùm filium ex Titia haberet, Patrimam quæ filiam ex Titio habebat, vxorē duxit: Aut ex contrario, ille filiam, hæc filium habebat. Horum liberi (qui vulgò dicuntur ἀλληλοπρόγονοι, quasi dicas inuicem priuignos) rectè inter se nuptias contrahūt,

πενθερὰ μέν ἐστιν ἡ τῆς ἐμῆς γαμετῆς μήτηρ. μητρυιὰ δὲ ἡ τοῦ ἐμοῦ πατρὸς γαμετὴ ἐξ ἧς οὐκ ἐτέχθην. προσέθηκα δὲ κἀνταῦθα τὸ Ποτὲ, ἵνα δείξω μὴ ὑπόντα τὰ τῆς ἀγχιστείας αἴτια πρόσωπα, ἀλλὰ ἢ τελευτῆσαι τὴν ἐμὴν γαμετὴν, ἤγουν τὸν ἐμὸν πατέρα. εἰ γὰρ ἔτι ζῶσι, διπλωσις ἐπισυνάγεται γάμου. εἰ γὰρ λάβω τὴν ἐμὴν πενθερὰν, εὑρίσκομαι δύο ἔχων γαμετὰς τὴν πενθερὰν καὶ τὴν αὐτῆς θυγατέρα. εἰ δὲ τὴν ἐμὴν μητρυιὰν, ἀποτελεσθήσεται ἐκείνη δύο προσώπων γαμετὴ, τοῦ πατρός μου καὶ ἐμοῦ αὐτοῦ. οἶδας δὲ κεφαλικὴν εἶναι τὴν ἐπὶ τῶν διπλῶν γάμων τιμωρίαν. ¶ Πατρίμος, ἔχων υἱὸν ἀπὸ Τιτίας, ἔλαβε Πατρίμαν πρὸς γάμον ἔχουσαν θυγατέρα ἀπὸ Τιτίου. εἰ καὶ ἐκ τοῦ ἐναντίου, ὁ μὲν εἶχε θυγατέρα, ἡ δὲ υἱόν. οἱ τούτων παῖδες, οἱ ἐν τῷ συνήθει λεγόμενοι ἀλληλοπρόγονοι, καλῶς ἀλλήλοις συνάπτονται, εἰ καὶ

θ. Maritt.

εἰ καὶ τὰ μάλιστα ἀδελφὸς, ἢ ἀδελφὴ αὐτοῖς τεχθείη, ἐκ τοῦ συνισταντος μετὰ τὴν αὐτοῦ γέννησιν γάμου.

§. Si vxor.

¶ Ἡ ἐμὴ γαμετὴ, τῆς πρὸς ἐμὲ ῥεπουδίῳ διαλύσασα γάμον, ἀνδρὶ δευτέρῳ συνήφθη. ἔσχεν ἐκ τούτου θυγατέρα, ζητοῦμεν εἰ τὴν ἐξ αὐτῆς θυγατέρα δύναμαι λαβεῖν; καὶ φημι μὴ εἶναι με αὐτὴν προγόνην. προγόνη γάρ ἐστιν, ἡ πρὸ τῶν ἐμῶν τεχθεῖσα γάμων. πλὴν διὰ τὸ εὐπρεπὲς, ἀπέχεσθαι δεῖ με τῆς πρὸς αὐτὴν συναφείας. ἐπεὶ γὰρ ἡ γενομένη μνηστὴ τοῦ ἐμοῦ παιδὸς, οὐ γέγονέ μου νυμφὴ, γάμου μὴ παρακολουθήσαντος, οὐδὲ ἡ τοῦ πατρός μου μνηστὴ γέγονέ μου μητρυιὰ τῶν γάμων ἐμποδισθέντων. ἐπεὶ ὅσον ἐκ τῶν εἰρημένων, ἠδυνάμην ταύτας λαμβάνειν πρὸς γάμον. ἀλλὰ καὶ ταῦτα διὰ τὸ εὐπρεπὲς, ἐπαινεῖ ἡμῖν Ἰουλιανὸς τοῖς τοιούτοις μὴ προσιέναι γάμοις.

§. Illud certum est.

¶ Ἄρα δὲ ἡ συγγένεια ἡ ἐν δουλείᾳ ἐμποδὼν γίνεται τῷ γάμῳ; οἷον συνηλευθερώθη τις τῇ οἰκείᾳ ἀ-

licet frater aut soror his natus fuerit ex matrimonio, postea quàm ipsi nati essent, cōtracto. ¶ Vxor mea diuortio à me digressa, alii viro denupsit. Ex eo filiam concepit. Quæritur, an filiam hāc ex ea natā vxorē possim ducere? Et adfirmo hanc priuignam nō esse, quoniam priuigna est, quæ ante meas nata est nuptias. Attamem honestas exigit, vt ab huiuscemodi cōiunctione abstineā. Nā & filii mei sponsa, non secutis nuptiis nurus mihi non est facta: neque patris mei sponsa, nuptiis impeditis, nouerca mihi facta est: & tamen quamuis nihil eorum, quæ antè dicta sunt, obstet, quominus casvxores ducam, Iulianus propter honestatem rectiùs nos & iure facturos tradit, si ad has & tales nuptias non accesserimus. ¶ Cognatio quoq; quę in seruitute cōtracta est, an impedimēto sit nuptiis, tractari potest. Veluti,

cum sorore sua aliquis manumissus est: quæritur, an permissum sit eos matrimonio coniungi. Et quidem quantum ad iuris subtilitatē attinet, nulla inter eos videtur esse cognatio. Verius tamen est, vt ius sanguinis coniunctionem impediat. ¶Sunt & aliæ personæ, quas diuersas ob causas vxores non posim ducere. Sed eas in libris Pandectarū siue Digestorum ex multis veteribus collectas, inseri Imperator noster sanctissim' voluit. ¶Quod si quis aduersus ea, quæ dicta sunt, vxorem duxerit, neque cognationem, quæ inter parentes & liberos est veritus: neque personas, quæ ex latere vetitæ sunt, obseruans: neque memor prohibitionis, quæ ex adfinitate procedit: aut etiam cognationem quæ in seruitute contracta est, contemnens, nec mariti ipse, nec illa vxoris habebit no-

δελφῇ. ζητοῦμεν εἰ ἐπιτέτραπται γάμος γενέσθαι αὐτῶν ἀναμεταξύ. καὶ ὅσον μὲν κατὰ τὴν ἀκρίβειαν, οὐ νομίζεταί τις ἀναμεταξὺ αὐτῶν εἶναι συγγένεια. πλὴν διὰ τὸ τοῦ αἵματος δίκαιον, ὅ ἐστι ius sanguinis, ἤγουν δίκαιον αἵματος, ἡ συνάφεια κεκώλυται. ¶ Ἔστι δὲ καὶ ἕτερα πρόσωπα, ἅτινα διαφόρων αἰτιῶν χάριν, οὐ δύναμαι λαβεῖν πρὸς γάμον. ταῦτα δὲ ἐν τοῖς Διγέστοις, ἤγουν τῷ Πανδέκτῳ ἐκ πολλῶν ἀρχαίων συναχθέντα, ἐγγραφῆναι ὁ θειότατος ἡμῶν ἐπέτρεψε βασιλεύς. ¶ Εἰ δέ τις ἐπεναντίων τῶν εἰρημένων ἀγάγηταί τινα πρὸς γάμον, οὐκ αἰσχυνθεὶς τὴν τῶν ἀνιόντων ἢ κατιόντων συγγένειαν, οὐδὲ τὰ ἐκ πλαγίου κεκωλυμένα πρόσωπα, οὐδὲ ἐν νῷ λαβὼν τὴν τῆς ἀγχιστείας κώλυσιν, καταφρονήσας δὲ καὶ τῶν συνελευθερωθέντων συγγενῶν, οὔτε αὐτὸς ἀνήρ, οὔτε ἐκείνη γαμετὴ κληθήσεται

θ. Sunt & aliæ.

θ. Si aduersus ea.

θήσεται, ἀλλ' οὐδὲ γάμος τὸ πρᾶγμα, οὐδὲ προὶξ τὸ ἐπιδιδόμενον. ἀλλ' ἐπειδὴ ταῦτα τῶν ἀκολάστων ἐπισχεῖν οὐ δύναται τὴν προαίρεσιν, μείζονα ποιεῖ τὴν ἐπιτίμησιν ὁ νόμος. λέγει γὰρ τοὺς ἐκ τοιαύτης συναφείας τικτομένους, ὑπεξουσίους μὴ γίνεσθαι τῷ πατρί, καὶ οὓς ἡ φύσις ἐδωρήσατο ὁ νόμος ἀγνοεῖ ὡς μὴ κατὰ τὴν αὐτοῦ τεχθέντας προαίρεσιν. ἀλλ' ὅσον ἀνήκει εἰς τὴν τοῦ πατρὸς ὑπεξουσιότητα, τοιοῦτοί εἰσιν, ὁποίους εἶναι συμβαίνει τοὺς ἀπὸ πορνείας συλληφθέντας. καὶ γὰρ οὐδὲ οὗτοι πατέρας ἔχειν νοοῦνται, ὁπότε ἄδηλος οὗτος ἐστὶ διὰ τὸ πλῆθος τῶν μιγνυμένων, ἀλλ' εἰώθασι τούτους σπουρίους καλεῖν, ἢ ἀπὸ ἑλληνικῆς φωνῆς, quasi σποράδην concepti, οἷον σποράδην συλληφθέντες, ἢ quasi sine patre filii. ἤγουν ἐπειδὴ παῖδές εἰσιν ἀπάτορες. ἀκολούθως οὖν ἐστὶ λέγειν τῆς τοιαύτης διαλυθεί-

men: Quin immò nec matrimonium erit, quod gestũ fuerit, nec dos, quod illatũ. Quoniã tamen ne hęc quidẽ improborum cupiditates coërcere possũt, grauior in eos pœna iure cõstituit. Cautũ est enim, ne q̃ ex huiuscemodi cõiunctionibus nascũtur, in patris petestate sint: (quoniã quos sola nouit natura, eos ius ignorat, vt nõ secũdũ præcepta sua genitos) sed quã tũ ad patriã potestatẽ attinet, tales sunt, quales hi, q̃ ex meretricio coitu & vulgò nascuntur. Nam neque hi patres habere intelliguntur, quandoquidẽ illorũ pater ignoratur ob magnum eorum numerũ, qui cũ matribus illorũ cõsuetudinem habuerũt: Sed receptũ est, vt Spurii vocẽtur: vel à Græca voce σποράδην, quasi σπαρέντες, id est, sparsim & vulgò ac passim cõcepti: vel à Latinis notis S.P. quasi sine patre filii. Quib⁹ cõsequẽs, vt tali con-

iunct

iũctione soluta nec dotis petitio procedat. Nec tamen eas tãtùm pœnas, quas retulimus patiũtur hi q illicitas nuptias contrahunt, sed etiã alias quasdam, quas ex Principũ constitutionibus latiùs potes discere. ¶ Inuenias etiã, quãdo is, q simul ac natus est, in potestate patris non est, tamẽ postea in potestate patris fit. Et quis hic tandẽ est? Consuetudinem cum muliercula aliqua habebam, cuius matrimonio mihi legibus interdictũ nõ fuerat, habebam autem cum ea cõsuetudinẽ, non vt cum vxore, sed vt cũ meretrice, forsan vel vt cum concubina. Ex ea mihi sunt nati liberi: In potestate mea hi nõ sunt: quia matrimonium non præcesserit. Sed naturalis est filius. Si hũc ego postea curiæ offerã: potestati meæ subiectus fiet. Ideóq; si cũ muliere aliqua non vt cum vxore, rem habui: quam ne vxorem ducerẽ, nulla lex vetabat, sed

σης συναφείας, μὴ γίνεσθαι προικὸς ἀπαίτησιν. οἱ δὲ τοὺς ἀθεμίτους ἀσπαζόμενοι γάμους οὐ μόνον τὰς εἰρημένας ὑφίστανται ποινάς, ἀλλὰ γὰρ καὶ ἑτέρας τινάς, ἃς ἐκ τῶν βασιλικῶν ἔστι μαθεῖν διατάξεων. ¶ Ἔστι δὲ ἰδεῖν ποτέ τις, ἅμα μὲν τῷ τεχθῆναι οὐκ ἔστιν ἐν ποτεστάτε τοῦ πατρός, μετὰ ταῦτα δὲ γίνεται ἐν ποτεστάτε. καὶ ποῖος οὗτος ἐστί; ἐμιγνύμην μὲν ἐγώ τινι γυναικί, πρὸς ἣν νόμιμον οὐκ ἐκωλυόμην συστήσασθαι γάμον. ἐμιγνύμην δὲ αὐτῇ, οὐχ ὡς γαμετῇ, ἀλλ' ὡς πόρνῃ τυχόν, ἢ παλλακῇ. ἐτέχθησαν παῖδες ἐντεῦθεν, οὐκ εἰσὶν ἐν ποτεστάτε, διὰ τὸ γάμον μὴ προηγεῖσθαι, ἀλλ' ἔστι φυσικὸς ὁ παῖς. τοῦτον ἐπιδέδωκε μετὰ ταῦτα εἰς βουλευτήριον, γενήσεταί μοι ἐν ποτεστάτε. τὸ δὲ αὐτὸ ἐστιν, εἰ καὶ συνεκάθευδον γυναικί τινι, οὐχ ὡς γαμετῇ, ἣν ἔχειν με γυναῖκα, οὐχ ὁ νόμος, ἀλλ'

θ. Aliquando.

ἡ τῆς διαθέσεως ἐκώλυσεν ἔλλειψις, ἐτέχθη παῖς, οὐκ ἔστιν ἐν ποτεστάτε. εἰ δὲ μετὰ ταῦτα καθὰ εἴρηκεν ἡ διάταξις τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, προικῷα γένηται πρὸς αὐτὴν, οὐ μόνον οἱ προτεχθέντες τῶν προικῴων, ἀλλὰ καὶ οἱ μετὰ ταῦτα, εἰ τινας συμβαίη τεχθῆναι, ὑπεξούσιοί μοι γενήσονται, κατὰ τὰ περιεχόμενα τῇ τοῦ θειοτάτου ἡμῶν βασιλέως διατάξει.

voluntas tantū mea deerat, natus est ex ea mihi filius. Is in potestate mea non est. Si postea (quemadmodum Imperatoris nostri religiosissimi cōstitutione cauetur) dotalia cū ea fuerint instrumēta confecta, non solùm qui ante ea dotalia nati fuerint, sed etiā hi, quos postea nasci cōtinget, potestati meæ subiicientur: secundū ea quæ præfata Imperatoris nostri constitutione compræhensa sunt.

---

## DE ADOPTIONIBVS. Titulus XI.

Ἔγνωμεν ἐν τοῖς προλαβοῦσιν ὅπως ἔχομεν τὸ ἐν ποτεστάτε κατὰ τῶν ἡμετέρων παίδων, τῶν ἐξ ἐννόμων γάμων ἡμῖν γεννωμένων. εἰδέναι δὲ χρὴ, ὅτι αὕτη ἡ ἐν ποτεστάτε, καὶ ἐπὶ τοὺς θετοὺς πρόεισι παῖδας. καὶ τί ἐστιν υἱοθεσία. νομίμη πρᾶξις, μιμουμένη τὴν φύσιν, πρὸς παίδων παραμυθίαν ἐπινενοημένη. τυχὸν γὰρ, οὐκ ἔχων τις

EX his quæ dicta sunt nouimus, in potestate nostra esse liberos, qui ex iustis nuptiis nobis nascuntur. Verùm sciendum est, & adoptiuos liberos in potestate nostra esse. Et quid est adoptio? Actus legitimus naturam imitans ad eorum, qui liberos non habēt, solacium inuentus. Fortè quispiam cùm liberos non habe

haberet, quia vel vxorem non duxiſſet, vel ſterile matrimonium eſſet expertus, vel liberos quos habuerat, amiſiſſet: leuare volens aut naturæ vitium, aut infelicitatem fortunæ, aliquem in adoptionem accepit. Hoc autem ideo dictum eſt, non quòd hi tantùm adoptent, qui liberos non habent: Nam & hi qui habent, citra impedimentum adoptant, vt & ſuprà diximus in illa ſpecie, vbi diximus, eum qui generum aut nurum adoptare vellet, priùs filium aut filiam emancipare debere: ita igitur ea in ſpecie niſi nuptiæ prohibuiſſent, nihil fuiſſet, quo adoptio impediretur. Sed ideo adoptionem dixi ad eorum, qui liberos non habent, ſolacium inuentam eſſe, vt id quod plerumque fit oſtenderem. ¶Porrò quæ Latinè dicitur

παῖδας διὰ τὸ μὴ ἐλθεῖν ἐπὶ γάμον· ἢ ἐλθεῖν μὲν, μὴ παιδοποιῆσαι δέ· ἢ παιδοποιῆσαι μὲν, ἀποβαλέσθαι δὲ τούτους· τὸ ἐκ τῆς φύσεως ἐλάττωμα, ἢ καὶ τὸ συμβὰν δυστύχημα βουλόμενος ἐπικουφίσαι, ἔλαβεν εἰς υἱοθεσίαν τινά. τοῦτο δὲ εἴρηται, ὡς οὐ μόνον ἐκείνων εἰς θέσιν λαμβανόντων τῶν οὐκ ἐχόντων παῖδας. καὶ οἱ ἔχοντες γὰρ ἀκωλύτως λήψονται, ὡς καὶ ἐν τοῖς προλαβοῦσιν εἴρηται ἐπ' ἐκείνου τοῦ θέματος ἔνθα εἴπομεν, τὸν εἰς θέσιν βουλόμενον λαβεῖν τὸν γαμβρὸν, ἢ τὴν νύμφην, πρότερον τὸν υἱὸν, ἢ τὴν θυγατέρα ὀφείλειν ποιεῖν ἐμαγκιπάτον. ὥστε οὖν ἐν ἐκείνῳ τῷ θέματι, εἰ μὴ ὁ γάμος ὑπῆν, οὐδὲν ἐνεπόδιζε τῇ πράξει τῆς θέσεως. ἀλλ' εἶπον ἐνταῦθα πρὸς παραμυθίαν ἀπαίδων ἐπινενοῆσθαι τὴν θέσιν, ἵνα δηλώσω τὸ γινόμενον ὡς ἐπὶ τὸ πλεῖστον. ¶ Ἡ δὲ υἱοθεσία Ῥωμαϊ- b. Adoptio autem.

κοινῇ φωνῇ λέγεται ἀδοπτίων. αὕτη οὖν γενικὸν ὄνομα, εἰς δύο διαιρεῖται, εἰς ἀδρογατίονα, καὶ τὴν ὁμώνυμον ἀδοπτίονα. ἡ δὲ ἀδοπτίων γίνεται δύο τρόποις, ἢ ἐκ βασιλικῆς ἀντιγραφῆς, ἢ ἐκ προστάξεως ἀρχόντων. ἐξ ἀντιγραφῆς βασιλικῆς τούτους ἢ ταύτας εἰς θέσιν λαμβάνομεν, οἵτινές εἰσιν αὐτεξούσιοι. τοῦτο δὲ τὸ τῆς υἱοθεσίας εἶδος, λέγεται ἀδρογατίων, ἤγουν παράκλησις. κελεύσει δὲ τῶν ἀρχόντων ἔξεστι λαβεῖν εἰς θέσιν τοὺς ὑπεξουσίους, ἢ τὰς ὑπεξουσίας ἑτέρων, εἴτε πρῶτον ἐπέχοιεν παρὰ τοῖς φυσικοῖς γονεῦσι βαθμόν, ὁποῖός ἐστιν υἱὸς ἢ θυγάτηρ, εἴτε δὲ ἐπ᾽ ἐκεῖνα, ὁποῖός ἐστιν ἔγγονος, ἐγγόνη. τοῦτο δὲ κυρίως ἀδοπτίων λέγεται. ἡ γὰρ υἱοθεσία, καὶ γενικὸν καὶ ἰδικὸν ὄνομά ἐστι.

8. Sed hodie. ¶ Ἀλλὰ πάλαι μὲν ἐξῆν πάντως ἀλλότριον ὑπεξούσιον εἰς θέσιν λαμβάνειν, καὶ τὸ ἰν ποτεστάτε, τοῦ φυσικοῦ πατρὸς μετέβαινεν ἐπὶ τὸν θε-

adoptio: eam Græci υἱοθεσίαν vocant. Est autem adoptionis nomen generale, & in duas species diuiditur. In adrogationé, & in eam, quæ in generis sui nomine stat, & propriè dicitur adoptio. Fit igitur duobus modis: aut ex Principis rescripto, aut per iussum magistratuū. Per principis rescriptum eos eásue in adoptionē accipim⁹: qui queue sui iuris sunt: & hæc species adoptionis, adrogatio vocatur. Imperio magistratuū eos eásue adoptare possumus, qui quǽue in aliena potestate sunt: siue primum gradū ad parētes naturales obtineāt, qualis est filius filia-siue inferioré, qualis est nepos neptis. Et hæc propriè adoptio dicitur. Nam adoptionis nomen & generale & speciale est. ¶ Atque olim quidem quemuis adoptare licebat, qui in aliena erat potestate, & potestas patris naturalis trāsibat in adopt

adoptiuum. Sed hodie edita est sanctissimi Imperatoris nostri constitutio, qua cauetur: ne cùm quis eum, qui in aliena potestate est, adoptat, potestas patris naturalis dissoluatur, aut ad patrem adoptiuum transeat, néue ille in potestate eius sit, quamuis eadem constitutione iura ab intestato successionis ei in bonis eius, qui ipsum adoptauerit, tributa sint. Quòd si pater naturalis non extraneo cuipiam, sed socero suo hunc in adoptionem dederit: qui illi erat auus maternus: aut si quis cùm posteaquam emancipatus esset (quod sæpe contingit) liberos suscepisset: filium sibi post emancipationem natum, patri suo, auóque illius paterno dederit in adoptionem: in his casibus, cùm in vnam & eandem personam & naturalia, id est, quæ

τόν. σήμερον δὲ διάταξις τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως γέγονε κελεύουσα, ἡνίκα τις ὑπεξούσιον εἰς θέσιν λαμβάνει, μὴ διαλύεσθαι τὴν τοῦ φυσικοῦ πατρὸς ὑπεξουσιότητα, μηδέπω μετιέναι ἐπὶ τὸν θετὸν πατέρα, μηδὲ γίνεσθαι αὐτοῦ ἐν ποτεστάτε τὸν παῖδα, εἰ καὶ τὴν ἐξ ἀδιαθέτου κλῆσιν, εἰς τὰ πράγματα τοῦ λαβόντος αὐτὸν εἰς υἱοθεσίαν, ἡ εἰρημένη διάταξις αὐτῷ ἐφιλοτιμήσατο. εἰ δὲ ὁ φυσικὸς πατὴρ, οὐκ ἐξωτικῷ τινὶ, ἀλλὰ τῷ οἰκείῳ πενθερῷ τοῦτον δέδωκε εἰς θέσιν, ὃς ἦν αὐτῷ πάππος πρὸς μητρὸς, ἢ πολλάκις γενόμενός τις ἐμανκιπάτος, εἶτα παιδοποιήσας, τὸν μετὰ τὴν ἐμανκιπατιόνα τεχθέντα αὐτοῦ παῖδα, τῷ οἰκείῳ μὲν πατρὶ, πάππῳ δὲ πρὸς πατρὸς τοῦ λαμβανομένου δέδωκεν εἰς θέσιν. ἐπὶ τούτων γὰρ τῶν θεμάτων, ἐπειδὴ εἰς ἓν καὶ τὸ αὐτὸ πρόσωπον συντρέχει τάτε φυσικὰ

δίκαια, τουτέστι τὰ ἐκ τῆς γενέσεως καὶ τῆς υἱοθεσίας, ἀμφάχως ὁ παῖς ἐν ποτεστάτε γενήσεται τοῦ θετοῦ πατρὸς, συναπτόμενος αὐτῷ καὶ νόμῳ καὶ φύσει, καὶ τῆς τοῦ πρὸς πατρὸς πάππου γενήσεται φαμιλίας τε καὶ ὑπεξουσιότητος. ¶ Εἰσὶν οὖν πολλαὶ διαφοραὶ ἀδρογατίονος, καὶ ἀδοπτίονος. καὶ πρώτη αὕτη. ἡ μὲν ἀδρογατίων ἐπὶ βασιλέως γίνεται, ἡ δὲ ἀδοπτίων, ἐπὶ ἀρχόντων. δευτέρα διαφορὰ, ὅτι ἡ μὲν ἀδρογατίων, ἐπὶ αὐτεξουσίων, ἡ δὲ ἀδοπτίων ἐπὶ ὑπεξουσίων χώραν ἔχει. ἔστι δὲ καὶ τρίτη διαφορά. ὁ ἄνηβος αὐτεξούσιος ἐκεκώλυτο εἰς θέσιν πάλαι λαμβάνεσθαι. τελευταῖον δὲ, ἐπετράπη γίνεσθαι, μετά τινος παραφυλακῆς. ἡνίκα οὖν διὰ βασιλικῆς ἀντιγραφῆς ἄνηβος αὐτεξούσιος εἰς θέσιν λαμβάνεται, δεῖ ζητῆσαι, εἰ σεμνή τις αἰτία τὴν υἱοθεσίαν συνεστήσατο, τουτέστι μὴ δι' αἰσχρὸν ἔρω-

¶. Cum autē impub.

ex genitura comparantur, & adoptionis iura concurrāt: dubiū non est, quin filius in potestatem patris adoptiui trāseat: & iure ciuili & natura illi coniunctus atq; in familia & potestate sit aui paterni. ¶ Multæ igitur sunt differentiæ inter adrogationem & adoptionem: Atq; hæc quidem prima. Adrogatio fit apud Principē. Adoptio apud magistratus. Secunda differentia. Adrogatio in patribusfamilias. Adoptio in filiisfamilias locum habet. Est & tertia differentia. Paterfamilias impubes olim in adrogationē aut adoptionem accipi non poterat. Ad extremum tamen id permissum est, sed quædam in eo obseruanda sunt. Cùm igitur per rescriptū principis paterfamiliās impubes adrogatur: quærendum est, an honesta sit causa, quæ adrogationem conflauit, id est, an non ob turpem amorem,

rem, is qui pater futurus est, adrogationem velit fieri. Item an id vtile sit pupillo, an verò non expediat. Nam fortè adrogator inops est, aut interdum sumptuosus, & pupillus admodum diues. Et si quid horum compertum fuerit, non procedet adrogatio. Ad hæc & illud necesse est, vt adrogator personæ publicæ, id est, tabellioni caueat, si intra pubertatem pupillus decesserit, quem adrogauerit, restituturum se bona illis qui si adoptio facta non esset, ad successionem eius venturi erant. Sed neq; aliter pupillum hunc adrogator emancipare potest, nisi iusta causa approbata dignus visus fuerit emancipatione. Quid enim, si aut patri adoptiuo insidias fecerit, aut aliud quid egerit, propter quod meritò ex adoptiui patris potestate abiici

ζα, τὴν θέσιν ὁ ἐσόμενος πατὴρ γενέσθαι βούλεται, καὶ εἰ λυσιτελὲς τοῦτο τῷ πουπίλλῳ ἢ καὶ μὴ συμφέρει. τυχὸν γὰρ ἄπορός ἐστιν ὁ θετὸς πατήρ, αὐτὸς δὲ πλούσιος, ἢ ἔσθ' ὅτε δαπανηρός. καὶ εἰ ἓν ἐξ αὐτῶν φανῇ, οὐ προβήσεται ἡ θέσις. δεῖ γὰρ πρὸς τούτοις, καὶ ἀσφάλειαν ποιεῖν τὸν ἀδρογάτορα ἐν δημοσίῳ προσώπῳ, τουτέστι τῷ ταβουλλαρίῳ, ὡς εἰ συμβῇ τὸν εἰς θέσιν ληφθέντα ἀνήβον τελευτῆσαι, ἀποκαταστήσει ἐκείνοις τὰ πράγματα, οἳ ἔμελλον ἐλθεῖν ἐπὶ τὴν αὐτοῦ κληρονομίαν, εἴ γε μὴ ἐδεδώκει ἑαυτὸν εἰς θέσιν. ἀλλ' οὐδὲ ἑτέρως τὸν τοιοῦτον ἀνήβον ἐμαγκιπάτον ὁ ἀδρογάτωρ ποιεῖν δύναται, εἰ μὴ εὐλόγου αἰτίας ἀποδεχθείσης. ὅτι πάντων πραγμάτων ὧν ἂν λέγοιντο διαφοραὶ τούτων καὶ κοινωνίαι τυγχάνουσι. τί γὰρ ὅτι ἢ ἐπεβούλευσε τῷ θετῷ πατρί, ἢ ἔπραξε ὥσπερ ἄξιον ἑαυτὸν ἐποίει,

τοῦ ἐκβληθῆναι τε τοῦ θετοῦ πατρὸς ὑπεξουσιότητος, ἀποδιδομένων αὐτῷ δηλονότι τῶν ὑπ' αὐτοῦ προσπορισθέντων πραγμάτων τῷ θετῷ πατρί. εἰ δὲ καὶ τελευτῶν ὁ θετὸς πατὴρ, ἐξερεδάτευσεν αὐτὸν, ἤγουν ἀπόκληρον αὐτὸν ἐποίησεν, ἢ καὶ περιὼν ἀλόγως ἐποίησεν, κελεύεται τὸ τέταρτον μέρος τῶν οἰκείων πραγμάτων αὐτῷ καταλεῖψαι, ἐξῃρημένων δηλαδὴ τῶν ἐπὶ τὸν θετὸν πατέρα μετενεχθέντων, καὶ ὧν αὐτῷ τὸ κέρδος προσεπόρισε μετὰ τὴν θέσιν. ταῦτα δὲ πάντα, ἐπὶ τοῦ εἰς θέσιν λαμβανομένου αὐτοῦ ὑπεξουσίου ἀργεῖ διὰ τὸ πρῶτον μὲν μηδὲν δοκεῖν ἔχειν αὐτὸν ὑπεξούσιον. δεύτερον ὅτι ἐστὶ πατὴρ δυνάμενος ταῦτα περιεργάζεσθαι, καὶ οὕτως αὐτὸν

θ. Minoré. εἰς υἱοθεσίαν παραγαγεῖν. ¶ Εἰρήκαμεν τρεῖς διαφορὰς, εἴπωμεν κοινωνίας ἀδρογατίονος, καὶ ἀδοπτίονος. ἔνθα γὰρ διαφορὰ, πάντως ἔστι καὶ κοινωνία. ἔστι δὲ πρώτη κοινωνία αὐ

debeat? Sic tamen vt bona, quæ patri adoptiuo per ipsum adquisita fuerint, ei reddantur. Sed & si decedens pater adoptiuus eum exheredauerit, aut viuus sine causa emãcipauerit: quartam partem bonorum suorũ ei relinquere iubetur, exceptis videlicet bonis quæ ad patrem adoptiuum transtulit, & quorum commodum post adrogationem ei adquisiuit. Hæc autem omnia in filiofamilias impubere adoptato cessant. Primùm quia filiusfamilias nihil habere intellegatur. Secundò quia pater omnibus hisce de rebus perquirere possit, & ita eum in adoptionẽ dare. ¶ Tres diximus differentias. Dicamus etiam quid commune sit inter adrogationem & adoptionem Nam ferè, quæ in quibusdam differũt, quædam etiam communia habent. Atque in primis id vtrisque commune est.

est. Eũ, qui in adoptionẽ accipit, maiorẽ esse eo, q adoptatur oportet: cũ ad similitudinem & imitationem naturæ introducta sit adoptio. Porrò natura, pater filio semp senior est. Nam illud pro monstro fit, & à natura alienũ dicere, filium patre seniorem esse. Atque hæc tam in filiis familias quam patribus familias procedunt. Porrò necesse est, vt pater octodecim annis præcedat: hæc enim ætas plena pubertas dicitur: quãdo & in his qui tardius pubescunt, habit⁹ corporis tũc omnino concurrit. ¶Secundò & aliud inter hæc cõmune est. Nam in locũ nepotis aut neptis, vel pnepotis aut pronepti s, & deinceps adoptare possum, etiam si filium nõ habeã. ¶ Quod autem dicturus sum nõ tam commune est inter ea, quàm proprium est differentiæ, quæ tertia est. Nã in patribusfa. non procedit. In locũ enim

τη. δεῖ τὸν λαμβάνοντα εἰς υἱο
θεσίαν εἶναι μείζονα τοῦ υἱοθε-
τουμένου, ἐπειδὴ πρὸς μίμησιν
τῆς φύσεως ἐπινενόηται. ἡ δὲ φύ
σις πρεσβύτερον οἶδε τοῦ υἱοῦ
τὸν πατέρα. νομίζεται γὰρ τέ-
ρας εἶναι καὶ τῆς φύσεως ἀλλό-
τριον, τὸ λέγειν μείζονα εἶναι
τὸν παῖδα τοῦ πατρός. ταῦτα
δὲ ἐπὶ ὑπεξουσίων, καὶ αὐτε-
ξουσίων προβαίνει. δεῖ δὲ προ-
ηγεῖσθαι τὸν πατέρα ἐνιαυτοὺς
ιη. ἡ γὰρ τοιαύτη ἡλικία ple-
na λέγεται pubertas, τουτέστι
ἐφηβότης τελεία. ὅτε καὶ οἱ
βραδέως ἡβῶντες, ἡβῶσι τοῦ
σχήματος πάντως συντρέ-
χοντος. ¶ Ἔστι δὲ δεύτερον θ. Licet.
κοινωνία ἐν τούτοις. δυνάμαι
γὰρ εἰς τάξιν ἐγγόνου ἢ ἐγγόνης,
ἢ προεγγόνου καὶ προεγγόνης, ἢ
καὶ τῶν ἔτι κατωτέρων εἰς θέ-
σιν λαβεῖν, εἰ καὶ τὰ μάλιστα
μὴ ἔχω παῖδα. ¶ Τὸ δὲ μέλ θ. Et tam filium.
λον λέγεσθαι, οὐ κοινωνίας, ἀλ-
λὰ μᾶλλον διαφορᾶς ἐστὶν ἴ-
διον, ἥτις ἐστὶ τρίτη. ἐπὶ γὰρ
αὐτεξουσίων οὐ προβαίνει, εἰς

τάξιν γὰρ ἐγγόνου δύναμαι λαβεῖν τὸν ἀλλότριον υἱὸν, καὶ πάλιν τὸν ἀλλότριον ἔγγονον εἰς τάξιν υἱοῦ. οὐ γὰρ ἀνάγκη ἐπιθεῖναί με τῇ τάξει τῇ οὔσῃ παρὰ τῷ φυσικῷ πατρί.

§. Sed si quis. ¶ Ἔστι καὶ τετάρτη κοινωνία, εἴ τις ἐν τάξει ἐγγόνου εἰς θέσιν λάβῃ τινά, ὡσανεὶ τεχθέντα ἐκ τοῦ οἰκείου παιδὸς τοῦ φυσικοῦ, ἢ τοῦ θετοῦ, δεῖ πάντως καὶ αὐτὸν συναινεῖν τὸν παῖδα. ἐπειδὴ γὰρ τελευτήσαντος τοῦ λαβόντος εἰς θέσιν, ὁ ληφθεὶς εἰς θέσιν μέλλει μεταπίπτειν εἰς τὴν ὑπεξουσιότητα ἐκείνου, ἐξ οὗ τετέχθαι αὐτῷ ἡ φύσις ἐσχημάτισται. διὰ τοῦτο δεῖ συναινεῖν τὸν μέσον, ἵνα μὴ ἄκοντι αὐτῷ σοῦος γένηται κληρονόμος. εἰ μέν τοι ἐκ τοῦ ἐναντίου ἔχων τις υἱὸν, καὶ ἐκ τούτου ἔγγονον, τὸν ἔγγονον ἑτέρῳ δίδωσιν εἰς υἱοθεσίαν, οὐκ ἀνάγκη τὸν υἱὸν συναινεῖν.

§. In plurimis. ¶ Ἔστι δὲ πέμπτη κοινωνία ἀδρογατίονος καὶ ἀδοπτίονος ἐν τούτοις. ὅντινα γὰρ λάβω εἰς θέ-

nepotis alienum filium adoptare possum: & rursus alienum nepotē in locum filii. Quoniam necesse mihi nō est, ordinem graduumq; qui apud patrē naturalem est seruare. ¶ Quarto cōmune his est Quòd si quis in locū nepotis aliquē adoptet, velut ex eo natum quem aut naturalē habet aut adoptiuū filium opus sit omnino & filii consensu. Nam cū mortuo illo, qui adoptauit, is qui adoptatus est, in potestatē eius recidat, ex quo natus esse per adoptionem fingitur, ideo eum qui in medio est, consentire oportet, ne ei inuito suus heres agnascatur. Ex contrario tamē, si quis cùm filium haberet, & ex eo nepotem, nepotem alteri det in adoptionem: filii consensu non est opus. ¶ Est & quinto quod inter adrogationem & adoptionem commune sit. Quemcūque enim in adoptionem accepi siue

per

per adrogationē siue per adoptionē: siue apud Principē, siue apud Prętorem aut Præsidē vel proconsulē: cùm is extrane⁹ nō esset: hūc ego & alteri in adoptionē dare possū. Vt enim in multis aliis ita & in hoc similitudo est iter adrogationem & adoptionē. ¶ Sed & Eunuchi quod sexto inter adrogationē & adoptionē cōmune sit, nobis prębet. Tu verò hæc habeto in modū pręuię cuiusdā inspectionis. Eunuchus nomē generale est, & ī tres species diuiditur. Quoniam Eunuchorū, alii sunt Spadones, quidā Castrati, aliqui Thlibiæ. Et spadonesquidem sunt, qui propter vitium aliquod, aut frigiditatē membrorū genitaliū liberis operā dare nō possunt, sed eo sublato liberos suscipere possunt. Thlibiæ verò sunt, quib⁹ à nutrice vel forsitan matre, extriti sunttesticuli. Castrati autē sunt, quibus execta sunt

σιν κατὰ ἀδρογατιόνα ἢ κατ' ἀδοπτιόνα, εἴτε παρὰ βασιλεῖ, εἴτε παρὰ τῷ πραίτωρι, εἴτε ἄρχοντι, οὐκ ὄντα ἐξωτικὸν, δύναμαι τοῦτον εἰς θέσιν διδόναι ἑτέρῳ. ὥσπερ γὰρ ἐν πλείοσις, οὕτω κἀν τούτῳ μίμησίς ἐστιν ἀδρογατιόνος καὶ ἀδοπτιόνος. ¶ Ἕκτην κοινωνίαν ἀδρογατιόνος καὶ ἀδοπτιόνος, δίδωσιν ἡμῖν ὁ εὐνοῦχος. ἔχε δὲ ταῦτα ὡς ἐν προθεωρίᾳ. εὐνοῦχος, ὄνομά ἐστι γενικὸν, τέμνεται δὲ εἰς τρία. τῶν γὰρ εὐνούχων, οἱ μέν εἰσι σπάδωνες, οἱ δὲ καστράτοι, οἱ δὲ θλιβίαι. καὶ σπάδωνές εἰσιν, οἵτινες διά τι πάθος ἢ ψῦξιν ἐνοχλήσασαν τοῖς γεννητικοῖς μορίοις παιδοποιεῖν κωλύονται. τούτου δὲ ἀπαλλαγέντες παιδοποιοῦσι. θλιβίαι δὲ οἵτινες ὑπὸ τῆς τροφοῦ, ἢ τῆς μητρὸς τυχὸν, ἐκθλιψάντων τῶν διδύμων ὑπέστησαν. καστράτοι δέ εἰσιν, ἐφ' ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων. ἐπειδὴ

θ. Sed & illud.

ἐπειδή σοι ταῦτα προθεώρηται, ὥρα λοιπὸν τὸ προκείμενον. ἐζητήθη εἰ ἄρα ὁ εὐνοῦχος δύναται υἱοθετεῖν; καὶ λέγομεν, ὅτι ὁ μὴ καστράτος, καὶ ὁ θλιβίας, οὐ λαμβάνουσι εἰς θέσιν, οὐδὲ αὐτεξούσιον παρὰ βασιλέως, οὐδὲ ὑπεξούσιον παρὰ ἄρχοντος. οἷς γὰρ ἡ φύσις ἠρνήσατο παιδοποιεῖν, τούτοις καὶ ὁ νόμος κατὰ πόδας βαδίζων τῆς φύσεως. ἀνέλπιστα γὰρ αὐτοῖς τὰ τῆς παιδοποιίας (ὁ δὲ σπάδων, ἐπειδὴ τούτῳ ἐλπίς, εἰκὸς γὰρ τοῦ πάθους ἀπαλλαγέντος δύνασθαι παιδοποιεῖν) εἰς θέσιν λήψεται, καὶ ὑπεξούσιον καὶ αὐτεξούσιον. ἀλλ' ὁ σπάδων λαβὼν ὑπεξούσιον εἰς θέσιν, οὐχ ἕξει τοῦτον ἐν ποτεστάτε. πάντως γὰρ ὁ λαμβανόμενος ἐξωτικὸς ἐστι. πῶς γὰρ ὁ σπάδων πάππος εἶναι πρὸς πατρὸς ἢ πρὸς μητρὸς δυνήσεται. εἰ μὴ ἄρα τις εἴπῃ τὸν σπάδωνα μὴ μόνον ἐκεῖνον εἶναι τὸν ἐξ ἀρχῆς οὐ δυνηθέντα παιδο-

membra virilia. Hoc ita præcognito, video nunc cetera: Quæsitū est, an Eunuchꝰ adoptare possit? Et dicimus Thlibiam, aut castratum adoptare nō posse: neq; patremfamiliās apud Principē, neq; filiumfamiliās apud Prætorem aut alios. Nam quibus natura negauit liberos posse gignere, his neq; ius ciuile, quod naturæ vestigia sequitur, concessit. Cùm ne sperare quidem possint, vt liberis vnquā dent operā. At spado, quoniā is sperare potest, vt vitio quo tenetur cessante, liberos possit gignere, rectè ī adoptionē accipiet tam filiūfamilias quàm patremfa. Sed spado qui filiumfa. adoptauerit, in potestate eū nō est habiturus. Quoniam omnino futurum est, vt extraneus sit. Nā quomodo spado paternus aut maternus auus esse poterit? Nisi si quis dixerit, Non eum tantū spadoné esse, qui initio liberos gignere non potuit,

potuit,

potuit, sed tamen sperabat. Verùetiam illum, qui cum ante liberos gignere potuerit, postea in tale vitiũ collapsus est, vt liberis operã dare non possit. ¶Est &quod septimo inter hæc cõmune sit, id quod à feminis procedit. Nam neq; per adrogationem neq; per adoptionẽ feminæ quemquam adoptare possunt: quoniã per adoptionẽ in liberos patria potestas quæritur. At mulier ne naturales quidẽ liberos in potestate habet, & ius ciuile naturã sequitur. Haud iniuria igitur neminem adoptabit femina, nisi si ex indulgẽtia Principis in solamen amissorum liberũm aliquẽ velit in adoptionẽ accipere. Itaque mulier quæ liberos non habet, ne ex rescripto quidẽ Principis aliquem adoptabit. ¶ Præter differẽtias iã ante dictas, est & hæc, Si quẽ adrogauero, qui & aliũ in potestate habeat: filius eius suus sequtur:

ποιῆσαι, ἐλπίζοντα δέ. ἀλλὰ γὰρ ἐκεῖνον, ὃς πάλαι μὲν ἠδύνατο παιδοποιεῖν, τελευταῖον δὲ διὰ τὸ συμβὰν αὐτῷ πάθος περιέστη εἰς τὸ μὴ δύνασθαι παιδοποιεῖν. ¶ Ἔστι δὲ καὶ ἑβδόμη κοινωνία, ἣν ἀποτελεῖ ἡ γυνή. γυνὴ γὰρ οὐδὲ κατ' ἀδρογατίονα, οὐδὲ κατ' ἀδοπτίονα δύναται λαμβάνειν εἰς θέσιν τινά. ἡ γὰρ θέσις, δέδωσιν ἡμῖν τὴν κατὰ τοῦ παιδὸς ὑπεξουσιότητα. αὕτη δὲ τοὺς φυσικοὺς παῖδας ὑπεξουσίους οὐκ ἔχει. ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει. εἰκότως οὐ λήψεται εἰς θέσιν τινά, εἰ μὴ ἄρα ἐκ φιλοτιμίας βασιλέως, πρὸς παραμυθίαν τῶν τελευτησάντων αὐτῆς παίδων βουληθῇ λαβεῖν. ὥστε οὖν ἡ μὴ ἔχουσα παῖδας γυνή, οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς λήψεται τινά. ¶ Πρὸς ταῖς εἰρημέναις διαφοραῖς ἐστὶ καὶ αὕτη. ἐὰν εἰς υἱοθεσίαν λάβω τινὰ ἔχοντα ὑπεξούσιον, ἕπεται αὐτῷ ὁ παῖς. καὶ ὁ μὲν

ἔστιν

θ. Feminæ.

θ. Illud proprium.

ἔσται παρ' ἐμοὶ ἐν τάξει υἱοῦ, ὁ δὲ ἐν τάξει ἐγγόνου. εἰ δὲ ὑπεξούσιον ἐξ οὗ γεγένηνται υἱὸς λάβω εἰς θέσιν, αὐτὸς μόνος παρελεύσεται, τὸν δὲ ἴδιον υἱὸν ἐᾷ παρὰ τῷ φυσικῷ πάππῳ. καὶ ὁ λογισμὸς δῆλος, ἐπειδὴ ὑπεξούσιος ὤν. ὑπεξούσιον ἔχειν οὐκ ἠδύνατο. ὅτι δὲ ὁ ἔχων υἱὸν ὑπεξούσιον, καὶ ληφθεὶς εἰς θέσιν συνεφέλκεται τὸν οἰκεῖον παῖδα δῆλον, ἐξ ὧν Αὔγουστος οὐ πρότερον Τιβέριον τὸν μετὰ ταῦτα γενόμενον βασιλέα ἔλαβεν εἰς θέσιν, πρὶν οὗτος τὸν Γερμανικὸν εἰς θέσιν ἔλαβεν. ἐπειδὴ γὰρ ἐβούλετο, Τιβέριον μὲν ἔχειν ἐν τάξει υἱοῦ, Γερμανικὸν δὲ ἐν τάξει ἐγγόνου, καὶ διὰ μιᾶς τούτο υἱοθεσίας γενέσθαι, παρεσκεύασε, πρότερον τὸν Γερμανικὸν εἰς θέσιν ὑπὸ Τιβερίου ληφθῆναι, εἶτα οὕτως αὐτὸς τὸν Τιβέριον ἔλαβεν εἰς θέσιν.

¶. Apud Catonem

¶ Τὸν ἴδιόν τις οἰκέτην ἔλαβεν εἰς υἱοθεσίαν, ζητοῦμεν εἴγε ἔρρωται ἡ θέσις, ἢ τί ἐντεῦ-

& ipse mihi erit loco filii: hic verò, loco nepotis. Sin autẽ quempiam filiumfa. ex quo & filius sit: adoptauero, ipse in potestatẽ meã solus trãsibit: & filium suũ apud auũ naturalẽ relinquet. Et ratio quidẽ huiusce rei in promptu est, quoniã cũ in potestate esset alium in potestate habere, non potuit. Quòd aũt is qui filiũ in potestate habet, in adrogationẽ acceptus, vna secum & filium suũ trahat, vel ex eo apparet, quòd Augustus Cęsar, nõ antè Tiberiũ qui deinde ei in Imperio successit, in adoptionem acceperit, quàm is Germanicum adoptasset. Cùm enim vellet Tiberiũ loco filii habere, & Germanicũ loco nepotis: atq; id vna adoptione fieri cuperet: curauit, vt prius Germanicus à Tiberio adoptaretur, & ipse deinde adoptauit Tiberiũ.

¶ Quidam seruum suũ adoptauit. Quærimus an valeat adoptio, aut quid inde seq

sequatur? Et scribũt veteres responsum esse à Catone: adoptionem quidẽ non valere. Nam ea in liberis personis locũ habet. Sed tamen adoptione, quamuis vt adoptio nullam vim habeat: liberũ fieri seruum hunc. Qui enim seruum adoptare voluit, dubium non est, quin tacitè cũ manumittere festinauerit. Hic igitur, id quod expreßit, non confecit: quòd verò in animo non habuit, ac non cogitauit, id peregit. Hæc ratio & sanctißimum Imperatorem nostrum mouit, vt constitueret cùm quis in iudicio & actis interuenientibus de seruo suo dixerit, Filius meus est: ex huiusce modi verbis, seruum quidem ius filii non habere, sed tamen seruum esse desinere.

θεν ἀποτελεῖται. καὶ φασὶν οἱ παλαιοὶ τὸν Κάτωνα εἰρηκέναι, τὴν μὲν θέσιν μὴ ἰσχύειν, ἐπ' ἐλευθέρων γὰρ αὕτη προβαίνει. ἡ δὲ θέσις, εἰ καὶ τὰ μάλιστα ὡς θέσις οὐκ ἔρρωται, ἀλλ' οὖν τὸν οἰκέτην ἐλεύθερον ἀποδείκνυσιν. ὁ γὰρ τὸν δοῦλον βουληθεὶς λαβεῖν, πρόδηλόν ἐστιν, ὥστε δουλείας αὐτὸν σιωπηρῶς ἔσπευσεν ἀπαλλάξαι. οὗτος τοίνυν, ὃ μὲν ἐξεφώνησεν, οὐκ ἔπραξεν. ὃ δὲ οὐκ ἐνεθυμήθη διεπράξατο. ἐντεῦθεν ὁρμηθεὶς ὁ θειότατος ἡμῶν βασιλεύς, εἰσελθόντος ἐν δικαστηρίῳ τινὸς καὶ εἰπόντος ἐν ὑπομνήμασι περὶ οἰκέτου τινός, υἱός μου ἐστίν, ἐθέσπισεν ἐκ τῶν τοιούτων ῥημάτων, τὸν μὲν οἰκέτην υἱὸν μὴ εἶναι, παύσασθαι δὲ τοῦ εἶναι δοῦλον.

---

## QVIBVS MODIS IVS PATRIAE potestatis soluitur. Tit. XII.

Ex his quæ supradicta sunt, didicimus qui

Ἐδιδάχθημεν ἐκ τῶν προλαβόντων κατά τινας ἔχο-

μεν

μένην τὸ ἰν ποτεστάτε, τουτέστι κατὰ τῶν οἰκετῶν, καὶ τῶν ἡμετέρων παίδων. τούτων μὲν φυσικῶν, τούτων δὲ καὶ θετῶν. διεξελθόντες δὲ καὶ περὶ τῆς ἀδρογατίωνος διαφοράς τε καὶ κοινωνίας. εἰσὶ γὰρ διαφοραὶ μὲν ἕξ, κοινωνίαι δὲ ἑπτά. νῦν σκοπήσωμεν τίνι διαλύεται τρόπῳ τὸ ἰν ποτεστάτε. τὸ γὰρ τρόπῳ τινὶ συνιστάμενον, τοῦτο καὶ τρόπῳ τινὶ διαλύεται. διαλύει δὲ τὸ κατὰ τῶν οἰκετῶν ἰν ποτεστάτε, ὁ τρόπος τῆς ἐλευθερίας. τὴν δὲ ἐλευθερίαν πόσοις συμβαίνει τρόποις φθάσαντες εἰρήκαμεν. ἡ γὰρ τελευτὴ τοῦ δεσπότου, οὐκ ἀπαλλαγὴν δουλείας, ἀλλὰ μετάθεσιν δεσποτείας ἐπαγγέλλεται. τὸ δὲ κατὰ τῶν υἱῶν ἰν ποτεστάτε πλείστοις διαλύεται τρόποις. τέως γὰρ ἡ τοῦ γονέως τελευτή, αὐτεξούσιον ποιεῖ τὸν παῖδα. ὀφείλεις δὲ εἰδέναι ὅτι parentes λέγονται πάντες οἱ ἀνιόντες. Liberi δὲ πάντες οἱ κατιόντες. τὸ εἰρημένον, ὅτι ἡ τε-

iuri nostro subiecti sint, népe serui & liberi nostri, tũ naturales tum adoptiui. Executi sumus etiã in quibus adrogatio & adoptio differãt, atq; in quibus conueniãt. Nã sex inter eas sunt differentię, & septem cõmunitates. Nũc videam⁹, quemadmodũ potestas nostra soluatur. Quod enim quibusdã modis cõtractũ est, hoc etiã quibusdã modis dissolui potest. Et potestas quidẽ quam in seruos habem⁹, per manumissionẽ solui tur. Quot autẽ modis manumissio cõtingat, iã antè à nobis diffusè dictũ est. Nã domini mors, non seruitutis liberationẽ sed dominii mutationẽ ꝑmittit. Potestas verò quam ĩ liberos nostros habemus multis solui tur modis. Atque in primis mors parentis, liberos sui iuris efficit. Sciendum est autem Parẽtes dici omnes, q supra nos sunt, Liberos verò omnes qui infra nos sunt. Quod igitur dictum

ctum est, morte parentis liberos sui iuris fieri, distinctionem quandam recipit. Nam si pater obiit, dubium ea res non habet, quin filius & filia sui iuris fiant. Sed cùm auus decessit, non omnino nepotes & neptes sui iuris fiunt. tempus enim mortis aui spectandum est. Et si quidem interueniat media persona, hoc est filius in potestate: & nepotes eo tempore in potestate aui sint, quo is moritur, auo mortuo nepotes sui iuris non erunt, quoniam in potestatem patris sui recident. Sin autem is, qui in medio est, aut ante patrem iam decessit, aut de potestate eius exiit, tunc nepotes cùm in potestatem eius cadere non possint, post obitum aui sui iuris fient.

¶ Liberat autem liberos à patria potestate & parentis deportatio.

λευτὴ τοῦ πατρὸς, αὐτεξούσιον δείκνυσι τὸν παῖδα, ἔχει τινὰ διάστιξιν. εἰ μὲν γὰρ πατήρ ἐστιν ὁ τελευτήσας, ἀναμφιλόγως ὁ υἱὸς καὶ ἡ θυγάτηρ αὐτεξούσιοι γίνονται. τελευτήσαντος δὲ τοῦ πάππου, οὐ πάντως οἱ ἔκγονοι, καὶ αἱ ἐκγόναι αὐτεξούσιοι γίνονται. δεῖ γὰρ σκοπεῖν τὴν ἡμέραν τῆς τοῦ πάππου τελευτῆς. καὶ εἰ μὴ εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν ὁ υἱὸς ὑπεξούσιος, οἱ δὲ ἔκγονοι κατ' ἐκεῖνον τὸν χρόνον ὑπεξούσιοι τῷ πάππῳ καθ' ὃν τελευτᾷ, ἔσονται ὑπεξούσιοι τῷ πατρὶ τελευτήσαντος τοῦ πάππου, οἱ ἔκγονοι. μεταπεσοῦνται γὰρ εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. εἰ δὲ ὁ μέσος, ἢ προετελεύτησεν τοῦ πατρὸς, ἢ τῆς ὑπεξουσιότητος αὐτοῦ ἠλευθερώθη, τότε οἱ ἔκγονοι, ἐπειδὴ οὐ μεταπίπτουσιν εἰς τὴν αὐτοῦ ὑπεξουσιότητα, αὐτεξούσιοι γίνονται. ¶ Διαλύει δὲ τὴν κατὰ τοῦ παιδὸς ὑπεξουσιότητα, καὶ ἡ δεπορτατίων τοῦ πατρός.

θ. Cùm autem.

πρός. ἐὰν γάρ τις κατηγορηθεὶς ἐπί τινι ἐγκλήματι ἐλεγχθῇ καὶ δέξηται τοιαύτην ἀπόφασιν τοῦ ἄρχοντος VOLO TE DEPORTARI IN ILLAM INSVLAM, τουτέστι βούλομαί σε ἀπενεχθῆναι εἰς τήνδε τὴν νῆσον, ἅμα τῷ λεχθῆναι τὴν ἀπόφασιν, ἐξαιρεῖται αὐτοῦ ὁ νόμος τὴν πολιτείαν καὶ τὰ πράγματα, καὶ γίνεται περεγρῖνος τῆς Ῥωμαϊκῆς στερούμενος πολιτείας, καὶ τούτῳ τῷ τρόπῳ ὥσπερ τῇ αὐτοῦ τελευτῇ, οὕτω καὶ τῇ δεπορτατίονι παύεται ὁ παῖς τοῦ εἶναι ἐν ποτεστάτε. Ῥωμαῖος γὰρ ὢν ὁ παῖς οὐ δύναται ὑπεξούσιος εἶναι τοῦ περεγρίνου. μόνοι γὰρ οἱ Ῥωμαῖοι τοὺς παῖδας ἔχουσιν ἐν ποτεστάτε. εἰ δὲ καὶ ὁ παῖς γένηται δεπορτᾶτος, παύεται τοῦ εἶναι ὑπεξούσιος. περεγρῖνος γὰρ ὢν ὑπεξούσιος εἶναι Ῥωμαίου οὐ δύναται, εἰ μή τι ἐκ βασιλέως φιλανθρωπίας ἀνα-

Nam si quis alicuius maleficii accusatus, & conuictus, huiusmodi acceperit sententiam à magistratu: VOLO TE DEPORTARI IN INSVLAM ILLAM, simul atque sententia lecta fuerit, lex ei & ciuitatem & bona adimit: & ciuitate Romana exutus sit peregrinus. Atque ita per deportationem perinde atque per mortem eius, liberi in potestate esse desinunt. Neque enim possunt liberi qui ciues Romani sunt, in peregrini potestate esse: cùm soli ciues Romani liberos in potestate habeant. Sed & si filius deportatus fuerit, in potestate parentis esse desinit. Cùm enim sit peregrinus, in potestate ciuis Romani esse non potest. Si tamen ex indulgentia principis reuocatus & ciuitati redditus fuerit, omnia illi in prist

pristinum statum restituuntur. Quòd si non deportatus sit, sed tantùm relegatus parens: dixit enim magistratus: RELEGO TE IN ILLAM INSVLAM, lex ei ciuitatem non adimit. Quapropter in suo habitu manent omnia, & ipse liberos in potestate retinet. Et ex contrario, si qui liberùm relegati fuerint, de patria potestate non exeunt. ¶ Quidam criminis accusatus est quasi ab eo commissi. Deinde conuictus eo crimine, ita à magistratu pronuntiatum est, IN METALLVM EGO TE MITTO, aut: BESTIIS EGO TE SVBIICIO. Hic confestim seruus pœnæ efficitur, non solùm amissa ciuitate, sed etiam libertate. Et hunc quoque in modum liberi ipsius

κληθεὶς ἀναλάβῃ τὴν πολιτείαν, ἅπαντα αὐτῷ εἰς τὴν ἀρχαίαν ἀποκαθίστανται τάξιν. εἰ δὲ δεπορτάτος μὲν μὴ γένηται, γένηται δὲ ῥελεγάτος ὁ πατὴρ, εἶπε γὰρ ὁ ἄρχων, RELEGO TE IN ILLAM INSVLAM, τουτέστιν ἐξορίζω σε εἰς τήνδε τὴν νῆσον, οὐκ ἀφαιρεῖται ὁ νόμος τοῦ πατρὸς τὴν πολιτείαν. διὸ μένει ἐπὶ σχήματος ἔχων ὑπεξουσίους τοὺς παῖδας. καὶ ἐκ τοῦ ἐναντίου δὲ, εἰ οἱ παῖδες ῥελεγατευθῶσιν, οὐκ ἀπαλλάττονται τῆς τοῦ πατρὸς ὑπεξουσιότητος. ¶ Ἐνεκατηγορήθη τις ὡς δὴ τι πλημμελήσας, εἶτα τοῦ ἁμαρτήματος ἀποδειχθέντος, ὁ ἄρχων ἀπεφήνατο, ΠΕΜΠΩ ΣΕ ΕΙΣ ΜΕΤΑΛΛΟΝ, ἢ ΠΑΡΑΔΙΔΩΜΙ ΣΕ ΘΗΡΙΟΙΣ. οὗτος εὐθέως δοῦλος γίνεται, τῇ τιμωρίᾳ ἐκπίπτων οὐ μόνον πολιτείας, ἀλλὰ καὶ ἐλευθερίας. καὶ τούτῳ

θ. Pœnæ seruus.

θ 2 τῷ

τῷ τρόπῳ αὐτεξούσιοι γίνονται αὐτοῦ οἱ παῖδες.

θ. Filiusfamilias. ¶ Ὑπεξούσιος ἔνοπλον ἐστρατεύσατο στρατείαν, ἢ γέγονε συγκλητικὸς, ἢ καὶ ὑπατικὸς, μένει οὐδὲν ἧττον ὑπεξούσιος τῷ πατρί. στρατείας γὰρ ἢ ὑπατείας ἀξίωμα αὐτεξούσιον οὐ ποιεῖ τὸν παῖδα. εἰ δὲ γένηται πατρίκιος ὁ ὑπεξούσιος, τηνικαῦτα ἐκ διατάξεως τοῦ ἡμετέρου βασιλέως, ἅμα τῷ δέξασθαι τοὺς κωδικίλλους τῆς πατρικιότητος, τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάττεται. τίς γὰρ ἀνάσχοιτο, πατέρα μὲν δύνασθαι διὰ τῆς ἐμαγκιπατίονος διαλύειν τὸν τῆς ὑπεξουσιότητος δεσμόν; τὸν δὲ βασιλικῆς ἐξουσίας τὸν ὄγκον, μὴ δύνασθαι τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἐξελέσθαι ἐκεῖνον, ὃν ἑαυτῷ πατέρα πεποίηκε;

ι. Si ab hostibus. ¶ Τὸν ἐμὸν πατέρα συνέβη αἰχμάλωτον ὑπὸ τῶν πολεμίων ληφθῆναι, καὶ γέγονε δηλονότι δοῦλος τῶν πολεμίων. ζητοῦμεν εἰ ἄρα ἐγὼ ὁ τοῦ ληφθέντος παῖς,

sui iuris fiunt.

¶ Filiusfamilias armatæ militiæ nomen dedit, aut senator vel consul factus est, nihilominus in potestate patris remanet. Neque enim militiæ aut consulatus dignitas de potestate parentum liberos liberant. Quòd si patricius filiusfamilias factus est, tunc ex constitutione Imperatoris nostri, simul atq; codicillos patriciatus accepit, de patria potestate liberatur. Quis enim ferat, patrem per emancipationem nexus patriæ potestatis posse soluere: Imperatoriam verò celsitudinem, eum quem sibi patrem delegit, ab aliena potestate eximere non valere?

¶ Contigit, vt pater meus in hostium potestatem veniret, & seruus illorum nempe factus est. Quæritur, an ego filius eius, mei iuris sim, an verò in

in potestate ipsius? Et quidem ego me patremfamiliâs esse non possum dicere: propter spem postliminii. Est autem postliminiũ ius quoddã, quod his qui ab hostibus redeunt, pristinam omnem cõdicionem restituit. Cur autem dictum sit postliminiũ infrà dicemus. Idcirco reuersus pater etiam liberos in potestatem suam recipiet, quoniam postliminium eũ fingit, semper in ciuitate mansisse, nec ab ea vnquam exiisse. Neque rursum me medio tempore dicere possum esse filiumfamiliâs. Nam quomodo ego qui ciuis sum Romanus in potestate eius ero, qui hostium seruus est? Necesse est igitur, vt interim ius patriæ potestatis in suspenso sit. Et siquidẽ reuersus fuerit pater, in potestate eius ero: Sin illic mortuus fuerit, mei iuris fiam. Sed quẽadmodũ in confessum venit, illo apud hostes mortuo, me

αὐτεξούσιος εἰμὶ ἢ ὑπεξούσιος; καὶ τέως αὐτεξούσιον ἐμαυτὸν εἰπεῖν οὐ δύναμαι διὰ τὴν ἐλπίδα τοῦ ποστλιμινίου. ποστλιμίνιον δέ ἐστι δίκαιόν τι τοῖς ἀπὸ πολεμίων ὑποστρέψασιν ἀποκαθιστῶν πᾶσαν τὴν ἀρχαίαν κατάστασιν. διὰ τί δὲ λέγεται ποστλιμίνιον προϊόντες ἐροῦμεν. ὑποστρέψας ὁ πατὴρ, ἀναλήψεται τοὺς παῖδας ὑπὸ τὸ οἰκεῖον ἐν ποτεστάτε. τὸ γὰρ ποστλιμίνιον οὕτως αὐτὸν πλάττει, ὡς ἀεὶ ἐν τῇ πολιτείᾳ μεμενηκότα, καὶ μηδέποτε ταύτης ἐξεληλυθότα. οὐ δύναμαι δὲ οὔτε λέγειν ἐν τῷ μεταξὺ ἐμαυτὸν ὑπεξούσιον· πῶς γὰρ ἐγὼ ὁ Ῥωμαῖος ἔσομαι ὑπεξούσιος δούλου τῶν πολεμίων. ὥστε οὖν ἐν τῷ μεταξὺ ἐν ἠρτημένῳ ἔσται τὰ τῆς ὑπεξουσιότητος. καὶ εἰ μὲν ὑποστρέψῃ ὁ πατὴρ, ἔσομαι αὐτοῦ ὑπεξούσιος. εἰ δὲ ἐκεῖ τελευτήσει, γενήσομαι αὐτεξούσιος. καὶ ὅτι μὲν γίνομαι αὐτεξούσιος τελευτήσαν-

τος τοῦ παρὰ τοῖς πολεμίοις, συνωμολόγηται. ἀλλὰ ζητοῦμεν ἐκ ποίου χρόνου δοκῶ τὸ ὑπεξουσιότητος ἀπαλλάττεσθαι. πότερον ἐξ οὗ ἐλήφθη ἢ ἐξ οὗ ἐτελεύτησε παρὰ τοῖς πολεμίοις. ἔστι γὰρ ὅλως τίς διαφορά, καὶ πάνυ. ὑπόθου γὰρ ἔχειν τινὰ δύο παῖδας, καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναί τε ὑπὸ τῶν πολεμίων. τούτων δέ, ὁ μὲν ἦν σπουδαῖος, καὶ λαβὼν νομίσματα χίλια ἐκ τῆς τοῦ πατρὸς περιουσίας, ἐξ οἰκείων καμάτων, ἠδυνήθη χίλια νομίσματα ἐμπορευσάμενος κερδᾶναι. ὁ δὲ ἕτερος ῥᾴθυμος ὤν, οὐδὲν προσεκτήσατο. μετὰ χρόνον τινὰ ἀπηγγέλθη, ὅτι παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν ὁ πατὴρ αὐτῶν. ἤθελον τοίνυν μερίσασθαι τὸν πατρῷον κλῆρον. καὶ ὁ μὲν ῥᾴθυμος ἔλεγεν, νῦν ὅτε τῇ ἀληθείᾳ ὁ πατὴρ ἐτελεύτησε, γεγόναμεν αὐτεξούσιοι. οὐκοῦν ὅσα ἐκτήσω σὺ ὁ σπουδαῖος τοῦ πατρός ἐστι, καὶ δεῖ ἡμᾶς τὰ τρισχίλια μερίσασθαι τουτέστι λαβεῖν

mei iuris fieri, ita quærẽdũ est, ex quo tẽpore de potestate eius exisse videatur: ex eóne tẽpore, quo ab hostibus captus est, an vero ex eo quo apud hostes decessit. Interest enim inter vtrũq; & qdẽ plurimũ. Finge enim quẽpiam binos habere liberos, & duo aureum millia in bonis: captũq; eũ esse ab hostib⁹ quorum liberorũ alter diligẽs fuerit, & acceptis de bonis paternis, mille aureis, ex negotiationib⁹ suo labore alios mille aureos lucrifecerit: alter cũ socors ac neglegẽs esset, nihil omnino lucratus fuerit. Post tẽpus aliqđ núntio allatũ est, patrem eorũ apud hostes extinctum esse. Cõparauerũt igitur se, vt paternã hereditatẽ diuiderẽt. Et neglegẽs quidẽ ille hic dicebat: núc demum sese cum verè pater mortuus esset, sui iuris factos esse. Quidqd ergo tu diligẽs quæstus fecisti, id patris est. Et necesse est tria aureum millia

millia in diuisionē venire, hoc est, vt vterq; millenos quīgētenos accipiat. At alter ille diligēs cōtrà aiebat: Ex eo tēpore, quo captus esset pater, sui iuris se fuisse. Videtur enim is, qui nō rediit, illo tēpore extinctus esse. Vt igitur paterfam. quæcumq; lucratus sum: ea mihi nō alii adquisiui. Et hanc sententiā magis sequimur. Sed & si filius meus nepósue ab hostibus captus fuerit, æquè dicimus ius patriæ potestatis in eū, in suspenso esse. Neq; enim me dico eū in potestate non habere, propter ius postliminii: quippe qui redire posit. Porrò quomodo is q semel de potestate mea exiit, iterū ei, nulla re interueniēte subiicietur? Quoniam postliminium non solum mihi reddit potestatem, quam ego in alios habebam: sed etiam eam, quam alii in me habebant, mihi conseruat. Neque rursus saluam mihi esse dico po-

ἀνὰ χίλια πεντακόσια. ὁ δὲ σπουδαῖος ἔλεγεν, ἐξ ἐκείνου ἐξ οὗ συνέβη ληφθῆναι τὸν πατέρα, γεγενῆσθαι ἡμᾶς αὐτεξουσίους. δοκεῖ γὰρ, ὁ μὴ ὑποστρέψας, κατ' ἐκεῖνον τεθνάναι τὸν καιρόν. οὐκοῦν ὡς αὐτεξούσιος, ὅσα ἂν ἐκτησάμην, ἐμαυτῷ καὶ οὐχ ἑτέρῳ προσεπόρισα. καὶ ταύτῃ μᾶλλον πειθόμεθα τῇ γνώμῃ. εἰ δὲ καὶ ὁ ἐμὸς υἱὸς, ἤγουν ὁ ἔγγονος ὑπὸ τῶν πολεμίων ληφθῇ, ὁμοίως λέγομεν ἠρτῆσθαι κατ' αὐτοῦ τὸ δίκαιον τῆς ὑπεξουσιότητος. οὔτε γὰρ λέγω ἐμαυτὸν μὴ ἔχειν ὑπεξούσιον τὸν παῖδα διὰ τὸ δίκαιον τοῦ ποστλιμινίου. εἰκὸς γὰρ ὑποστρέψαι αὐτόν. πῶς δὲ ὁ ἅπαξ ἐξελθὼν τῆς ἐμῆς ὑπεξουσιότητος, ἀμέσως ὑποβάλλεται ταύτῃ, τὸ γὰρ ποστλιμίνιον, οὐ μόνον ἀποδίδωσί μοι, ἣν εἶχον κατ' ἑτέρων ὑπεξουσιότητα, ἀλλὰ καὶ ἣν ἕτεροι εἶχον κατ' ἐμοῦ ὑπεξουσιότητα ἀποσώζει μοι. οὔτε λέγω σώζεσθαί μοι παρὰ τὴν ὑπ-

ἐξουσιότητος τοῦ κατὰ τοῦ παιδός. πῶς γὰρ δύναμαι ὑπεξούσιον ἔχειν τὸν δοῦλον τῶν πολεμίων; ὥστε οὖν ἐν ἠρτημένῳ ἔσται τὰ τῆς ὑπεξουσιότητος. εἴρηται δὲ ποστλιμίνιον à limine & post, τουτέστιν ἀπὸ τοῦ οὐδοῦ, καὶ τὰ μετὰ ταῦτα. τὸν γὰρ ὑπὸ τῶν πολεμίων ληφθέντα, εἰς δὲ τοὺς ὅρους τοὺς Ῥωμαϊκοὺς μετὰ ταῦτα παραγινόμενον, καλῶς λέγομεν ὑποστρέφειν διὰ τοῦ ποστλιμινίου. καὶ γὰρ οἱ οὐδοὶ ὥσπερ ἐν ταῖς οἰκίαις, τέλος εἰσὶν αὐτῶν τῶν οἴκων, οὕτω καὶ τοῦ Ῥωμαϊκοῦ κράτους, οὐδὸν ἤτοι ὅρον οἱ παλαιοὶ ἠβουλήθησαν. ἐντεῦθεν καὶ limes ἐλέχθη ὡσανεὶ τέλος τι καὶ ὅρος. ἐντεῦθεν καὶ ποστλιμίνιον ὠνομάσθη, ἐπειδὴ διὰ τοῦ αὐτοῦ οὐδοῦ ὑποστρέφει δι' οὗ καὶ ἀπώλετο ληφθεὶς ἐπὶ τῶν πολεμίων. οὐ μόνον δὲ ὁ διαφυγὼν τοὺς πολεμίους ἢ ὑπ' αὐτῶν ἀφεθεὶς ἔχει τὸ ποστλιμίνιον, ἀλλὰ γὰρ καὶ ὁ νικηθέντων τῶν πολεμίων ὑφ' ἡμῶν ἀναληφ-

testatem in filium meum. Quomodo enim eum qui hostium seruus est, in potestate habere possum? In suspenso igitur erit ius patriæ potestatis. Dictum est autem postliminium à limine & post. Vnde eum, qui ab hostibus captus est, & in fines Romanos postea peruenit, recte dicimus postliminio reuersum esse. Nam sicut limina in domo quendam finem faciunt, sic & imperii Romani finem veteres esse limen voluerunt. Atque hinc & limes dictus est, quasi finis quidam & terminus. Ab eo igitur postliminium vocatum est, quia eodem limine reuertitur, quo & amissus erat is, qui ab hostibus captus fuerat. Nec verò is tantùm, qui vel ab hostibus fugit, vel ab his dimissus est, ius postliminii habet, sed etiam is, qui victis hostibus à nobis receptus est.

¶Patria

¶Patria quoq; potestas per emancipationē soluitur. Et quid est emancipatio? Actus tres emācipationes, & tres manumissiones, vel vnā emancipationē & vnam manumissionem cōplectens. In hunc autem olim fiebat modū emancipatio. Quinq; aderant testes & libripens, statêrā & nummum æreum ferēs, & medius aliquis. Deinde medius ille his præsentibus filiū de patre emebat, dabatq; quasi in similitudinem pretii, vnum illum nummum, & ita filius in potestatē medii illius transibat, loco serui futurus: & eū medius ille vindicta manumittebat. Sed is tacita quadam ratione in patris potestatem recurrebat. Iam iterum igitur eum pater vendebat, idq; eundem in modum: & emptor eum rursus vindicta manumittebat. Atq; iterum tamen tacito iure in patris potestatem reuertebatur. Tertium ergò

θείς. ¶ Διαλύει τὸ ἰν ποτεστάτε, καὶ ἡ ἐμαγκιπατίων. καὶ τί ἐστιν ἐμαγκιπατίων; πρᾶξις τριῶν ἐμαγκιπατιόνων, καὶ τριῶν ἐλευθεριῶν, ἢ μιᾶς ἐμαγκιπατίονος, καὶ μιᾶς ἐλευθερίας περιεκτική. ἐγίνετο δὲ τὸ παλαιὸν ἡ ἐμαγκιπατίων οὕτω. πέντε παρεγίνοντο μάρτυρες, καὶ ζυγοστάτης, ἐπιφερόμενος ζυγὸν καὶ χαλκοῦν νοῦμμον, καὶ μέσος τις. εἶτα παρόντων αὐτῶν ὁ μέσος ἠγόρασε τὸν παῖδα παρὰ τοῦ πατρὸς, διδοὺς αὐτῷ λόγῳ τιμήματος εἰκονικοῦ τὸν ἕνα νοῦμμον, καὶ οὕτως ὑπεξούσιος ἐγίνετο ὁ παῖς τοῦ μέσου, ὡς ἐν τάξει δούλου. ὁ μέσος ἠλευθέρου βινδίκτα. κἀκεῖνος σιωπηρῷ τινὶ λόγῳ ἀνέτρεχεν εἰς τὸ τοῦ πατρὸς ἰν ποτεστάτε. ἐπίπρασκεν αὐτὸν τὸ δεύτερον κατὰ τὸν αὐτὸν τρόπον, καὶ ὁ λαβὼν ἠλευθέρου αὐτὸν βινδίκτα, καὶ πάλιν ἀρρήτῳ λόγῳ ὑπέστρεφεν εἰς τὴν τοῦ πατρὸς ὑπεξουσιότητα. ἐπίπρα-

6. Præterea

σκεν αὐτὸν τῷ πατρί, καὶ οὕτω διελύετο τὸ ἴν ποτεστάτε. ἠλευθεροῦτο δὲ βινδίκτα, καὶ ἐγίνετο αὐτεξούσιος. ὥστε οὖν διαλύουσι τὸ ἴν ποτεστάτε, τρεῖς ἐμαγκιπατιόνες, καὶ τρεῖς ἐλευθερίαι. ἐμαγκιπατίων δὲ λέγεται ἡ πρᾶσις ἡ γινομένη τῷ εἰρημένῳ τρόπῳ. αὐτεξούσιον δὲ τὸν παῖδα ποιοῦσι, τρεῖς ἐμαγκιπατιόνες, καὶ τρεῖς ἐλευθερίαι. διὰ τοῦτο δὲ ἐπιπράσκετο ὁ παῖς ἵνα δόξῃ καταβιβάζεσθαι εἰς δουλείαν καὶ προσφόρως ἐπαχθῇ αὐτῷ ἡ ἐλευθερία. ὁ γὰρ ἐλεύθερος οὐκ ἠδύνατο ἐλευθεροῦσθαι. ἡ μέντοι θυγάτηρ, καὶ ἔγγονος, καὶ ἐγγόνη, καὶ τὰ λοιπὰ πρόσωπα, διὰ μιᾶς ἐμαγκιπατίονος, καὶ μιᾶς ἐλευθερίας, ἐγίνοντο αὐτεξούσιοι. ἐπράττετο δὲ ταῦτα, καὶ δίχα βασιλικῆς ἀντιγραφῆς. ἀλλὰ ταῦτα μὲν τὸ παλαιόν. μετὰ δὲ ταῦτα, γέγονε διάταξις τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως. ἥτις ἐπὶ τὸ βέλτιον ἤγαγε ταῦτα, ὥστε τοῦ

vendebatur, & ita soluebatur patria potestas. Vindictáque manumittebatur, & ita sui iuris fiebat. Tres igitur emancipationes & tres manumissiones patriam potestatem soluunt. Emancipatio autem dicitur venditio in eum modum, qui dictus est facta. Filium sui iuris efficiunt tres emancipationes & tres manumissiones. Ideo autem vendebatur filius, vt in seruitutem redigi videretur, & ita commodè ei libertas daretur. Nam liber manumitti non poterat. Filia tamen, & nepos, neptisue & reliquę personę per vnam emancipationem & vnam manumissionem sui iuris fiebant. Agebantur autem hæc & sine Principis rescripto. Sed hæc quidem olim. Nam postea edita est Imperatoris nostri sanctissimi constitutio, qua hæc omnia in melius reformata sunt: vt veteri

figu

figura, & imaginariis venditionibus explosis: parentibus liceat competentes iudices vel magistratus adire, & filios, aut filias, vel nepotes aut neptes & ceteras deinceps personas à potestate sua liberare, simpliciter dicendo: HVNC EGO EMANCIPO, ET A MANV MEA DIMITTO. Et post huiusmodi emancipationem, si contingat eum eámue, quæúe emancipatus emancipatáue fuerit, sine liberis facto testamento decedere: eadem iura ex edicto Prætoris in bonis ipsius manumissori parenti præstantur, quæ & patrono dantur in bonis liberti, qui testamento condito sine liberis decessit. Ad hæc si impuberes sint hi, qui emancipati sunt, parens, qui eos emancipauit, tutor eorum erit.

παλαιοῦ σχήματος, καὶ τῶν εἰκονικῶν πράσεων παυσαμένους ἡμᾶς παρὰ τῷ Ἁρμοδίῳ δικαστῇ, ἤγουν τῷ ἄρχοντι, δύνασθαι τοὺς γονεῖς προσιέναι, καὶ τοὺς οἰκείους υἱοὺς, ἢ θυγατέρας, ἢ ἐγγόνους, ἢ ἐγγόνας, καὶ τοὺς ἐφεξῆς τῆς οἰκείας ἐλευθεροῦν ὑπεξουσιότητος, λέγοντας ἁπλούστερον, ΤΟΝ ΔΕ ΠΟΙΩ ΕΜΑΝΚΙΠΑΤΟΝ, ΚΑΙ ΤΗΣ ΕΜΑΥΤΟΥ ΑΦΙΗΜΙ ΧΕΙΡΟΣ. καὶ μετὰ τὴν τοιαύτην ἐμαγκιπατιόνα, ἐὰν συμβῇ τὸν γινόμενον, ἢ τὴν γινομένην, ἐμαγκιπάτον, ἢ ἐμαγκιπάταν τελευτῆσαι ἄπαιδα διαθέμενον, τὰ αὐτὰ παρασχεθήσεται ἐκ τοῦ ἐδίκτου τοῦ πραίτωρος, τῷ ἐλευθερώσαντι γονεῖ κατὰ τῶν τοῦ τελευτήσαντος ἄπαιδος πραγμάτων, ὅσα δίδοται τῷ πάτρωνι κατὰ τῆς οὐσίας τοῦ ἀπελευθέρου ἄπαιδος ἐπὶ διαθήκῃ τελευτήσαντος. εἰ δὲ καὶ συμβῇ τοὺς ἐμαγκιπατευθέντας ἀνήβους εἶναι, ὁ ἐλευθερ-

θεράσας ἐπιτροπεύσαντα τούτων, παρέπεται γὰρ τῇ δόσει τῆς ἐλευθερίας τὸ τῆς ἐπιτροπῆς βάρος.

8. Admonendi. ¶ Εἶχέ τις υἱὸν καὶ ἐκ τούτου ἔγγονον ἢ ἐγγόνην ὑπεξουσίαν. δύναται τὸν μὲν υἱὸν ποιεῖν ἐμανκιπάτον, τοὺς δὲ ἐγγόνους κρατεῖν ὑπεξουσίους. καὶ ἐκ τοῦ ἐναντίου τοὺς ἐγγόνους ποιεῖν ἐμαγκιπάτους. παρακρατεῖν δὲ ἰν ποτεστάτε τὸν υἱόν. εἰ δὲ προέγγονον ἔχει ἢ προεγγόνην, τὸ αὐτὸ φαμὲν, ὅτι ἔξεστι τὸν μὲν προέγγονον ποιεῖν ἐμανκιπάτον, τὸν δὲ υἱὸν καὶ ἐγγόνους παρακατέχειν, ἢ καὶ ἐκ τοῦ ἐναντίου, τὸν υἱὸν καὶ ἐγγόνους ποιεῖν ἐμαγκιπάτους, καὶ τὸν προέγγονον παρακατέχειν, ἢ καὶ πάντας ποιεῖν ἐμανκιπάτους.

παλακέντος τῷ ἐμῷ οἰκοδομήματι, ἵνα μὴ τοῦ δικαστοῦ καταδικάσαντός με εἰς αὐτὸ τὸ πρᾶγμα, ἀναγκασθῶ τὸν οἶκον καταλῦσαι, προφάσει τοῦ ποιῆσαι τῇ ἀποφάσει τὸ ἱκανόν. καὶ πολλῆς τῆς ἐξ αὐτοῦ προνοίας ἠξίωσεν ὁ δυωδεκάδελτος τὰς οἰκίας. εἰ δὲ συμβῇ ἔκ τινος αἰτίας τὸ εἰρημένον οἴκημα καταπεσεῖν, ὁ τῆς ὕλης δεσπότης, εἰ μήπω διὰ τῆς de tigno iniuncto ἀγωγῆς, τὸ διπλοῦν ἔτυχε κομισάμενος, δύναται κινεῖν ἀκωλύτως, καὶ in rem, καὶ ad exhibendum.

¶Προλαβόντες εἴπομεν ἐν οἰκείῳ ἐδάφει ἐξ ἀλλοτρίας ὕλης οἴκημά τινα κατασκευάσαντα, νῦν τὸ ἐναντίον θεματίζομεν· ἐν τῷ σῷ ἐδάφει ἐὰν ἐμῆς ὕλης οἶκον κατεσκεύασα, ὁ τοῦ ἐδάφους κύριος, καὶ τοῦ οἰκήματος ἔσται δεσπότης· διὰ τὸν κανόνα τὸν λέγοντα, εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις. ὥστε οὖν καὶ τῆς ὕλης ἀπόλωλα τὴν δεσποτείαν ἐγὼ θ. Ex diuerso.

γὼ διηνεκῶς. εἰδὼς γὰρ ἐν ἀλλοτρίῳ οἰκοδόμουν ἐδάφει. ἀμέλει, εἰ καὶ συμβῇ τὸν οἶκον καταπεσεῖν, οὐκ ἕξω ἐπὶ ταῖς ὕλαις τὴν in rem. ¶ Ἐκεῖνο δὲ τῶν ἀμάχων ἐστὶν, ὅτι εἰ συμβῇ ἐμὲ τὸν οἰκοδομήσαντα ἐν νομῇ εἶναι τῆς οἰκίας, ὁ δὲ τοῦ ἐδάφους δεσπότης χρώμενος τῷ κανόνι τῷ λέγοντι, εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, κινεῖ κατ' ἐμοῦ τὴν in rem, εἰ μὲν bonæ fidei ὑπῆρχον νομεὺς, (ἐνόμιζον γὰρ ἐμὸν εἶναι τὸ ἔδαφος) λήψομαι οὐ μόνον τῆς ὕλης τὴν διατίμησιν, ἀλλὰ καὶ τοὺς μισθοὺς τῶν τεχνιτῶν· καὶ μὴ βουλόμενον ταῦτα πράττειν, αὐτὸν ἐξωθῶ διὰ τῆς τοῦ δόλου παραγραφῆς, λέγων, ἀλλ' εἰ μὴ καλῇ πίστει ἔκτισα. εἰ δὲ mala fide ἐνεμόμην τὸν τόπον (ἠπιστάμην γὰρ αὐτὸν ἀλλότριον ὄντα) οὐδεμίαν ἕξω παραγραφὴν, ἀλλ' ἀναγκάζομαι τὸν τόπον ἀποδιδόναι μετὰ τῶν ἐπιτεθέντων. δύναται γὰρ ἕκαστος ἐγκαλεῖν μοι

¶. Certè illud.

riæ amisi, sciens enim prudensque in alieno solo ædificaui. Itaque profectò, etiamsi contingat vt ædificium diruatur, ad materiam vindicandam, in rem actionem non habebo. ¶Illud omnino extra controuersiam est, si me ædificatorem contingat esse in possessione domus, & soli dominus, vsus regula dictante, Superficiem subiecto solo cedere, mecũ velit in rẽ agere: siquidem bonæ fidei possessor fuerim, quia meum esse solum putarim, cõsecuturũ me nõ tantũ pretiũ materiæ, sed etiam mercedes fabrorum: actorique facere id nolenti, doli exceptione præscripturum, nisi bona fide ædificaui: sin verò mala fide possederim, quia non ignorauerim locum esse alienũ, nullam habebo exceptionẽ: sed cogar locũ restituere vnà cũ his q̃ inædificata sunt, quoniam illud mihi obiici potest, cur

cur temere in eo quod alienum esse sciebam, ædificauerim. ¶ Si Titius alienam arborem in suo fundo plantauerit, Titij erit arbor: sin verò is Titius arborem suam in fundo Mæuij plantauerit, Mæuij tantùm erit arbor: si modo vtraque in specie, quod plantatum est, radices egerit. Nam arbor antequam proprias radices egerit, & subiectam terram apprehenderit, prioris domini manet, sed simul atque radices egit dicta planta, conuertitur dominium eius, ad solum in quo sita est, dominum. Qua ex re talis orta est quæstio, Vicinus fundi mei, ad finem agri sui arborem habebat, prope terrulas meas: euênit vt paulatim huius arboris radices sub terra latiùs serperent, ac in fundũ meũ subirẽt, terrámq; meã apprehẽderẽt, & inde alerentur. Relata quæstione, placuit meã

τινὸς χώραν εἰδὼς, προπετῶς εἰς ἀλλότριον ᾠκοδόμουν ἔδαφος. ¶ Εἰ Τίτιος ἀλλότριον δένδρον ἐν τῷ οἰκείῳ ἐφύτευσεν ἀγρῷ, Τιτίου ἔσται τὸ δένδρον· εἰ δὲ καὶ Τίτιος οἰκεῖον δένδρον ἐν τῷ ἀγρῷ ἐφύτευσε Μαιβίου, Μαιβίου γενήσεται τὸ δένδρον μόνον, εἰ ἐν ἑκατέρᾳ θέματι, τὰς οἰκείας τὸ φυτευθὲν ῥίζας ἐξέτεινε. πρὶν γὰρ τὰς οἰκείας ἐκτείνῃ ῥίζας, καὶ τῆς ὑποκειμένης δράξηται γῆς, τοῦ πάλαι δεσπότου ἐστὶ τὸ δένδρον· μεθ' ὁ μέντοι ῥιζωθῇ τὸ εἰρημένον φυτὸν, μετατίθεται αὐτοῦ ἡ δεσποτεία ἐπὶ τὸν κύριον τοῦ ἐδάφους ἐν ᾧ ἵσταται. ἀμέλει ἐντεῦθεν ἐζητήθη τι τοιοῦτον· ὁ ἐμὸς ἀγρογείτων ἐν τέλει τοῦ οἰκείου ἀγροῦ, πλησίον τῶν ἐμῶν γηδίων, δένδρον εἶχε· συνέβη τοῦ τοιούτου δένδρου κατὰ μικρὸν ἑρπύσας ὑπὸ γῆν τὰς ῥίζας, ἐφικέσθαι τοῦ ἐμοῦ ἀγροῦ, καὶ τῆς ἐμῆς δράξασθαι γῆς, κἀκεῖθεν τρέφεσθαι. ζητήσεως γενομένης, ἤρεσεν ἐμὸν θ. Si Titius.

γίνεται τὸ δένδρον· οὐδὲ γὰρ φυσικὸς ἐπιτρέπει λογισμὸς ἑτέρου τὸ δένδρον εἶναι, εἰ μὴ ἐκείνου οὗ ἐν τῇ γῇ τὰς ῥίζας ἔχει. ὅθεν εἰ ἐν τοῖς ὅροις τῶν δύο ἀγρῶν ἀναφυεῖ δένδρον, ἐκταθεῖσαι δὲ αἱ τούτου ῥίζαι ἑκάτερον κατέλαβον ἀγρόν, κοινὸν γίνεται τὸ δένδρον.

¶. Qua ratione. ¶ Ὥσπερ γὰρ τὰ φυτὰ τὰ ἐν τῇ γῇ τρεφόμενα καὶ αὐξανόμενα, ἐκείνου γίνεται τοῦ δεσπότου τῆς ὑποκειμένης γῆς, τῷ αὐτῷ λόγῳ καὶ τὰ σπειρόμενα, οἷον σῖτος, κριθὴ, καὶ ὅσα τοιαῦτα ὑπείκει τῷ ἐδάφει. ἀλλ᾽ ὥσπερ ὁ βοναφιδεικτίζας ἐν ἀλλοτρίῳ τόπῳ, ἐναγόμενος τῇ in rem, διὰ τῆς τοῦ δόλου παραγραφῆς ἑαυτῷ ποιεῖ τὸ ἀζήμιον, ὁμοίως καὶ σπείρας τοῖς οἰκείοις δαπανήμασι τὸν ἀλλότριον ἀγρὸν, εἰ βοναφίδει τοῦτο πεποίηκεν, διὰ τῆς τοῦ δόλου παραγραφῆς ἕξει τὸ ἀσφαλές.

¶. Litteræ. ¶ Ἐμὰς τις λαβὼν χάρτας, ἢ ἐμὰς μεμβράνας, ἐνέγραψέ τι ἐν αὐτοῖς, καὶ βι-

arborem fieri: neque enim patitur naturalis ratio vt alterius sit arbor, quàm eius in cuius fundum radices egerit. Vnde si in confinijs duorum fundorum nascatur arbor, cuius radices vtrunque in fundum porrigantur, communis hæc arbor fiet. ¶ Porro quemadmodum plantæ quæ in terra alũtur crescũntque, eius fiunt qui & subiectæ terræ dominus est, eadem ratione & quæ seruntur, vt frumentum, hordeum, quæque alia his similia, solo cedunt. Sed & quemadmodum bonæ fidei ædificator in alieno solo, actione in rem petitus, indemnem se conseruat per exceptionem doli: ita per eandem doli exceptionẽ tutus erit qui sua impensa fundũ alienũ conseuit, dũ bona fide id fecerit. ¶ Chartas meas aut membranas aliquis abstulit, & aliqua in his scripsit, libellúmq;

lúmque composuit: & hic ad similitudinem soli superficies subiecto cedit: etiam si maximè aureæ sint quæ inscriptæ sunt litteræ: etenim dominus ego libelli fio. Neq; interest, carmen sit, an historia, aut oratio rhetorica, quod inscriptum est. Vnde futurum est vt si in rem agens aduersus eum qui libellum fecit, refundere impendia scripturæ paratus non sim, doli exceptione submouear, dum bonæ fidei possessor fuerit qui scripsit. ¶ Aliquis aliena accepta tabula, pinxit in ea, imaginemque effinxit. Quæsitum est vtrius hæc imago sit? Et existimant quidam pictorem tabulæ dominum fieri, & tabulam picturæ cedere. Alij contrà, eum qui tabulæ fuerit dominus, & picturæ dominum fieri dicunt, qualiscunque tandē ea sit pictura. Imperatori verò nostro

βλίον κατεσκεύασε. κἀνταῦθα κατὰ μίμησιν τοῦ ἐδάφους, εἴκει τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, εἰ καὶ τὰ μάλιστα χρυσᾶ ἐστι τὰ ἐπιτεθέντα γράμματα, κἀγὼ γίνομαι τοῦ βιβλίου δεσπότης. ἀδιάφορον δέ ἐστιν εἴτε ἔμμετρον ἔπος, εἴτε ἱστορικὸν, εἴτε ῥητορικὸν ἐνέγραψε λόγον. ὅθεν κινῶν ἐγὼ τὴν in rem κατὰ τοῦ τὸ βιβλίον ποιήσαντος, καὶ τὰ δαπανήματα τῆς γραφῆς μὴ καταβαλὼν ἑτοίμως, ἐκβληθήσομαι διὰ τῆς τοῦ δόλου παραγραφῆς, ἐν ᾧ βονεφίδει νομεὺς ἦν ὁ ταῦτα γράψας. ¶ Λαβών τις ἀλλοτρίαν σανίδα, ἐζωγράφησε, καὶ εἰκόνα κατεσκεύασε. τίνος ἐστὶν ἡ εἰκὼν ἐζητήθη. καὶ οἱ μὲν λέγουσι τὸν ζωγράφον γίνεσθαι δεσπότην τῆς σανίδος, καὶ τὴν σανίδα εἴκειν τῇ γραφῇ. ἕτεροι δὲ τὸν τῆς σανίδος δεσπότην, καὶ τῆς γραφῆς κύριον γίνεσθαί φασι, ὁποιαδήποτε εἴη γραφή. ὁ δὲ ἡμέτερος βασιλεὺς

θ. Si quis in aliena.

τὴν προτέραν μᾶλλον ἐδέξατο γνώμην καὶ τὸν ζωγραφήσαντα, τῆς εἰκόνος βούλεται γενέσθαι δεσπότην. καταγέλαστον γὰρ ἐνόμισεν εἶναι, τὴν Ἀπελλοῦ ζωγραφίαν (ζωγράφος δὲ οὗτος, τῶν παρ' Ἕλλησιν ἀριστευσάντων) ἢ Παρρασίου (εὐδοκίμησε δὲ οὗτος παρὰ Ῥωμαίοις) ὑπείκειν τῇ εὐτελεστάτῃ σανίδι. ὅθεν εἰ ὁ τῆς σανίδος δεσπότης ἐν κατοχῇ γέγονε τῆς εἰκόνος, ὁ δὲ ζωγραφήσας ἔλθοι κινῶν κατ' αὐτοῦ τὴν in rem, μὴ καταβαλὼν τὸ τῆς σανίδος τίμημα, ἀπὸ τῆς δόλου παραγραφῆς ἐκβληθήσεται. εἰ δὲ ὁ ζωγραφήσας νέμεται τὴν εἰκόνα, τότε ὁ τῆς σανίδος δεσπότης, διρέκταν μὲν ἔχειν in rem οὐ δύναται (ἐξέπεσε γὰρ τῆς δεσποτείας τῆς γραφῆς ἐπιτεθείσης) δίδοται δὲ αὐτῷ vtilis in rem, ἵνα κινῶν οὕτω λέγῃ ὡσανεὶ ὑπῆρχεν δεσπότης. τῇ δὲ εἰρημένῃ vtili in rem χρώμενος, εἰ μὴ παράσχῃ τὰ περὶ τὴν ζω

prior sententia magis placuit: & eum qui pinxerit, imaginis dominũ vult fieri. Ridiculum enim putabat esse, picturam Apellis (fuit is pictor apud Græcos præstantissimus) aut Parrhasij (magnum hic apud Romanos nomen habuit) vilissimæ tabulæ cedere. Vnde si tabulæ dominus in possessione imaginis sit, pictor qui actione in rem proposita, pretium tabulæ non vult reddere, doli exceptione submouebitur. Quòd si is qui depinxit, imaginem possideat, tunc dominus tabulæ, directam quidem in rem actionem habere non potest: nam per impositionem picturæ, dominio tabulæ excidit: sed datur ei vtilis in rem, qua se in agendo, tanquam dominum, experiri dicat. Sed & si vtili in rem agens, sumptus in

p.ã

pingendo factos, ei qui bona fide pinxit, nolit restituere, doli exceptione expellitur. Procedit autem hic tractatus eousque dum de Dominio imaginis quæretur. Nam illud in confessum venit, siue is qui pinxit, siue alius quispiam, tabulam furto abstulerit, furti actionem aduersus furem dari domino. ¶ Quum Dominum esse te putarê, alienum de te fundum emi, aut dono accepi, vel ex alia iusta causa, bona fide tamen, veluti ex permutatione. Ratio naturalis dominum esse me vult perceptorum fructuú, propter eu'turá curámq; quam in his adhibui. Quapropter, si postea superueniens fundi dominus, fundum per in rem actionem vindicet, nullum aduersum me habebit actionem de fructibus illinc perceptis, & à me consumptis. Quod si sciens alienum

γραφίαν γινόμενα δαπανή-
ματι τῷ βοναφίδε ζωγρα-
φήσαντι, ἐξωθεῖται διὰ τῆς τοῦ
δόλου παραγραφῆς. καὶ ταῦ-
τα μὲν τετραχήλισται, ὅσον ἐπὶ
τῇ δεσποτείᾳ τῆς εἰκόνος. ἐκεῖ-
νο γὰρ τῶν ὁμολογημένων ἐστὶν,
ὅτι εἴτε ὁ ζωγραφήσας ἔκλε-
ψε τὴν σανίδα, εἴτε ἕτερός
τις, δίδοται τῷ δεσπότῃ ἡ φοῦρ
τι κατὰ τοῦ κλέπτου. ¶ Τὸ νομίσ- 8. Si quis à nō domino
σας εἶναι δεσπότην, ἀλλότρι-
ον ἠγόρασα παρὰ σοῦ ἀγρὸν,
ἢ κατὰ δωρεὰν ἔλαβον, ἢ ἐξ ἀλ-
λης αἰτίας εὐλόγου, βοναφί-
δε μέντοι, οἷον ἀπὸ περμου-
τατζίονος. ὁ φυσικὸς λόγος
βούλεται δεσπότην γίνεσθαί με
τῶν ληφθέντων καρπῶν, διὰ
τὴν ἐπιμέλειαν καὶ τὴν φροντί-
δα ἣν ἐν αὐτοῖς ἐποιησά-
μην. διὸ μετὰ ταῦτα παραγε-
νόμενος ὁ τοῦ ἀγροῦ δεσπότης,
καὶ διὰ τῆς in rem ἐνδικῶν
τὸν ἀγρὸν, οὐδεμίαν ἀγωγὴν
ἕξει κατ᾽ ἐμοῦ περὶ τῶν καρπῶν,
οὓς ἐντεῦθεν λαμβάνων ἐδα-
πάνησα. εἰ δὲ εἰδὼς ἀλλότριον

ἐνεμήθην ἀγρὸν, οὐ τρύξομαι αὐτῶν. ἀμέλει τοι τὸν ἀγρὸν ἀποκαταστῆσαι ἀναγκάζομαι μετὰ τῶν ἐντεῦθεν ληφθέντων καρπῶν, εἰ καὶ τούτους ἔτυχον ἀναλώσας. ¶ Τοῦ αὐτοῦ ἀγροῦ ἐγὼ μὲν εἶχον τὴν προπριεταρίαν, σὺ δὲ τὸν οὐσούφρουκτον. οὐχ ἑτέρως σὺ οὐσουφρουκτουάριος τῶν καρπῶν γίνῃ δεσπότης, εἰ μὴ τούτους λάβῃς ἀπὸ τῆς γῆς. διὸ, εἰ πεπείρων ὄντων τῶν καρπῶν, καὶ τῇ γῇ συνημμένων, συμβῇ σε τελευτῆσαι, οὐ λήψεται τούτους ὁ σὸς κληρονόμος, ἀλλὰ τῷ προπριεταρίῳ διοίσουσι. τὰ αὐτὰ σχεδόν ἐστι καὶ ἐπὶ τοῦ κολώνου, τουτέστι τοῦ μισθωσαμένου. ἐὰν γὰρ μισθώσω σοι ἀγρὸν, οὐ πρότερον γίνῃ δεσπότης τῶν ἐντεῦθεν λαμβανομένων καρπῶν, εἰ μὴ τούτους ἐξέλῃς τῆς γῆς. τὸ fe e δὲ ἤτοι σχεδὸν παρέλκεται. ¶ Ἐπειδὴ δὲ περὶ οὐσουφρούκτου διελέχθην ἀγροῦ, ὀφείλεις εἰδέναι ὅτι οὐσούφρουκτος θρεμμάτων ἐστὶν ἡ ἐξ αὐτῶν γονή, ὥσπερ

*b.* Is verò ad quem.

*c.* In pecudum.

fundum possedi, fructus non lucrabor, sed vna cum inde perceptis fructibus restituere fundum cogor, etiam si forte consumpti sint. ¶ Eiusdem fundi ego proprietatem habeo, tu vsumfructum. Non aliter tu vsufructuarius fructuum dominus fies, quam si eos a terra perceperis. Quapropter si maturis iam fructibus, & terræ adhuc adhærentibus, mori te contingat, non capiet eos hæres tuus, sed proprietario acquiretur. Eadé ferè & de colono dicuntur, hoc est, de eo qui mercede conducit. Nam si tibi fundum mercede locauerim, non ante fructuum, qui inde percipiuntur dominus fies, quam eos à terra se, araueris. Quod autem dictum est, Ferè, parelcon est, & explendæ orationis gratia additum. ¶ Quoniã verò nonnihil de vsufructu fundi disserui, scire debes, in pecudum vsufructu esse fœtum ipsarũ,

vt

vt & lac, & pilos & lanam. Quocirca & agni, hœdi, vitulique, & equuli, simulatque editi sunt, naturali iure vsufructuarij sunt. Ancillarum autem partus non sunt in fructu. Vnde si tibi ego ancillæ meæ vsum fructum concedam, tu quidem pro fructu ministerium eius habebis, & manus operam: quod verò natum ex ea fuerit, proprietario acquiritur. Absurdum enim visum est, hominem connumerari inter fructus, quum hominum causa fructus omnes rerum natura comparauerit. ¶Quòd si quis gregis habeat vsumfructum, in locum demortuorum capitum, ex fœtu vsufructuarius summittere, & numerum implere debet. Sic enim id Iuliano videtur. Verbi gratia, concessi tibi vsumfructum gregis

καὶ τὸ γάλα, καὶ αἱ τρίχες, καὶ τὸ ἔριον. τοιγαροῦν οἱ ἀρνοὶ, καὶ οἱ ἔριφοι, καὶ οἱ μόσχοι, καὶ οἱ μικροὶ ἵπποι, ἅμα τῷ τεχθῆναι, φυσικῷ λόγῳ τῆς δεσποτείας γίνονται τοῦ οὐσουφρουκτουαρίου. οἱ δὲ τοκετοὶ τῆς θεραπαίνης οὐκ εἰσὶν ἐν καρπῷ. ὅθεν εἰ παραχωρήσω σοι ἐγὼ τῆς ἐμῆς θεραπαίνης τὸν οὐσουφρούκτον, σὺ μὲν ἕξεις ἐν καρπῷ τὴν ὑπηρεσίαν αὐτῆς, καὶ τὴν ἀπὸ χειρῶν ἐργασίαν· τὸ δὲ τεχθὲν, τῆς τοῦ προπριεταρίου γίνεται δεσποτείας. ἀνόητον γὰρ ἐνομίσθη, ἄνθρωπον συναριθμεῖσθαι τοῖς καρποῖς, ὁπότε πάντας τοὺς καρποὺς ἡ τῶν πραγμάτων φύσις χάριν ἐπενόησε τῶν ἀνθρώπων. ¶Εἰ δὲ ἀγέλης ἔχει τις οὐσουφρούκτον, εἰς τάξιν τῶν τελευτησασῶν κεφαλῶν, ἐκ τῆς γονῆς ὁ οὐσουφρουκτουάριος ὑποβάλλειν, καὶ τὸν ἀριθμὸν ἀναπληροῦν ὀφείλει. τοῦτο γὰρ καὶ Ἰουλιανῷ δοκεῖ. οἷον παρεχώρησά σοι οὐσούφρουκτον ἀγέλης

6. Sed si gregis.

προβάτων ἔκγονον, συνέβη τελευτῆσαι τριάκοντα πρόβατα, τεχθῆναι δὲ πεντήκοντα, δεῖ σε τὰ τριάκοντα συναναμίξαι τοῖς πρώτοις, ὥστε σώζεσθαι τὸν δεδομένον σοι ἀριθμὸν, καὶ οὕτω τὰ λοιπὰ εἴκοσι πρόβατα ἕξεις ἐν δεσποτείᾳ. εἰ δὲ ἀμπελῶνος, ἤγουν καὶ ἀγροῦ, ὑσούφρουκτον σοι παρεχώρησα, εἰς τάξιν τῶν τελευτησασῶν (ἤτοι γεγηρακυιῶν) ἀμπέλων, καὶ εἰς τάξιν τῶν καμόντων, ἤτοι καταπεσόντων δένδρων, ἕτερα ὀφείλεις ἀντικαταστῆσαι. δεῖ γάρ σε ὀρθῶς καὶ κατὰ τρόπον ἀγαθὸν ἐπιμελεῖσθαι τοῦ ἀγροῦ οὗ παρεχωρήθη σοι ὁ ὑσούφρουκτος, καὶ οὕτω διαγίνεσθαι ὡς ἂν διεγίνετο κάλλιστος οἰκοδεσπότης.

6. Thesaurus.

¶ Εὗρε τις θησαυρὸν ἐν τῷ ἰδίῳ ἀγρῷ· ὁ θειότατος Ἀδριανὸς τὸ φύσει φυλάξας δίκαιον, τῷ εὑρόντι παρεχώρησε τὸν θησαυρὸν· τὸ αὐτὸ κελεύσας ἐάν τις ἐν σάκρῳ ἢ ρελιγιόσῳ τόπῳ ἐκ τύχης εὕρῃ. εἰ δέ τις ἐν ἀλ

cẽtum ouium, eueniteque vt triginta oues morerentur,& quinquaginta nascerentur: triginta ex his, prioribus debes addere, vt datum tibi numerum conserues, & ita reliquas viginti, tuas facies. Sin verò vineæ tibi, aut etiam fundi vsumfructum concessi, in locum demortuarum, vel senio confectarum vitium, & in locum laborantium vel deiectarum arborum, alias substituere debes. Oportet enim te rectè, & vt virum integrum decet, fundum colere, cuius tibi vsusfructus concessus est, & ita versari, vt optimus paterfamilias versaretur.

¶ Quidam thesaurum in fundo suo reperit, diuus Hadrianus naturalius secutus, repertori thesaurum concessit, idemq; statuit, siquis in sacro aut religioso loco fortuito casu repererit. Quòd siquis in ali-

eno

ero fundo non data ad hoc opera, sed fortuitò thesaurum repererit, dimidium eius domino soli concessit Hadrianus. Per consequens igitur, si quis in Cæsaris loco thesaurū repererit, dimidium thesauri Cæsari præstabit, dimidium sibi repertor retinebit. Sed & si quis publico in loco, aut fiscali repererit, eodem modo repertor dimidium lucrabitur, & dimidium fiscus aut ciuitas accipiet. ¶Est & naturalis adquirendi modus per traditionē. Et qd est traditio? Est de manu in manum translatio, naturalem quendam minimeque multæ solemnitatis actū, & qui facilè absolui possit, continens. Neque enim aliud tam naturæ conuenit quàm domini voluntatem in alterum rem suam transferentis, ratam haberi. Vt autem traditione dominium transferatur, hæc necesse est vt concurrant: nam & cum qui

λοτρίῳ ἀγρῷ, οὐκ ἐξεπίτηδες, ἀλλὰ τυχηρῶς εὗρε θησαυρὸν, τὸ ἥμισυ τῷ δεσπότῃ τοῦ ἐδάφους συνεχώρησεν Ἀδριανός. οὐκοῦν ἀκολούθως ἐάν τις ἐν βασιλικῷ τόπῳ εὕρῃ θησαυρὸν, τὸ μὲν ἥμισυ τοῦ θησαυροῦ παρέξει τῷ βασιλεῖ, τὸ δὲ ἥμισυ, ὁ εὑρὼν παρακαθέξει. εἰ δὲ καί τις ἐν πολιτικῷ τόπῳ, ἢ φισκαλίῳ εὕρῃ, ὡσαύτως τὸ μὲν ἥμισυ ὁ εὑρὼν ἀποκερδανεῖ, τὸ δὲ ἕτερον ἥμισυ ὁ φίσκος (ἤγουν ἡ πόλις) λήψεται. ¶Φυσικὸς τρόπος κτήσεως ἐστὶ καὶ ὁ τῆς τραδιτίονος. τί δέ ἐστι τραδιτίων; ἡ ἀπὸ χειρὸς εἰς χεῖρας μετάθεσις, διαπάλλακτον, καὶ ἀφελέστερον, καὶ φυσικὴν τὴν πρᾶξιν ἔχουσα. οὐδὲν γὰρ οὕτω τῇ φύσει συνᾴδει ἢ τὸ βεβαιοῦσθαι τὴν τοῦ δεσπότου γνώμην τὸ οἰκεῖον πρᾶγμα μεταθέντος εἰς ἕτερον. εἰς δὲ τὸ διὰ τραδιτίονος μετατεθεῖναι τὴν δεσποτείαν, δεῖ ταῦτα συνδραμεῖν, ὥστε δεσπότην

θ. Per traditionem.

εἶναι τὸν τραδιτεύοντα, καὶ ψυχῇ τοῦ βούλεσθαι μεταθεῖναι τὴν δεσποτείαν, ποιεῖσθαι τὴν τραδιτίονα, καὶ σωματικὸν εἶναι τὸ τραδιτευόμενον. σωματικὸν μὲν διὰ τοῦτο εἶπον, ἐπειδὴ τὰ ἀσώματα, ἀφῆς ὄντα κρείττονα, οὐκ ἐπιδέχεται τραδιτίονα. δεσπότην εἶναι τὸν τραδιτεύοντα διὰ τοῦτο εἶπον, ἐπειδὴ ὁ μὴ ὢν δεσπότης, οὐ δύναται μεταθεῖναι δεσποτείαν ἣν οὐκ ἔχει. ψυχῇ τοῦ βούλεσθαι ποιῆσαι δεσπότην τὸν λαμβάνοντα, διὰ τοῦτο προσέκειται ἵνα ἐξέλω τὴν χρῆσιν καὶ τὴν παρακαταθήκην. ἐπὶ τούτων γὰρ, εἰ καὶ σωματικὸν τὸ πρᾶγμα, καὶ δεσπότης ὁ τραδιτεύων, ἀλλὰ παραδίδωσι μικρὸν ὕστερον ἀναλαμβάνειν ἐλπίζων ταῦτα. οὐ διαφέρομαι δὲ, ὁποιονδήποτε ἐστὶ τὸ παραδιδόμενον πρᾶγμα ὑπὸ τοῦ δεσπότου, εἴτε ἀγρὸς Ἰταλικὸς, εἴτε στιπενδιάρια κτήματα, εἴτε τριβουτάρια. στιπενδιάρια δὲ καὶ τριβουτάρια λέγε-

tradit dominum esse oportet, & animo volentis dominium transferre, traditionem facere, & corporale esse id quod traditur. Corporale ideo dico, quòd incorporalia, cùm tactum fugiant, traditionem non recipiant. Ideo quoque dixit tradentem esse dominum debere, propterea quòd is qui dominus non est, dominium quod non habet, transferre non posit. Sed & hoc adiectum est, animo volentis eum dominum facere qui accepit, vt commodatum & depositum exciperem. Nam his in rebus & corporale est quod traditur, & qui tradit, dominus est: sed tradit, paulò post se sperâs recepturum. Nec refert opinor quale sit id quod à domino traditur, siue prædium italicum, siue possessiones stipendiariæ, aut tributariæ. Vocamus autem stipendiarias & tributarias possessiones, quæ in

In prouinciis sunt, principis iussu à populo occupatæ. Appellationis verò huius inde fluxit occasio. Quidam apud veteres Romanus Imperator, quũ toto orbe subacto, virtus eius in magna Romanorum admiratione esset, prouincias omnes diuisit: & quasdam sibi retinuit, alias populo reliquit. Quas populus acceperat, eæ stipendiariæ inde appellatæ sunt, quòd stipes ἔρανον, *id est collationem* significet, & particulatim argenti aliarúmque rerum factam collectionem. Quum igitur minutula quædam prouinciales ex his quæ apud ipsos nascebantur, collectione facta, mitterent populo, vt ea in vsus suos & voluptates impenderet, factum est vt prouinciæ stipendiariæ dicerentur. & deinde consequenter, domus quoq; & prædia stipendiaria. Imperatoris verò prouinciæ dictæ sunt tributariæ, quoniã tributũ

ται τὰ ἐν ταῖς ἐπαρχίαις διακείμενα κτήματα, βασιλικῇ κελεύσει ὑπὸ τοῦ δήμου κρατούμενα. τῆς δὲ προσηγορίας αὐτῆς γέγονεν ἐντεῦθεν ἡ πρόφασις. ὁ πάλαι Ῥωμαίων βασιλεὺς πάσης κρατήσας γῆς, θαυμασθεὶς δὲ παρὰ Ῥωμαίων ἕνεκα τῆς οἰκείας ἀνδρείας, διεῖλε τὰς ἐπαρχίας· καὶ τὰς μὲν, ἐκράτησεν αὐτὸς ἑαυτῷ· τὰς δὲ, ἀφώρισε τῷ δήμῳ. καὶ αἱ τοῦ δήμου ἐκλήθησαν στιπενδιάριαι ἐντεῦθεν. ὅτι στίπες ἐστὶν ὁ ἔρανος, καὶ ἡ κατὰ μικρὸν γινομένη τοῦ ἀργύρου καὶ τῶν ἄλλων συλλογή. ἐπειδὴ οὖν ὀλίγα τινὰ οἱ ἐπαρχιῶται ἐκ τῶν παρ' αὐτοῖς γινομένων συνάγοντες, ἔπεμπον τῷ δήμῳ, ἐπὶ τῷ ταῦτα δαπανᾷν εἰς οἰκείας χρείας τε καὶ τέρψεις, διὰ τοῦτο ἐκλήθησαν στιπενδιάριαι. καὶ λοιπὸν ἀκολούθως, καὶ αἱ οἰκίαι, καὶ οἱ ἀγροί, στιπενδιάρια. αἱ δὲ τοῦ βασιλέως ἐπαρχίαι ὠνομάσθησαν τριβουτάριαι. ἐπειδὴ τρίβουτόν

ἐστι

ἐστι τὸ βαρὺ τέλος ὅπερ ἐπέβαλε τοῖς οἰκείοις ἐπαρχιώταις ὁ βασιλεύς, ὡς πολλὰ δαπανῶν περὶ τὴν τῶν στρατιωτῶν ἀποτροφήν. καὶ οἱ τὰ στιπενδιάρια καὶ τριβουτάρια ἔχοντες πάλαι, κατὰ συγχώρησιν δήμου ἢ βασιλέως, οὐκ ἦσαν δεσπόται· ἡ γὰρ δεσποτεία αὐτῶν ἦν ἢ παρὰ τῷ δήμῳ, ἢ παρὰ τῷ βασιλεῖ. ἀλλ' εἶχον τὴν ἐπ' αὐτοῖς χρῆσιν, καὶ ἐπικαρπίαν, καὶ πληρεστάτην κατοχήν, ὥστε δύνασθαι μεταφέρειν καὶ κληρονόμοις παραπέμπειν. τῶν γὰρ Ἰταλικῶν ἀγρῶν ἤτοι οἰκιῶν, οἱ δεσπόται τὴν δεσποτείαν εἶχον. ἀλλὰ ταῦτα μὲν τὸ παλαιόν· σήμερον δὲ διάταξις τοῦ ἡμετέρου βασιλέως οὐδεμίαν βούλεται εἶναι διαφορὰν Ἰταλικῶν, καὶ στιπενδιαρίων, καὶ τριβουταρίων. ἀλλ' εἰ μὲν δεσπότης παραδίδωσί μοι τὸ οἰκεῖον πρᾶγμα ἀπὸ δωρεᾶς, ἢ προικός, ἢ ἐξ ἄλλης οἱασδήποτε αἰτίας, οἷον ἀπὸ περμουτατιό

est graue illud vectigal quod Princeps prouincialibus suis indicebat, eo nomine quòd magnos alendis exercitibus sumptus faceret. Qui autem ex largitione populi vel principis stipendiaria vel tributaria habebant *prædia*, domini illorum non erant: verum dominium aut apud populū erat, aut apud principē: sed vsumfructum eorum habebant, & plenissimam detentationē, ita vt & transferre possent, & ad hæredes transmitterent. Nam Italicorū fundorum domuúmq; domini dominium habebant. Et hæc quidem olim: hodie verò Imperatoris nostri constitutio nullam esse vult differentiam Italicorum & stipendiariorum vel tributariorum. Sed si is qui dominus est, rem suam tradat mihi, siue ex donatione, siue in dotem, aut ex alia quauis causa, veluti ex permutatione,

ne, dominiū in me sine dubio transfert ¶ Sed& si quis tradat id quod vendidit, non aliter transit dominium in emptorem quàm si emptor venditori pretium rei soluerit, vel aliter de pretio satisfecerit. Quid ita? quoniam pro se Titium dedit quempiam qui pretium soluere repromiserit, aut etiam pignus pro pretio præstitit. Est autem hoc & lege duodecim Tabularum cautum, nihiloque minus inuenias & iuris gentium esse, quoniam & naturalis iustitia ei adhæret, quum apud omnes gentes æquè obseruetur. In aliis igitur causis, semper is qui tradit, dominium transfert: in emptione, non aliter quàm si pretium accepit, aut satis eo nomine factum est. Sed & si venditor, neque pretium accepit, neque

νων, ἀναμφιβόλως μεταφέρει τὴν δεσποτείαν ἐπ' ἐμέ. ¶ Εἰ δὲ πωλήσας παραδιδώσῃ, οὐχ ἑτέρως ἐπὶ τὸν ἀγοραστὴν ἡ δεσποτεία μέτεισιν, ἐὰν μὴ ὁ ἀγοραστὴς τῷ πράτῃ τὸ τίμημα καταβάλῃ τοῦ πράγματος, ἢ τὸ ἱκανὸν αὐτῷ ποιήσει ἐπὶ τῷ τιμήματι. Τί γάρ; ὅτι ἔδωκε Τίτιον τινὰ ὑπὲρ αὐτοῦ ὁμολογήσαντα δώσειν τὸ τίμημα, ἢ καὶ ἐνέχυρον παρέχειν ὑπὲρ τοῦ τιμήματος. τοῦτο δὲ καὶ τῷ δωδεκαδέλτῳ διηγόρευται νόμῳ, καὶ οὐδὲν ἧττον διέγνωσθαι iuris gentium ὑπάρχειν τοῦτο τὸ νόμιμον, ἐπειδὴ πρόσεισιν αὐτῷ φυσικὴ δικαιοσύνη· διὸ παρὰ πᾶσι τοῖς ἔθνεσι πολιτεύεται. ὥστε οὖν ἀεὶ μὲν ἐξ ἑτέρας αἰτίας παραδιδοὺς ὁ δεσπότης, μεταφέρει δεσποτείαν· ἐπὶ δὲ πράσεως οὐχ ἑτέρως, εἰ μὴ λάβῃ τὸ τίμημα, ἢ τὸ ἀσφαλὲς αὐτῷ γένηται ἐπὶ τῷ τιμήματι. εἰ δὲ ὁ πράτης οὔτε ἔλαβε τὸ τίμημα, οὔτε ἔλαβε τινὰ τὸν ὑπὲρ

θ. Venditæ

τοῦ

τοῦ ἀγοραστοῦ ἐπερωτώμενον, οὔτε ἐνέχυρα, ἀλλ' ἠρκέσθη τῇ τοῦ ἀγοραστοῦ πίστει, θαῤῥήσας ὅτι λήψεται τὴν διατίμησιν, κἀνταῦθα λέγομεν εὐθέως ἐπὶ τὸν ἀγοραστὴν μετιέναι τὴν δεσποτείαν. τραδιτζίονος δὲ γινομένης, οὐδεμία τις ἔσται διαφορὰ, πότερον αὐτὸς ὁ δεσπότης ἐστὶν ὁ τραδιτεύων, ἢ ἕτερος κατὰ γνώμην αὐτοῦ. τούτῳ τῷ λόγῳ, ἐὰν ἄδειαν παράσχω τινὶ τοῦ διοικεῖν ὡς βούλεται τὴν ἐμὴν οὐσίαν, οὗτος δὲ ἐκ τούτων τι πωλήσῃ τῶν πραγμάτων, καὶ τραδιτεύσῃ, μεταφέρει τὴν δεσποτείαν ἐπὶ τὸν λαβόντα. δοκεῖ γὰρ γνώμῃ τοῦ δεσπότου τοῦ τὸ πράττειν.

§ interdum ¶ Ἔστι δὲ εὑρεῖν τινὰ θέματα ἐν οἷς καὶ παραδόσεως χωρὶς, γυμνὴ δὲ ὅμως βούλησις, ἀρκεῖ πρὸς τὸ μεταβῆναι τὴν δεσποτείαν. οἷον, ἔχρησά σοι τὸ ἐμὸν βιβλίον. ἢ, ἐμίσθωσά σοι τὸν ἐμὸν ἀγρόν. ἢ, παρεθέμην σοι τὸ ἐμὸν μινσώριον. ἐὰν μετὰ ταῦτα πωλήσω σοι

loco emptoris expromissorem, neque pignora, sed fide emptoris contentus est, satis sibi pollicens fore vt pretium accipiat, dicendum & hic est, dominium statim ad emptorem transire. Facta autem traditione, nihil interest, is ne qui dominus est, tradiderit: an voluntate eius, alius. Hac ratione, sicui liberam potestatem fecero, rem meam vt volet administrandi, & is ex his rebus aliquid vendiderit tradideritque, in accipientem transfert dominium. Nam voluntate domini id facere videtur.

¶ Inuenias autem & species quasdam seu casus, in quibus & sine traditione, nuda tantum voluntas dominio transferendo sufficiat: veluti, commodaui tibi librum meum, locaui tibi fundum meũ, deposui apud te mensulã meam. Si postea tibi vendam

dam hæc, aut donem, simul vnà cum donatione aut emptione, dominũ te eorum facio, idq; traditione non accedente. Nam quum antè apud te, naturalis dictarum rerũ fuerit possessio detentiove, ob hoc solum, quòd rem meam tuam esse velim, statim dominium eius tibi adquiritur, perinde atque si ex causa donationis, venditionisve, specialis traditio intercessisset. ¶ Varias in horreo merces reposui: tu mecum egisti vt eas tibi venderem. Contractu celebrato, soluisti pretiũ. Si ego horrei claues tibi, cùm ab eo haudlõgè abessem, tradiderim, statim sis mercium dominus. ¶ Interdum volũtate mea transfero dominiũ, & in personam incognitam, de qua rogatus siue ante traditionem, siue post traditionem, dicere omnino non possim, quænam ea sit. Id autem contingit in Prætoribus

ταῦτα, ἢ δωρήσωμαι, εὐθέως ἅμα τῇ δωρεᾷ, ἢ ἅμα τῇ πράσει, δεσπότην σε ποιῶ τούτων, καὶ ταῦτα τραδιτζίονος μὴ γενομένης. ἐπειδὴ γὰρ προϋπῆρχε φυσικὴ κατοχὴ παρὰ σοὶ τῶν εἰρημένων πραγμάτων, διὰ τοῦτο ὅτι βούλομαι σὸν εἶναι τὸ ἐμὸν πρᾶγμα, εὐθέως παραγίνεταί σοι ἡ δεσποτεία, ὥσπερ εἰ δωρεᾶς χάριν, ἢ γοῦν πράσεως, γέγονεν ἰδικὴ τραδιτζίων.

8. Item si quis merces.

¶ Ἐπεθέμην ἐν ὡρείῳ φορτία διάφορα. διηλέχθης μοι ὥστε ταῦτά σοι πωλῆσαι· συμφώνου γενομένου, δέδωκας τὸ τίμημα· ἐὰν παρεστὼς τῷ ὡρείῳ, τὰς τοῦ ὡρείου παραδῶ σοι κλεῖς, εὐθέως δεσπότης γίνῃ τῶν φορτίων.

8. Hoc amplius.

¶ Πολλάκις ἑκὼν μεταφέρω δεσποτείαν ἐπί τινα τῶν ἐμοὶ ἀγνοουμένων· περὶ οὗ ἐρωτηθεὶς καὶ πρὸ τῆς παραδόσεως, καὶ μετὰ τὴν παράδοσιν, οὐ πάντως δύναμαι εἰπεῖν ποῖον τοῦτό ἐστι τὸ πρόσωπον. τοῦτο δὲ συμβαίνει ἐπὶ τῶν πραιτώρων,

ἢ τῶν

ἢ τῶν ὑπάτων, οἵτινες εἰώθασιν, ἢ ἐν ταῖς προελεύσεσιν ἢ ἐν ταῖς θέαις ῥίπτειν τινὰ τοῖς δημόταις, καὶ δεσπότης εὐθέως γίνεται ὁ λαβών· καίτοι ὁ ταῦτα ἀφιεὶς, ἀγνοεῖ τίς ὑποδέχεσθαι μέλλει ἕκαστον τῶν ῥιπτομένων. ἐντεῦθεν δῆλον, ὅτι ἐὰν τοῦ ἐμοῦ καταφρονήσω πράγματος, καὶ τοῦτο τῆς ἐμῆς ἀποβάλωμαι κατοχῆς, τοῦ καταλαμβάνοντος εὐθέως γίνεται, ὅπερ λέγουσιν οἱ παλαιοὶ προδερέλικτον. προδερέλικτον δέ ἐστιν ὅπερ ὁ δεσπότης τοιαύτην ἔχων τὴν διάνοιαν ἀποβάλλεται, ὥστε μὴ βούλεσθαι αὐτὸ τῆς οἰκείας εἶναι περιουσίας. ἀμέλει, παραχρῆμα παύεται τοῦ εἶναι δεσπότης.

§. Alia sanè. ¶ Ἕτερον δέ ἐστιν ἐπὶ ἐκείνων τῶν πραγμάτων, ἃ ἵνα διὰ τὴν συμβᾶσαν ἐν τῇ θαλάσσῃ ζάλην, κουφότερον οἱ πλέοντες βουλόμενοι ποιῆσαι, τὸ ἐπικείμενον τῇ νηῒ βάρος ἀπεβάλοντο. ταῦτα γὰρ τὰ ἀποβληθέντα, τῆς τῶν ἀποβαλλόντων μένει δεσποτείας. ἀμφ-

& Consulibus, qui pro more, vel in aduentibus vel in spectaculis, iacere quædam solent in vulgus: & dominus fit statim, qui acceperit: quamuis is qui iacit, ignoret quid eorum quisque sit accepturus. Vnde & illud liquet, si rem meam asperner, & ex possessione mea vel detentatione abiiciam, statim eam occupantis fieri. Id Veteres dixerunt, Pro derelicto. Pro derelicto autem id habetur quod dominus ea mente eóque animo abijcit, vt id patrimonij sui esse nolit. Itaque profectò statim dominus esse desinit. ¶ Aliud est in his rebus quas coorta inter nauigandum tempestate, vt onus nauis leuius reddatur, in mare nauigantes eiiciunt: hæc enim quāuis abiecta, abiicientium manent. Palàm

lam est enim eas non hac mente eiici quòd illi eas sui patrimonii esse amplius nolint, sed magis, quòd cupiant vna cum naui, discrimen maris effugere. Quapropter, si quis eas res fluctibus expulsas, aut in mari natantes excipiat animo lucrandi aut interuertendi, furtum committit. Consimiles his & illæ res sint veluti exempli causa: In locum quempiam proficisci volebam: habebas tu carrucam, qua ego iter celeriter conficere poteram. Rogaui te vt liceret ascendere, & res meas imponere quò maturius, quò volebam, venirem. Id tu mihi promisisti, siue pretio, siue etiam sine pretio. Res meas carrucæ imposui. In itinere euenit vt aliquid rerum mearũ me ignorãte

λέγεται γὰρ τὴν τούτων ἀποβολὴν γενέσθαι, οὐ διὰ τὸ μὴ βούλεσθαι ταῦτα τῆς ἑαυτῶν δεσποτείας εἶναι τοὺς ἀποβάλλοντας, ἀλλὰ διὰ τὸ μᾶλλον ἐπιθυμεῖν μετ᾽ αὐτῆς τῆς νεὼς τὸν τῆς θαλάσσης κίνδυνον διαφυγεῖν. ὅθεν εἴ τις τούτων τῶν πραγμάτων ὑπὸ τῶν κυμάτων ἐκβρασθέντων, ἢ καὶ φερομένων ἐν τῷ ὕδατι δράξηται, καὶ λογισμῷ κερδαίνοντος, ἤτοι ἀποστεροῦντος, ταῦτα λάβῃ, κλοπὴν ἁμαρτάνει. παραπλήσια δὲ τούτοις ἐστὶ κἀκεῖνα τὰ πράγματα. οἷον ἠβουλόμην ἀπελθεῖν ἐπί τινα τόπον. εἶχες σὺ καροῦχαν δι᾽ ἧς ἠδυνάμην ἐγὼ τὴν ὁδὸν διανῆσαι· ᾐτησά σε ὥστε ἐπικαθεσθῆναι αὐτῇ, καὶ τὰ ἐμὰ ἀποθέσθαι πράγματα, ἐπὶ τὸ ἀφικέσθαι με εἰς ὃν ἐζήτουν τόπον. τοῦτό μοι ποιεῖν ὑπέσχου, ἐπὶ μισθῷ, ἢ καὶ δίχα μισθοῦ. ἀπεθέμην ἐν τῇ καρούχᾳ τὰ ἐμὰ πράγματα. ἐν τῷ μεταξὺ τῆς ὁδοῦ, συνέβη τινὰ τῶν πραγμάτων ἐκπε-

σεῖν τῆς καρούκας αὐτῆς, ἀγνοοῦντος ἐμοῦ. οὐκ ἔστι ζῶα τῶν διολισκόντων, ἀλλὰ πεφύλακται τῇ ἐμῇ δεσποτείᾳ. δίδοται γάρ μοι ἐπ' αὐτοῖς in rē, ad ἐξιβένδουμ, φοῦρτι, καὶ φούρτιβος κονδικτιτζίων, τουτέστι ἐκδικήσεως ἀγωγή, ἡ ἐκνίκησις κατὰ τῶν κλεπτῶν.

de carruca decideret, non fiet hoc reperientis, sed mihi dominium seruatur. Datur enim mihi actio eo nomine in rem, ad exhibendum, furtique, & condictio furtiua: ea autem est actio quædam vindicationis similis, & euictio aduersus fures.

## DE REBVS CORPORALIBVS ET incorporalibus. Tit. II.

Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν περὶ τῆς τῶν πραγμάτων διαιρέσεως, ὅτι τινὰ μέν ἐστι φυσικὰ νατουράλια, ἤτοι iuris gētium, τινὰ πουβλίκα, τινὰ τοῦ ὁμάδος, τινὰ ἀδέσποτα, τὰ δὲ πλείονα τῶν καθέκαστον. καὶ εἰρήκαμεν ὅτι πολλοῖς τρόποις τῆς ἡμετέρας γίνεται δεσποτείας τὰ πράγματα, καὶ φυσικοὺς εἴπομεν τρόπους τούτους, τὴν θήραν, τὰ λάφυρα, τοὺς ἐν αἰγιαλῷ εὑρισκομένους λίθους, ἤτοι ψηφίδας, καὶ τὰ ἐκ τῶν ἡμετέρων τικτόμενα ζώων, καὶ ἀλλουβίονα,

Dictum est supra de rerum diuisione, quasdam enim esse naturales siue iuris gentium, quasdam publicas, quasdam vniuersitatis, quasdam nullius, plerasque singulorum. Dictum est etiam multis modis fieri, vt dominium rerum acquiramus. Et naturales modos enarrauimus hos: venationes, hostium spolia, repertos in maris littore lapillos aut gemmas; quæ ex animalibus nostris nascuntur & alluuionem,

& insulam, siue in mari, quod rarius est, siue in flumine, quod frequens, enatam. Ad hæc & proximum esse alueo quem flumen reliquerit: & ita speciem ex aliena materia conficere, vt confecta ad pristinam materiam reduci nequeat: & ex sua & aliena materia aliquid efficere: & alienam purpuram suo vestimento intexere: & duorum materias vel eiusdem vel diuersi generis, ex voluntate dominorum aut fortuito misceri: aut plurium dominorum frumenta voluntate ipsorum in vnum aceruum confundi, non item si vno tantum volente aut casu id accidat: & regulam dicantem, Subiecto cedere superficiem, vt in non vna specie visum est. Cuiusmodi est, quum ex aliena materia in solo meo ædificatum est, aut ex materia mea in alieno solo domũ extruxi,

καὶ νῆσον, ἢ ἐν θαλάσσῃ, ὅπερ σπάνιον, ἢ ἐν ποταμῷ ἀναφυομένην, ὅπερ συνεχές. ἔτι δὲ καὶ τὸ γειτνιάζειν τῇ τοῦ ποταμοῦ καταλειφθείσῃ νηδύϊ, (ἤτοι κοίτῃ.) καὶ τὸ ἐξ ἀλλοτρίων ὑλῶν εἶδος κατασκευάσαι, ὡς μὴ δύνασθαι τὸ κατασκευασθὲν εἰς τὴν ἀρχαίαν ἀνατρέχειν ὕλην. καὶ τὸ ἐξ ἰδίας καὶ ἀλλοτρίας ὕλης κατασκευάσαι, ἢ τὸ ἀλλοτρίαν πορφύραν συνυφᾶναι τῇ οἰκείᾳ ἐσθῆτι. καὶ τὸ, δύο τινῶν ὕλας τὰς αὐτὰς, ἢ καὶ διαφόρους γνώμῃ τῶν δεσποτῶν, ἢ καὶ τυχηρῶς μιγῆναι, ἢ καὶ διαφόρων δεσποτῶν σωροὶ σίτου γνώμῃ αὐτῶν μιγῶσι, οὐκέτι δὲ εἰ βουλήσει τοῦ ἑνὸς, ἢ καὶ τύχῃ τοῦτο συνέβη καὶ ὁ κανὼν ὁ λέγων, εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, ὡς ἐν πολλοῖς ἐθεωρήθη θέμασιν, οἷον ἡνίκα ἐξ ἀλλοτρίας ὕλης ἐν τῷ ἐμῷ ᾠκοδομήθη ἐδάφει, ἢ ἐκ τῆς ἐμῆς ὕλης ἐν ἀλλοτρίῳ οἶκον κατεσκεύασα,

ἢ ἀλλότριον δένδρον ἐν ἰδίῳ τις ἐφύτευσεν ἀγρῷ, ἢ ἴδιον δένδρον ἐν ἀλλοτρίᾳ γῇ, ὥστε καὶ ῥιζῶσαι. ὅπερ ἐκράτησε καὶ ἐπὶ τοῦ σπειρομένου σίτου, καὶ ἐπὶ τῶν ἐπιτιθεμένων γραμμάτων ἐμοῖς χάρταις, ἢ ἐμαῖς μεμβράναις· τὸ δὲ ἐναντίον ἐπὶ τῆς εἰκόνος. ἐκεῖ γὰρ ἡ ξένη σανὶς εἴκει τῇ γραφῇ. ἐν δὲ ταῖς φυσικαῖς κτήσεσίν ἐστι καὶ τὸ βοναφίδε λαβεῖν παρὰ τοῦ μὴ δεσπότου ἀγρόν. αὕτη γὰρ ἡ βοναφίδει νομὴ ἀρκεῖ εἰς τὸ ποιῆσαι αὐτὸν δεσπότην τῶν δαπανηθέντων καρπῶν. καὶ ἡ τοῦ θησαυροῦ εὕρεσις, ἢ τὸ ὁλόκληρον, ἢ μέρος περιποιεῖ τῷ εὑρόντι· καὶ κατὰ τὴν διάταξιν φυσικὴ κτῆσις καὶ ἡ τῆς τραδιτζίονος. ἀλλὰ ταῦτα μὲν πάντα εἰρήσθω περὶ τῶν σωματικῶν. ἐπειδὴ δὲ τῶν πραγμάτων τὰ μέν ἐστι σωματικὰ, τὰ δὲ ἀσώματα (σωματικὸν δέ ἐστιν ὃ καὶ ὀνόματι γνωρίζεται), καὶ ἁφῇ καὶ θέᾳ ὑποπίπτει· οἷον ἀγρὸς, οἰκία, ἐσθὴς, οἰ-

aut alienam arborem in suo quis agro plantauit, aut arborem suam in aliena terra, ita vt radices ageret. Quod obtinuit & in serendo frumento, & in litteris quæ chartis aut mēbranis meis inscribuntur: contrarium esse in imagine. Illic enim aliena tabula picturæ cedit. Est & inter naturales adquisitiones, ab eo qui dominus non sit, bona fide fundum accepisse Hæc enim bonæ fidei possessio, sufficit vt quis fructuū cōsumptorū dominus fiat. Præterea & thesauri inuentio, aut totū aut partē inuentori tribuit. Per traditionem quoque secundum quod constitutum est, naturalis adquisitio est. Sed hæc quidem nobis omnia de corporalibus dicta sint. Porro quoniam rerum aliæ corporales sūt, aliæ incorporales (est autē corporalis quæ & nomine cognoscitur, & sub tactū oculósq; recidit: veluti fundus, dom⁹, vestis seruus:

seruus: incorporalis verò quæ sola mente intellegitur, neque sub tactum, neq; sub oculos recidit) tractatu habito de corporalibus, dicamus & de incorporalibus. incorporale est autẽ quod in iure consistit: vt hæreditas. Et quid est hæreditas? Est ius quoddã certis modis constitutum, sed intellectu comprehensum, quod alieni patrimonij vniuersalem dominum me efficit: deinde & vsusfructus. Est autẽ vs'fruct', ius quoddã certis modis cõstitutum, quod efficit vt in proprietate alterius, ego re vtar & fruar. Adhæc & obligatiões quocunq; modo cõtractę: multi enim sunt cõtrahendæ obligationis modi, vt in sequentib' docebimur. Et quid est obligatio? est iuris vinculũ, quo quis quidq; facere cogiẽ quod facere debet. Neq; verò dixerit quispiã, ꝙ in hæreditate & res corporales inueniũt: nã habet hæreditas & seruos, & fun

κέτης· ἀσώματον δέ ἐστιν ὃ νῷ μόνῳ γνωρίζεται, οὔτε γὰρ ἁφῇ ἢ θέᾳ ὑποπίπτει.) εἰπόντες οὖν περὶ τῶν σωματικῶν, εἴπωμεν καὶ περὶ τῶν ἀσωμάτων. ἀσώματον δέ ἐστιν, ὃ ἐν δικαίῳ ἵσταται, οἷον κληρονομία. καὶ τί ἐστι κληρονομία; δικαιόν τι φανεροῖς τρόποις συνιστάμενον, νῷ καταλαμβανόμενον, ὃ ποιεῖ με τῆς ἑτέρου περιουσίας ἀθρόον γενέσθαι δεσπότην· ἔστι δὲ καὶ ὁ οὐσούφρουκτος. οὐσούφρουκτος δέ ἐστι δικαιόν τι φανεροῖς τρόποις συνιστάμενον, ὃ ποιεῖ με κατὰ τῆς ἑτέρου δεσποτείας ἔχειν χρῆσιν καὶ ἐπικαρπίαν. ἔστι δὲ καὶ αἱ ἐνοχαὶ αἱ ὁπωσδήποτε συστᾶσαι. πολλοὶ γάρ τρόποι συστάσεως ἐνοχῆς, ὡς προϊόντες μαθησόμεθα. καὶ τί ἐστιν ἐνοχή; δεσμὸς δικαίου, δι' οὗ τις ἀναγκάζεται ποιεῖν ἕκαστον ὃ ὀφείλει ποιεῖν. καὶ μή τις λεγέτω ὅτι ἐν τῇ κληρονομίᾳ εὑρίσκεται πράγματα σωματικά. καὶ γὰρ ἡ κληρονομία καὶ οἰκέτας ἔχει, καὶ ἀγρούς,

καὶ οἰκήματα, καὶ βιβλία. καὶ ὁ οὐσούφρουκτος δὲ ἔχει ἐν ἑαυτῷ τοὺς καρποὺς τοὺς ἀπὸ τοῦ ἀγροῦ λαμβανομένους, οἵτινες σωματικοί εἰσι. καὶ τὸ ἐκ τῆς ἐνοχῆς ἡμῖν ἐποφειλόμενον, ὡς ἐπὶ τὸ πλεῖστον, σωματικόν ἐστιν, οἷον ἀγρὸς, οἰκέτης, χρήματα· ὡς ἐπὶ τὸ πλεῖστον εἶπον, ἐπειδὴ (ὡς μαθησόμεθα προϊόντες) πολλάκις καὶ ἀσώματόν τι διὰ τῆς ἐνοχῆς ἀπαιτοῦμεν. μὴ τοίνυν λεγέτω τις, ὅτι ἡ κληρονομία, καὶ ὁ οὐσούφρουκτος, καὶ ἡ ἐνοχὴ, σωματικά ἐστιν, ἐπειδὴ τὰ ὑποπεπτωκότα αὐτοῖς (ὡς εἴρηται) ἐστὶ σωματικά. δεῖ γὰρ σκοπῆσαι ὅτι αὐτὸ τὸ δίκαιον τὸ παρέχον μοι παρρησίαν ὥστε ἀθρόως τὴν ἑτέρου λαμβάνειν περιουσίαν, ἢ καρποῦσθαι τὸν ἀλλότριον ἀγρὸν, ἢ ἀπαιτεῖν τὰ ἐποφειλόμενα, ἀσώματόν ἐστιν, εἰ καὶ περιέχεται αὐτοῖς σωματικά. εἰσὶν ἐν τοῖς ἀσωμάτοις καὶ αἱ καλούμεναι δουλεῖαι, τοῦτο μὲν οἰκίας, τοῦτο δὲ ἀγροῦ.

dos, & ædificia, & libros. Sed & vsusfructus habet in se se fructus qui ex fundo percipiuntur, qui vtique corporales sunt. Ad hæc quod ex obligatione nobis debetur, plerunque corporale est, veluti fundus, seruus, pecunia, vt dixi *plerunque*: quoniam (vt ex his quæ sequuntur, discemus) sæpe & incorporale est quod ex obligatione petimus. Nequis ergo dixerit, hæreditatem, vsumfructū, & obligationem, corporalia esse, quia res quæ in illa cadunt, corporales (vt dictum est) sint. Nam ius ipsum quod mihi potestatem facit, in vniuersum, alienum patrimonium accipiendi, aut ex alieno fundo fructus colligēdi, aut, quod mihi debetur, exigēdi, spectandū est: quod vtique incorporale est quāuis circa corporalia versetur. In ter incorporalia sunt & seruitutes, quæ vocātur vrbanorū & rusticorū prædiorū.

Et

Et quid est seruitus vrbani prædij? est ius quoddam certis modis constitutum, sed intellectu comprehensum, quod efficit vt vicinus vrbanus, vicini onera sustineat. Seruitus rustici prædij, est ius quoddam certis modis constitutum, sed intellectu comprehensum, quod efficit vt vicinus rusticus vicini onera sustineat. Ad hæc est & vsus. Et quid est vsus? Vsus ab vtendo dictus est. Et est ius quoddam certis modis constitutum, sed intellectu comprehensum, quod efficit vt in aliena proprietate ego re vtar, sed vtar tantùm. Præterea & *οἴκησις, id est habitatio.* Et quid est habitatio? est ius quoddam certis modis constitutum, sed intellectu comprehensum, quod efficit vt liberè in aliena domo habitem, ab vsu & vsufructu separatum.

καὶ τί ἐστι δουλεία οἰκίας; δικαιόν τι φανερῶς τρόποις συνιστάμενον, νῷ καταλαμβανόμενον, ὃ ποιεῖ τὸν γείτονα ἀνέχεσθαι τὰ τοῦ γείτονος βαρῶν. δουλεία δὲ ἀγροῦ ἐστι, δικαιόν τι φανερῶς τρόποις συνιστάμενον, νῷ καταλαμβανόμενον, ὃ ποιεῖ τὸν ἀγρογείτονα, ἀνέχεσθαι τὰ τοῦ ἀγρογείτονος βαρῶν. ἔτι δὲ καὶ ὁ οὖσος. καὶ τί ἐστιν οὖσος; οὖσος ἐστὶ χρῆσις. χρῆσις δὲ ἐστι δικαιόν τι φανερῶς τρόποις συνιστάμενον, νῷ καταλαμβανόμενον, ὃ ποιεῖ με κατὰ τῆς ἑτέρου δεσποτείας ἔχειν χρῆσιν μόνην. ἔτι δὲ ἡ ἀβιταπίων, ἤγουν οἴκησις. καὶ τί ἐστιν ἀβιτατίων; δικαιόν τι φανερῶς τρόποις συνιστάμενον, νῷ καταλαμβανόμενον, ὃ δίδωσι μοι παρρησίαν οἰκεῖν ἐν ἀλλοτρίᾳ οἰκίᾳ, κεχωρισμένον οὔσου καὶ οὐσουφρούκτου.

Εἴπωμεν κατὰ πρώτην τάξιν περὶ δουλείας ἀγροῦ. ἐπεὶ δὲ τὸν μὲν ὅρον οἴδαμεν· εἰπεῖν δὲ ἀναγκαῖον εἴδη δουλείας. δουλεία ἀγροῦ ἐστιν, οἷον ἴτερ, ἄκτους, βία, aquæductus. καὶ τί ἐστιν ἴτερ; οἷον εἶχον ἀγρὸν ἐγώ, εἶχες δὲ καὶ σὺ πλησίον ἀγρόν. βουλόμενος ἐγὼ ἐπὶ τὸν ἐμὸν ἀγρὸν ἀπιέναι, ἐδεόμην πολλοῦ κύκλου, ᾔτησά σε ἵνα παραχωρήσῃς μοι ἴτερ· τουτέστιν ὥστε ἐξεῖναί μοι βαδίζειν διὰ τοῦ σοῦ ἀγροῦ (σύντομος γὰρ ἦν αὕτη ἐπὶ τὸν ἐμὸν ἀγρὸν φέρουσα ὁδός.) παρεχώρησάς μοι τὸ ἴτερ, ὥστε με παριέναι, οὐ μετὰ ὑποζυγίου, οὐδὲ μετὰ ὀχήματος. ἄκτους δέ ἐστιν ἐλασία, ὅτε αἰτήσω σε ὥστε ἐξεῖναί μοι διὰ τοῦ σοῦ βαδίζειν ἀγροῦ, μετὰ ὑποζυγίου, ἢ ὀχήματος. ὥστε οὖν ὁ ἔχων τὸ ἴτερ, οὐκ ἔχει τὸ ἄκτους. μετὰ γὰρ ὑποζυγίου, ἢ ὀχήματος παριέναι οὐ δύναται. ὁ δὲ ἔχων

Dicamus primò de seruitute rustici prædij. Et definitionẽ quidẽ nosti: necessariũ igitur species dicere. Seruitus rustici prædij est, iter, actus, via, aquæductus. Et quid est iter? verbi gratia: habebam ego fundũ, habebas & tu fundũ in propinquo: quũ in meũ ire vellẽ, op' erat mihi magno circuitu. Rogaui te vt mihi iter cõcederes, hoc est, vt mihi per tuum fundum ire liceret. Nã hæc via cõpẽdio ducebat in fundũ meum, tu mihi iter cõcessisti vt transire possim, sed neq; cũ iumẽto, neq; cũ vehiculo. Actus ab agẽdo iumẽto dicit: verbi gratia, cũ rogabo te vt mihi per fundũ tuũ transire liceat, cum iumento vel vehiculo. Qui igitur iter habet, actum non habet. Nam cũ iumẽto aut vehiculo trãsire nõ potest Qui verò habea

bet actum, habet & iter: potest enim & solus & cum iumento transire. Via est ius eundi & habendi iumenta. Via igitur eadem habet quæ & actus. Sed in cæteris est differentia, sicut in Digestis docebimur. Aquæductus est, ius ducendi aquã per alienũ fundum: verbi gratia, habebas fundũ aquis abundantem, habebam & ego fundum in vicino aquis indigentem. Rogaui te vt mihi liceret, ex fonte qui in tuo oritur, aquam in fundum meum ducere. Id tu mihi concessisti. Hæc seruitus dicitur aquæductus. ¶ Nunc dicamus seruitutes vrbanorum prædiorũ. Seruitutes vrbanorum prædiorum sunt quæ ædificiis inhærent, vnde & Græcis πολιτικῶν οἰκιῶν, & Latinis vrbanorum prædiorum dicuntur. Aedificia enim omnia, vrbana prædia appellantur, quamuis in villa sint. Et quænam sunt ser-

τὸ ἄκτους, ἔχει καὶ τὸ ἴτερ· δύναται γὰρ καὶ μόνος καὶ μετὰ ὑποζυγίου παρελθεῖν. βία ἐστὶ δίκαιον τοῦ ἐμὲ προσβαδίζειν καὶ ἔχειν ὑποζύγια· ὥστε οὖν τὸ βία ταῦτα ἔχει ἃ καὶ τὸ ἄκτους. διαφορὰ δέ εἰσιν ἐν ἑτέροις, ὡς μαθησόμεθα ἐν τοῖς διγέστοις. ἀκουαιδοῦκτους ἐστὶ, δίκαιον τοῦ ἕλκειν με ὕδωρ δι' ἀλλοτρίου ἀγροῦ· οἷον, εἶχες ἀγρὸν ὕδατι πλουτοῦντα, εἶχον δὲ ἐγὼ πλησίον ἀγρὸν ὕδατος δεόμενον, ᾔτησά σε ὥστε μοι ἐξεῖναι ἐκ τῆς παρὰ σοὶ φυομένης πηγῆς ὕδωρ ἕλκειν εἰς τὸν ἐμὸν ἀγρόν. παρέσχες μοι τοῦτο· αὕτη ἡ δουλεία λέγεται ἀκουαιδοῦκτους. ¶ Νῦν μὲν εἴπωμεν τὰς δουλείας τῆς οἰκίας. δουλεῖαι οἰκίας εἰσὶν, αἵ τινες συνῶσι τοῖς οἰκοδομήμασι. διὰ τοῦτο δὲ ῥωμαϊστὶ λέγονται, vrbanorum prædiorum, ἤτοι τῶν πολιτικῶν οἰκιῶν· ἐπειδὴ πάντα τὰ οἰκήματα ἐρβανὰ πραίδια προσαγορεύεται, εἰ καὶ ἐν κώμῃ ἐστί. καὶ ποῖαι εἰσὶ δουλεῖαι 8. Prædiorum.

 λεῖαι

λεῖαι τῶν οἰκιῶν; τὸ ἀνέχεσθαί με τῶν βαρῶν τοῦ γείτονος. εἰσὶ δὲ αὗται. εἶχον οἰκίαν, εἶχες δὲ καὶ σὺ πλησίον οἰκίαν. ᾔτησά σε ἵνα ἐξῇ μοι τὰς ἐμὰς δοκοὺς τοῖς σοῖς ἐπιθεῖναι τοίχοις. ἢ ὥστε μοι ἐξεῖναι τοὺς σταλαγμοὺς, ἤτοι τοὺς κρουνοὺς, τοὺς ἀπὸ τῶν ἐμῶν κεράμων, ἐκπέμπειν κατὰ τῶν σῶν δωμάτων, ἢ κατὰ τῆς σῆς μεσαύλου. ἢ σὺ εἶχες τοιοῦτον δίκαιον κατὰ τῶν ἐμῶν οἰκημάτων, καὶ ᾔτησά σε, ὥστε μὴ ἐκπέμπειν σε κατὰ τῶν ἐμῶν δωμάτων, ἢ κατὰ τῶν ἐμῶν μεσαύλων, τοὺς σταλαγμοὺς, ἢ τοὺς κρουνοὺς τοὺς ἀπὸ τῶν σῶν κεράμων. ἢ ᾔτησά σε παραχωρῆσαί μοι τοιοῦτον δίκαιον, ὥστε σοι μὴ ἐξεῖναι ἀνυψοῦν τὴν σὴν οἰκίαν, καὶ ἐντεῦθεν ἀφαιρεῖσθαι τὸ τῆς ἐμῆς οἰκίας φῶς. ¶ Ἐν ταῖς δουλείαις τῶν ἀγρῶν (δεῖ γὰρ ἀναδραμεῖν εἰς αὐτὰς) φασί τινες συναριθμεῖσθαι δικαίως ἀκουαιαύστουν· οἷον ὥστε μοι ἐξεῖναι διέρχεσθαι ἐν τῷ σῷ ἀγρῷ, καὶ

6. Inter rusticorum.

uitutes vrbanorum prædiorum ? vt onera vicini sustineam. Eæ autem sunt hæ: Habebam ego domum, habebas & tu in vicino domum. Rogaui te, vt mihi liceret trabes meas in parietem tuum immittere, aut stillicidia mea, vel canales aquarum in tegulis meis collectarum, in ædes tuas vel aream proiicere. Aut tu ius huiusmodi habebas in ædes meas, & rogaui te ne stillicidia tua aut canales in domum vel aream meam proiiceres. Aut rogaui te vt mihi tale ius concederes, ne tibi liceret domum tuam altius tollere, & ita luminibus ædium mearum officere. ¶ Inter seruitutes rusticorum prædiorum (nam illuc recurrendum est) dicunt quidam merito numerari & aquæ haustum, vt scilicet mihi liceat, in fundo tuo versari, &

& ex fonte qui ibi oritur, aquam haurire. Item vt pecudes meas ad aquas tuas appellam, aut vt ibi pascantur, quoniam fortè gramine fundus tuꝰ abūdat, aut vt calcem coquam vel arenam tollam. ¶ Porrò ideo seruitutes hæ dicūtur rusticorum & vrbanorum prædiorum, quòd sine prædiis rusticis vel vrbanis consistere non possint. Nec enim potest quisquam seruitutem prædii vrbani vel rustici acquirere, nisi qui prædium habet vrbanū aut rusticum, neque rursus quisquam debere aliquam dictarum seruitutum, nisi qui prædiū habet vrbanum vel rusticū. ¶ Quòd si quis vicino seruitutē velit cōstituere, pactionibus atque stipulationibus id efficere potest. Nā vbi conuenerit de seruitute cōstituenda, stipulatur is, qui ex cōstitutione eā accepturus est, SPONDES MANERE CONSTITVTA SERVITVTE? ET SI NON

ἀπὸ τῆς οὔσης παρὰ σοὶ πηγῆς ὕδωρ ἀντλεῖν, ἢ ὥστε ποτίζειν ἐν τῷ ἀγρῷ τὰ ἐμὰ πρόβατα, ἢ καταvέμειν αὐτὰ ἐκεῖ, διὰ τὸ τυχὸν πολλὰς ἔχειν βοτάνας, ἢ ὥστε ἄσβεστον καίειν, ἢ ψάμμον λαμβάνειν. ¶ Διὰ τοῦτο δὲ αὗται αἱ εἰρημέναι λέγονται δουλεῖαι ἀγρῶν, ἢ οἰκιῶν, ἐπειδὴ δίχα τῶν ἀγρῶν ἢ οἰκιῶν συνεστάναι οὐ δύνανται. οὐδεὶς γὰρ δύναται δουλείαν κτήσασθαι οἰκίας ἢ ἀγροῦ, εἰ μὴ ὁ ἔχων ἀγρὸν, ἢ οἰκίαν. οὐδὲ πάλιν ἐποφείλειν τὶς δύναται μίαν τῶν προειρημένων δουλειῶν, εἰ μὴ ἔχει οἰκίαν, ἢ ἀγρόν. ¶ Ὁ βουλόμενος τῷ γείτονι παραχωρῆσαι δουλείαν, διὰ συμφώνων καὶ ἐπερωτήσεων τοῦτο δύναται ποιεῖν. συμφώνου γὰρ γενομένου περὶ τοῦ παραχωρηθῆναι τὴν δουλείαν, ἐπερωτᾷ ὁ μέλλων λαμβάνειν κατὰ παραχώρησιν, ΟΜΟΛΟΓΕΙΣ ΕΜΜΕΝΕΙΝ ΤΗι ΠΑΡΑΧΩΡΗΘΕΙΣΗι ΔΟΥΛΕΙΑι; ΕΙ ΔΕ ΜΗ ΕΜΜΕΝΕΙΣ,

θ. Ideo autem.

θ. Si quis velit.

ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ΜΟΙ ΛΌΓΟΥ ΠΡΟΣΤΊΜΟΥ ΝΟΜΊΣΜΑΤΑ ἙΚΑΤΌΝ; δύναται ὁ καὶ ἐν διαθήκῃ τις τὸν ἴδιον κληρονόμον καταδικάζειν, λέγων, ΚΑΤΑΔΙΚΆΖΩ ΣΕ, Ὦ ΚΛΗΡΟΝΌΜΕ, ΜῊ ἈΝΗΨΟΥ͂Ν ΣΕ ΤᾺ ΟἸΚΉΜΑΤΑ, ἽΝΑ ΜῊ ΚΑΤΑΒΛΆΨΗΙΣ ΤΗ͂Σ ΓΕΙΤΝΙΑΖΟΎΣΗΣ ΟἸΚΊΑΣ ΤῸ ΦΩ͂Σ· Ἤ, ΚΑΤΑΔΙΚΆΖΩ ΣΕ, Ὦ ΚΛΗΡΟΝΌΜΕ, ὭΣΤΕ ΣΕ ἈΝΈΧΕΣΘΑΙ ΤΟΥ͂ ΓΕΊΤΟΝΟΣ ΒΟΥΛΟΜΈΝΟΥ ΞΎΛΟΝ ἘΠΙΤΙΘΈΝΑΙ ΚΑΤᾺ ΤΟΥ͂ ΣΟΥ͂ ΤΟΊΧΟΥ, Ἢ ΤΟῪΣ ΣΤΑΛΑΓΜΟῪΣ ἘΚΠΈΜΠΕΙΝ ΤῸΝ ΓΕΙΤΟΝΑ ΚΑΤᾺ ΤΩ͂Ν ΣΩ͂Ν ΔΩΜΆΤΩΝ· Ἢ ἽΝΑ ἈΝΑΣΧΗ͂Ι ΤῸΝ ΓΕΊΤΟΝΑ ΤῊΝ ΤΟΥ͂ ἼΤΕΡ ΔΟΥΛΕΊΑΝ, Ἢ ἌΚΤΟΥΣ ἜΧΕΙΝ ΚΑΤᾺ ΤΟΥ͂ ΣΟΥ͂ ἈΓΡΟΥ͂, Ἢ ὝΔΩΡ ἝΛΚΕΙΝ ἘΞ ΑὐΤΟΥ͂ ἘΠῚ ΤῸΝ ἼΔΙΟΝ ἈΓΡΌΝ. ὥστε

MANEAS: SPONDES DARE MIHI NOMINE POENAE AVREOS CENTVM? Potest quis etiam in testamento hæredem suum damnare, dicēdo: DAMNO TE HAERES NE AEDES ALTIVS TOLLAS VT LVMINIBVS VICINAE DOMVS NON OFFICIAS: aut, DAMNO TE HAERES, VT VICINVM PATIARIS TIGNVM IN PARIETEM TVVM IMMITTERE, AVT VICINVM IN TVAS AEDES STILLICIDIVM PROIICERE: AVT, VT PERMITTAS VICINVM ITINERIS SERVITVTEM VEL ACTVS, HABERE PER FVNDVM TVVM, AVT EX EO AQVAM DVCERE IN FVNDVM SVVM. Sic itaque

itaque constituitur seruitus, pactis, stipulationibus, & in testamento.

οὖν συνίσταται ἡ δουλεία, πάκτοις καὶ ἐπερωτήσεσι, καὶ ἐν διαθήκαις.

## DE VSVFRVCTV, Titulus IIII.

Post seruitutes vrbanorum & rusticorum prædiorũ, dissẽramus nunc de vsufructu. Et quidẽ nosti quemadmodũ in superioribus definierimus quid esset vsusfructus. Non absurdũ tamẽ fuerit & aliã definitionẽ addere, Vsusfructus est ius quoddã quod efficit vt rebus alienis vtar & fruar, quantũ tamẽ fieri possit, salua rerũ primitiuarũ principaliũq; substantia. Etenim quũ vsusfructus quãuis incorporalis sit, de rebus tamẽ corporalibus prædicetur, necesse est & ipsum vnà cum re corporali perimi. Verbi gratia: Concessi ego tibi vsumfructũ serui mei, & tu quidẽ es vsufructuarius, ego verò proprietarius: quãdiu superest seruus, vsusfructus consistit: illo autem mortuo & vsus-

Νῦν διεξέλθωμεν περὶ οὐσουφρούκτου, μετὰ τὴν δουλείαν τοῦ ἀγροῦ καὶ τῆς οἰκίας. καὶ οἶδας μέν πως ἐν τοῖς προλαβοῦσιν ὡρισάμεθα τί ἐστιν οὐσουφροῦκτος. οὐκ ἄτοπον δὲ καὶ ἕτερον ὅρον εἰπεῖν. οὐσουφροῦκτός ἐστι, δίκαιόν τι, ὃ ποιεῖ με κατὰ τῶν ἀλλοτρίων πραγμάτων ἔχειν χρῆσιν καὶ ἐπικαρπίαν, ἐφ' ὅσον αὐτὰ τὰ πρωτότυπα σώζεσθαι πράγματα. ἐπειδὴ γὰρ ἀσώματός ἐστιν ὁ οὐσουφροῦκτος, κατηγορεῖται δὲ σωματικοῦ, ἀνάγκη συναπόλλυσθαι τῷ σωματικῷ καὶ αὐτόν· οἷον παρεχώρησά σοι τὸν οὐσουφροῦκτον τοῦ ἐμοῦ οἰκέτου καὶ σὺ μὲν εἶ οὐσουφρουκτουάριος, ἐγὼ δὲ προπριετάριος· ἐφ' ὅσον περίεστιν ὁ οἰκέτης, ὁ οὐσουφροῦκτος συνίσταται· τούτου δὲ τελευτήσαντος, ὁ οὐσουφροῦκτος

θ. Vsusfructus.

κτος ἀποσβέννυται. ¶ Κεχώρισται οὖν ὁ οὐσούφρουκτος ἀπὸ τῆς προπριεταρίας· καὶ πολλοῖς τοῦτο συμβαίνει τρόποις· οἷον ὡς ἐπὶ θέματος, ἐληγάτευσά σοι τοῦ ἐμοῦ ἀγροῦ τὸν οὐσούφρουκτον· ὁ μὲν κληρονόμος ἔχει τοῦ ἐμοῦ ἀγροῦ τὴν προπριεταρίαν, ὁ δὲ ληγατάριος τὸν οὐσούφρουκτον. ἢ καὶ ἐκ τοῦ ἐναντίου, ἐληγάτευσά σοι τὸν ἀγρὸν deducto vsufructu, τουτέστι παρακατεχομένου τοῦ οὐσουφρούκτου, ἐνταῦθα ὁ μὲν ληγατάριος τὴν προπριεταρίαν ἔχει, ὁ δὲ κληρονόμος τὸν οὐσούφρουκτον. ἢ πάλιν, ἑτέρῳ μὲν ἐληγάτευσα τὸν οὐσούφρουκτον, σοὶ δὲ τὴν προπριεταρίαν, καὶ ταῦτα μὲν ἐν διαθήκῃ. δίχα δὲ διαθήκης, εἴ τις βούλεται οὐσούφρουκτον ἑτέρῳ παραχωρῆσαι, διὰ συμφώνων καὶ ἐπερωτήσεων τοῦτο ποιεῖν ὀφείλει. ἵνα δὲ μὴ τελείως ἄχρηστοι εἴησαν αἱ προπριεταρίαι ἀεὶ κεχωρισμένου τοῦ οὐσουφρούκτου, ἤρεσε φανεροῖς τρόποις ἀπο-

fructus extinguitur. ¶ Separationem igitur habet vsusfructus à proprietate: multísque id modis accidit, veluti in hac specie: Vsumfructum tibi fundi mei legaui, heres quidem eius habet proprietatem, legatarius verò, vsumfructum. Aut item ex contrario: Legaui tibi fundum deducto vsufructu, hoc est retento vsufructu: hic, legatarius quidem habet proprietatem, heres verò vsumfructum. Aut iterum, alteri legaui vsumfructum, tibi proprietatem: & hæc quidem in testamento. Porro autem sine testamento, siqui alteri velit vsumfructum constituere, pactionibus & stipulationibus id efficere debet. Ne verò in vniuersum inutiles essent proprietates, vsufructu semper separato, placuit certis quibusdā modis

modis extingui vsumfructum, & ad proprietatem reuerti. ¶ Constituitur autem vsusfructus non tantum in fundo aut ædibus, sed etiam in seruis, iumentis & aliis rebus, exceptis his quæ ipso vsu consumuntur. Harum enim neque naturali neque ciuili ratione consistere potest vsusfructus. Et quænam sunt hæ res? puta vinũ, oleum, frumentum, vestis. Quibus consimiles sunt & nummi, siue pecunia numerata. Nam & hi ipso vsu, & assidua permutatione, dum ab alio in alium transeunt, quodammodo extinguuntur. Quoniam verò ne procedere quidem in his vsusfructus dicitur, factum est senatusconsultum, censens & earum rerum quadam ratione posse vsumfructum constitui. Etenim si quis moriens, hæredem instituat, legétque tibi mille solidos aut mille sextarios vi-

σβέννυσθαι τὸν οὐσούφρουκτον, καὶ ὑποστρέφειν πρὸς τὴν προπριεταρίαν. ¶ Παραχωρεῖται δὲ οὐσούφρουκτος, οὐ μόνον ἀγροῦ ἢ οἰκίας, ἀλλὰ καὶ οἰκετῶν, καὶ ὑποζυγίων, καὶ τῶν λοιπῶν πραγμάτων, ἐξῃρημένων ἐκείνων ἅτινα αὐτῇ δαπανᾶται τῇ χρήσει. ἐπὶ τούτων γὰρ οὐδὲ φυσικῷ λόγῳ, οὐδὲ ἀκριβείᾳ, οὐσούφρουκτος δύναται συνεστάναι. καὶ ποῖα ταῦτα ἐστὶ τὰ πράγματα; οἷον οἶνος, ἔλαιον, σῖτος, ἐσθής· οἷς ἐστι παραπλήσια καὶ τὰ ἀργύρια. ἐν αὐτῇ γὰρ τῇ χρήσει, καὶ τῇ συνεχεῖ ἐναλλαγῇ, ἐκ τοῦ ἐξ ἑτέρου μετιέναι εἰς ἕτερον, τρόπον τινὰ ἀποσβέννυνται. ἐπειδὴ τοίνυν οὐδὲ λέγεται προβαίνειν ἐπὶ αὐτῶν οὐσούφρουκτον, δόγμα συγκλήτου γέγονε τὸ λέγον, ὥστε καὶ ἐπὶ αὐτῶν διὰ μεθόδου συνίστασθαι οὐσούφρουκτον. ἐὰν γὰρ τελευτῶν τις ἐνστήσηται κληρονόμον, ληγατεύσῃ δέ σοι χίλια νομίσματα, ἢ χιλίους ξέστας οἴ-

8. Constituitur.

νου, ἢ ἐλαίου. ἢ κ μοδίων σίτου οὐσούφρουκτον, λαμβάνων σὺ ὁ ληγατάριος τὰ νομίσματα, ἢ τὸν οἶνον, ἢ τὸ ἔλαιον, γίνῃ τούτων δεσπότης παρὰ τὴν φύσιν τοῦ οὐσουφρούκτου. ὁ γὰρ οὐσούφρουκτος, κατὰ ἀλλοτρίας δεσποτείας ἐστίν. ἀλλ' ἐπειδὴ οὐ συνέστηκε κατὰ τούτων κατὰ νόμους οὐσούφρουκτος, εἰκότως καὶ οἱ κανόνες ἐπὶ αὐτῶν παραβαίνονται τοῦ οὐσουφρούκτου· (ὁ γὰρ οὐσούφρουκτος, ὡς εἴρηται, κατὰ ἀλλοτρίας δεσποτείας ἐστί.) παρέξεις δέ μοι ἱκανοδοσίαν, ὅτι τοσαῦτα μὴ ἀποκαταστήσεις ὅσα καὶ λαμβάνεις, ἐὰν συμβῇ τελευτῆσαί σε, ἢ ὑποστῆναι κάπιτις δεμινουτζίονα. οὐ μόνον δὲ ἐπὶ τῶν εἰρημένων ἐστὶ ταῦτα, ἀλλὰ καὶ ἐπὶ τῶν λοιπῶν, οἷον ἐσθημάτων, ἢ κηροῦ, ἢ ἔνθα ἁπλῶς ἡ χρῆσις δαπανᾷ τὸ ὑποκείμενον. γίνεται δὲ ταῦτα τῆς δεσποτείας τοῦ ληγαταρίου, εἰ καὶ ἡ διατίμησις αὐτῶν ἀποκαθίσταται· (οὐ τῶν ἀργυρείων φημί· τὰ γὰρ ἀργύ-

ni vel olei, aut viginti modios frumenti, in vsumfructum tantùm: tu legatarius accipiens solidos, vinúmque aut oleum, præter naturam vsusfructus, dominus eorum fis: nam vsusfructus in aliena proprietate est. Sed quoniam his in rebus secundum leges, vsusfructus nō consistit, mirum non est si neque regulæ in vsufructu receptæ, hîc obseruentur: (Nam vsusfructus, vt dictum est, in aliena proprietate est.) sed satisdabis mihi, de tanto restituendo, quantum & accipis, si contingat vt moriaris, aut capitis deminutionem patiaris. Neque verò in his tantùm, quæ dicta sunt, procedunt hæc, verumetiam in ceteris, vt in vestimentis, in cera, aut vbi denique vsus, rem qua de agitur, consumit. Fit autem eorū dominus legatarius, si & æstimatio eorū ineatur (quod de pecunia nō dico: nā pe-

cunia

cunia non æstimatur. Per eam enim cætera æstimationem accipiunt) cautionem præstante legatario, vt quum mortuus fuerit, aut capite minutus, æstimatio earum rerum restituatur. Non igitur Senatus qui hæc censuit, vsumfructum in his constituit (quoniam ne potuit quidem) sed inuento *ἀσφαλείας, id est cautionis*, quendam quasi vsumfructum introduxit. ¶ Extinguitur autem vsusfructus morte vsufructuarij, & duabus capitis deminutionibus, maxima & media: item non vtendo per modum cõuentum, aut tempus constitutum: Quæ omnia Imperatoris nostri constitutio amplexa est. Similiter extinguitur vsusfructus si vsufructuarius vsumfructum proprietario cedat: extraneo enim cedens nihil agit & inefficax est talis ces-

ρεια οὐ διατιμᾶται, ὁπότε αὐτοῖς ἑτέρων ἐστὶ διατίμησις.) ἀσφάλειαν ποιοῦντος τοῦ ληγαταρίου, ὅτι τελευτήσας ἢ ὑποστὰς κάπιτις δεμινουτζίονα, τὴν τούτων τῶν πραγμάτων ἀποκαταστήσει διατίμησιν. ὥστε οὐκ ἡ σύγκλητος ἡ τοῦτο νομοθετήσασα, οὐ συνέστησε μὲν ἐπ' αὐτοῖς οὐσούφρουκτον (οὐδὲ γὰρ ἠδύνατο) διὰ δὲ τῆς μεθόδου cautionis, ἤτοι ἀσφαλείας, μίμησιν ἐπενόησεν οὐσουφρούκτου. ¶ Ἀποσβέννυται δὲ οὐσούφρουκτος τῇ τελευτῇ τοῦ οὐσουφρουκτουαρίου, καὶ ταῖς δύο κάπιτις δεμινουτζίοσι, τῇ μεγάλῃ καὶ τῇ μέσῃ, καὶ τῷ non vtendo τρόπῳ ῥητῷ καὶ ὡρισμένῳ χρόνῳ· ἅτινα πάντα περιέχεται διατάξει τοῦ ἡμετέρου βασιλέως. ὁμοίως ἀποσβέννυται ὁ οὐσούφρουκτος, ἐὰν ὁ οὐσουφρουκτουάριος τῷ προπριεταρίῳ τὸν οὐσούφρουκτον παραχωρήσῃ. ἐξωτικῷ γὰρ παραχωρῶν, οὐδὲν πράττει, ἀλλὰ ἀνενέργητός ἐστιν ἡ παραχώ-

8. Finitur.

ρησις. εἰ δὲ ἐκ τοῦ ἐναντίου ὁ οὐσουφρουκτουάριος ἐπικτήσεται τὴν δεσποτείαν, ὁμοίως παύεται. λέγεται δὲ τοῦτο consolidatio, ἤτοι σώρευσις, ὅτε συνέρχεται κατὰ ταυτὸν ὁ οὐσούφρουκτος τῇ προπριεταρίᾳ. εἰ δὲ οἰκίας ἔχει τις οὐσούφρουκτον, ἐμπρησθῇ δὲ ἡ οἰκία, ἢ ὑπὸ σεισμοῦ καταπέσῃ, ἢ ὑπὸ παλαιότητος κατενεχθῇ, ὁ οὐσούφρουκτος ἀποσβέννυται οὕτως, ὥστε μηδὲ τοῦ ψιλοῦ ἐδάφους τὸν οὐσουφρουκτουάριον σώζειν τὸν οὐσούφρουκτον· ἐπειδὴ μὴ ἐδάφους, ἀλλ' οἰκίας αὐτῷ παρεχωρήθη ὁ οὐσούφρουκτος. ἀποσβεσθεὶς δὲ ὁ οὐσούφρουκτος ἐκ τῶν εἰρημένων τρόπων, ἐπανέρχεται ἐπὶ τὴν προπριεταρίαν. καὶ ἐξ ἐκείνου τοῦ χρόνου ὁ δεσπότης τοῦ πράγματος, πληρεστάτην ἐπὶ τοῦ πράγματος ἔχει παρρησίαν· τουτέστι δύναται καὶ τοὺς καρποὺς λαμβάνειν. πάλαι γὰρ, οὐ δυνάμενος λαβεῖν τοὺς καρποὺς, οὐκ ἐδόκει ἔχειν τε-

sio. Sed & si contra vsufructuarius proprietatem acquirat, simili modo finitur. Vocatur autem hoc consolidatio, *quod est Græcis* σώρευσις: quoniam in vnum conueniunt vsusfructus & proprietas. Quod siquis ædium habeat vsumfructum, eæque vel incendio consumptæ sint, vel terræ motu subsederint, vel vetustate conciderint, vsusfructus extinguitur, sic vt ne nudi quidem soli siue areæ vsusfructus vsufructuario relinquatur, quoniam ei non soli, sed ædium vsusfructus erat cōstitutus. Extinctus autem vsusfructus aliquo ex dictis modis, ad proprietatem recurrit. Et ex eo tempore dominus rei plenam in ea incipit habere potestatem, hoc est fructus capere potest. Nam antè, cùm fructus capere non posset, non plenam videbatur habere

bere in re potestatem. — λείαν ἐξουσίαν ἐπὶ τοῦ πράγματι.

## DE VSV ET HABITATIONE. Tit. V.

Post seruitutes & vsumfructum consequens est dicere de vsu & habitatione. Vsus iisdem modis constituitur, & iisdem extinguitur, quibus vsusfructus: minus autem lucri est in vsu quam in vsufructu. Nam qui vsum fundi habet, nihil amplius habere potest quam vt oleribus ibi natis, pomis, floribus, fœno, stramentis & lignis, quantum vsui quotidiano satis est, vtatur. Eatenus quoque vsuario in fundo hærere licet, vt neque fundi domino molestus sit, neque his per quos opera rustica fiunt, impedimento sit. Vsum autem vendere, locare, aut gratis

Μετὰ τὰς δουλείας καὶ τὸν οὐσούφρουκτον, ἀκόλουθον εἰπεῖν περὶ οὔσου καὶ ἀβιτατζίονος. ὁ οὖσος τοῖς αὐτοῖς συνίσταται τρόποις, καὶ τοῖς αὐτοῖς ἀποσβέννυται, οἷς καὶ ὁ οὐσούφρουκτος. ἧττον δέ ἐστι τὸ κέρδος τὸ ἐκ τοῦ οὔσου ἤπερ τὸ ἐκ τοῦ οὐσουφρούκτου. ὁ γὰρ οὖσον ἔχων ἐν τῷ ἀγρῷ, οὐδὲν πλέον ἔχειν δύναται ἤπερ τὸ κεχρῆσθαι τοῖς ἐκεῖσε γινομένοις λαχάνοις, ὀπώραις, ἄνθεσι, χόρτοις, ταῖς φυλλάσι, ξύλοις, τοῖς πρὸς τὴν καθ' ἡμέραν χρῆσιν ἀρκοῦσι. μέχρι δὲ τοσούτου ἔξεστι τῷ οὐσουαρίῳ διατρίβειν ἐν τῷ ἀγρῷ, ὥστε μὴ φαίνεσθαι αὐτὸν ἐπαχθῆ τῷ δεσπότῃ τοῦ ἀγροῦ, οὐδὲ τοῖς τὸν ἀγρὸν γεωργοῦσι γίνεσθαι πρὸς ἐμπόδιον. [illegible] αὐτοῦ τὸν οὖσον πα- [illegible]

παραχωρεῖν ἑτέρῳ, ὁπότε τῷ οὐσουφρουκτουαρίῳ πάντα ταῦτα πράττειν ἐπιτέτραπται.

§. Item is. ¶ Ὁ δὲ οἰκίας οὖσον ἔχων, μέχρι τοσούτου νοεῖται παρρησίαν ἔχειν ὥστε αὐτὸν μόνον οἰκεῖν, οὐ μὴν τοι μεταφέρειν ἐφ' ἕτερον τὴν ἀβιτατζιόνα, ἤγουν τὴν οἴκησιν. ἐζητήθη δὲ εἰ φίλον ἔξεστιν αὐτῷ δέχεσθαι. καὶ ἤρεσεν, ὥστε δύνασθαι. ἐπιτέτραπται δὲ αὐτῷ ἔχειν ἐν τῇ ἀβιτατζιόνι τὴν γαμετὴν καὶ τοὺς οἰκείους παῖδας, καὶ ἀπελευθέρους· οὐ μὴν ἀλλὰ καὶ ἄλλους ἐλευθέρους, οἷς οὐχ ἧττον ὡς οἰκέταις κέχρηται, οἷον μισθωτοῖς. εἰ δὲ καὶ γυναικὶ οὖσος οἰκίας καταλειφθῇ, ἔξεστιν αὐτῇ ἀκωλύτως ἐκεῖ συνοικεῖν τῷ ἀνδρί.

§. Item is ad quem. ¶ Ἐὰν οἰκέτου οὖσός μοι παραχωρηθῇ, ἐγὼ μόνος ταῖς operis αὐτοῦ, καὶ τῇ ὑπηρεσίᾳ κεχρῆσθαι δύναμαι. τὸ αὐτό ἐστιν εἰ καὶ ὑποζυγίου οὖσός μοι παραχωρηθῇ. εἰ δὲ θρεμμάτων, οἷον προβάτων, οὖσός μοι ληγατευθῇ, οὐ-

alteri cedere, non licet, cùm vsufrufructuarius omnia hæc facere posit.

¶ Item is qui ædium vsum habet, eatenus potestatem habere intelligitur, vt ipse tantùm habitet, non vt in alterum habitationem transferat. Vnde quæsitum est an amicum recipere liceat: & placuit, posse. Concessum autem ei est habere in habitatione, vxorem, & liberos, sed & libertos: quinetiam & alios quanuis essent liberi, quibus non minus quàm seruis vtatur, velut mercede conductos. Quòd si mulieri vsus ædium relictus sit, potest ibi sine dubio cum viro habitare.

¶ Item si vsus mihi sit concessus serui, ego solus operis eius & ministerio vti possum: idémque est & si iumenti vsum habeam. Quòd si pecorum vel ouium mihi vsus legatus sit, neque

que lacte, neque agnis, neque lana ipsarum vti concessum est. Hæc enim in fructu sunt, hoc est vsusfructus sunt, non vsus. Sed in hoc tantùm mihi prodest vsus ouium, quòd possim eas in fundum meum mittere, & eum ita stercorare. nam ouium fimus fundum reddit fertilem & pinguem. ¶ Sicut habitatio legata, vel alio modo constituta sit, neque vsus id videtur, neque vsusfructus, sed quasi ius quoddam proprium. Quæsitum est autem an qui habitationem haberet, alteri eam posset locare. Et cùm multi iurisconsulti contradicerent, ac solus Marcellus locare permitteret, facta est religiosissimi Imperatoris nostri constitutio, quæ hanc controuersiam decidit, approbata Marcelli sententia, propter vtilitatem rerum, permittens non ipsum tantùm habitare si velit, sed

τε τῷ γάλακτι, οὔτε τοῖς ἀρνίοις, οὔτε τῷ ἐξ αὐτῶν ἐρίῳ συγχωρούμεθα κεχρῆσθαι· ἐπειδὴ ταῦτα ἐν καρπῷ ἐστι· τουτέστιν οὐσουφρούκτου ἐστὶ καὶ οὐχὶ οὔσου. ἀλλ' εἰς τοῦτο μόνον συμβάλλεταί μοι τὸ ἔχειν οὖσον προβάτων, ὥστε δύνασθαι ἄγειν αὐτὰ εἰς τὸν ἐμὸν ἀγρὸν, καὶ τοῦτον κοπρίζειν. ἡ γὰρ τῶν προβάτων κόπρος εὐθαλῆ καὶ γόνιμον ἀποτελεῖ τὸν ἀγρόν. ¶Ἐὰν ἀβιτατζίων ληγατευθῇ τινὶ, ἢ καὶ ἑτέρῳ τρόπῳ συστῇ, οὔτε οὖσος δοκεῖ τοῦτο εἶναι, οὔτε οὐσουφρούκτος, ἀλλ' ὡσανεὶ ἰδιάζον δίκαιόν τι. ἐζητήθη δὲ, εἰ ὁ ἔχων ἀβιτατζίονα δύναται ταύτην ἑτέρῳ μισθοῦν. καὶ πολλῶν ἐναντιουμένων νομικῶν, μόνου δὲ Μαρκέλλου ἐπιτρέποντος τὸ μισθοῦν, γέγονε διάταξις τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως τέμνουσα τὴν ζήτησιν, καὶ τὴν Μαρκέλλου δεχομένη γνώμην διὰ τὸ χρήσιμον τῶν πραγμάτων ἐπιτρέπουσα μὴ μόνον οἰκεῖν αὐτὸν εἴγε βούλεται, ἀλλὰ

8. Sed si cui.

θ. Hæc de seruitutibus.

καὶ ἑτέροις μισθοῦν. ¶ Ἀρκεῖ ταῦτα περὶ δουλειῶν τε οὐσουφρούκτου, καὶ οὔσου, καὶ ἀβιταζίονος διεξελθεῖν· περὶ δὲ κληρονομίας καὶ ἐνοχῶν ἐν τοῖς οἰκείοις ἐκτεθήσεται τόποις. ἐπειδὴ δὲ εἰρήκαμεν ὡς ἐν συντόμῳ τίσι τρόποις φυσικῶς κτώμεθα τὰ πράγματα, νῦν ἀναγκαῖον εἰπεῖν τίσι τρόποις νομίμῳ καὶ πολιτικῷ δικαίῳ τὰ ἀλλότρια κτᾶσθαι δυνάμεθα.

etiam alteri locare. ¶ Hæc de seruitutibus, vsufructu, vsúque, & habitatione disseruisse sufficiat. De hæreditatibus autem & obligationibus, suis exponemus locis. Quoniam verò dictum est summatim quibus modis naturaliter res adquiramus, necessarium est nunc dicere quibus modis legitimo ac ciuili iure aliena adquirere poßimus.

## DE VSVCAPIONIBVS ET LONGI temporis præscriptionibus.

Tit. VI.

Διεξελθόντες τὰς φυσικὰς κτήσεις, διαλάβωμεν καὶ περὶ τῶν ἐννόμων. ὅτι μὲν ἐάν τις τὸ οἰκεῖον ἐμοὶ παραδιδούσῃ πρᾶγμα, μεταφέρει τὴν προσοῦσαν δεσποτείαν, συνωμολόγηται. τί δὲ ὅτι ἀλλότριον τις πρᾶγμα, οὗ οὐκ ἦν δεσπότης, ἐπαραδίδουσέ μοι; ἆρα μεταφέρει ἐνταῦθα τὴν δεσποτείαν; καὶ λέγομεν ὅτι οὐδαμῶς. πῶς γὰρ, ἣν οὐκ εἶχε;

Cvm dictum sit de naturalibus acquisitionibus, tractemus & de ciuilibus. Quòd igitur is qui suam mihi rem tradit, adhærens dominium transferat, in confesso est. Quid autem si alienam mihi quis rem, cuius non sit dominus, tradat? an transfert hic dominium? & dicimus, quòd nequaquam. Quomodo enim, quod non habe-

bat? Quid ergo? Possessionem in me aut detentationem quam habebat transtulit. Nec ea parua res est. nam si bona fide rem accipiam: (est autem bona fide accipere, si credam eum dominum esse qui vendidit, aut donauit, aut ex alia iusta causa, velut ex permutatione dedit:) olim quidem, si res erat mobilis, anno elapso, dominus fiebam, siue in Italia, siue in prouinciis agerem. Sin verò immobilis, per biennii lapsum, quum fundus aut domus esset in Italia, vsucapiebatur à me, ex lege duodecim Tabularum, & mei dominii fiebat. Nec verò iniquam esse legem aliquis existimauerit, quòd alter per vsucapionem (hoc est temporalem possessionem) dominus efficeretur, & alter dominio rerum suarum priuaretur.

τί οὖν; μετήγαγεν ἐπ' ἐμὲ αὐτὴν ἣν εἶχε νομὴν, ἤτοι κατοχὴν· καὶ οὐκ ἔστι τοῦτο μικρόν. εἰ γὰρ βοναφίδει δέξομαι τὸ πρᾶγμα. βοναφίδει δέ ἐστι, τὸ πιστεύειν με δεσπότην εἶναι τὸν πεπρακότα, ἢ δωρησάμενον, ἢ ἐξ ἄλλης εὐλόγου αἰτίας. οἷον ἀπὸ περμουτατζίονος, ἤγουν ἀνταλλαγῆς παραδεδωκότα. πάλαι μὲν εἰ κινητὸν ἦν τὸ πρᾶγμα ἐνιαυτοῦ παραδραμόντος, ἐγινόμην δεσπότης, εἴτε ἐν τῇ ἰταλίᾳ, εἴτε ἐν ταῖς ἐπαρχίαις διῆγον. εἰ δὲ ἀκίνητον διετίας παρελθούσης, ἐν ᾧ ἦν ἀγρὸς ἐν ἰταλίᾳ διακείμενος, ἢ οἰκία, οὐσουκαπιτεύετο παρ' ἐμοῦ, τουτέστι, διὰ τῆς χρήσεως ἐλαμβάνετο, καὶ τῆς ἐμῆς ἐγίνετο δεσποτείας ἐκ τοῦ δωδεκαδέλτου νόμου τοῦτο κελεύσαντος. καὶ μή τις νομιζέτω ἄδικον εἶναι τὸν νόμον, ὅτι ἕτερος μὲν διὰ τῆς οὐσουκαπίονος, τουτέστι, τῆς χρονίας νομῆς ἐγένετο δεσπότης, ἕτερος δὲ τῶν οἰκείων ἐστερεῖτο πραγμάτων.

τοῦτο γὰρ ἐπενοήθη ὑπὲρ τοῦ μὴ φθείρεσθαι αὐτὰ τὰ πράγματα. ἕκαστος γὰρ ἀγνοῶν πότερον αὐτῷ διαφέρει τὸ πρᾶγμα ὃ νέμεται, οὐδεμίαν ἐποίει τούτου φροντίδα, ἐλπίζων ὁτεδήποτε παραγενήσεσθαι τὸν ἀληθῆ δεσπότην, καὶ τοῦτο ἀποσπᾶν. καὶ ἐκ τῆς τοιαύτης αἰτίας ἐραθύμουν οἱ ἄνθρωποι, καὶ ῥαθυμούντων αὐτῶν, ἔμελλον ἀπρονόητα τὰ πράγματα, καὶ τῶν πραγμάτων ὄντων ἀπρονοήτων, ἀπώλεια καὶ φθορὰ εἰκότως αὐτοῖς προσεγίνετο. καταστοχασάμενος οὖν ὁ δωδεκάδελτος τῆς τοιαύτης ἀνθρώπων ἐννοίας, ὥρισε χρόνον ἐνιαυτοῦ ἐπὶ τῶν κινητῶν. διετίαν δὲ ἐπὶ τῶν ἀκινήτων. οὗ ἐντὸς εἰ μὴ παραγένηται ὁ δεσπότης, ἀναφαίρετον μένει τὸ πρᾶγμα παρὰ τῷ νεμομένῳ, οὐκ ἀγανακτούντων τῶν δεσποτῶν, ἤρκει γὰρ αὐτοῖς ἐνιαυτοῦ ἢ διετίας χρόνος πρὸς ἀναζήτησιν τῶν οἰκείων πραγμάτων. ἀλλὰ ταῦτα μὲν

Id enim adinuentum est ne res ipsæ perirent. Namque vnusquisque ignorans, num verè esset dominus rei quam poßideret, nullam omnino in eam curam impendebat, semper timens, ne quando verus dominus veniret, & eam sibi auferret. Et ea de causa socordes quoque erant mortales, & per socordiam ipsorum, sine cura sollicitudinéque res erant, quod cùm esset, illud quoque nimirum eueniebat, vt corrumperentur, & pessum irent. Perspecta igitur hac hominum cogitatione lex duodecim Tabularum in re mobili tempus anni statuit: in immobili, biennium: intra quod nisi dominus adesset, res à possessore auferri non posset. Nec id admodum indignantibus dominis. Sufficiebat enim his anni aut biennij tempus ad inquisitionem rerum suarum. Et hæc quidē

kx

lex duodecim Tabularum. Imperator verò noster meliore & humaniore sententia vsus, sanxit, ne tam facilè tamque celeriter, rebus suis domini defraudarentur. Neque iterum certo loco beneficentiam suam coangustauit, sed generalem ea de re promulgauit constitutionem. Qua cautum est, vt res quidem mobiles vbique elapso triennio vsucapiantur: immobiles verò per longi temporis possessionem, id est, si præsentes sint domini, decennio: sin absentes, viginti annis elapsis. Verbi gratia. Fundum tradidisti mihi, aut domum ad Titium spectantem, cùm te dominum eius putarem, & ita bona fide rem accipienti. Si præsens est Titius, decennium mihi ad vsucapionem sufficit: sin verò peregrè, viginti anni. Hæc autem non de his tantùm, quæ in Italia sita

ὁ δυωδεκάδελτος. ὁ δὲ ἡμέτερος βασιλεύς, καλλίονι καὶ φιλανθρωποτέρᾳ διανοίᾳ χρησάμενος, προσέταξε, μὴ συντόμως στερεῖσθαι τοὺς δεσπότας τῶν οἰκείων πραγμάτων. καὶ οὐδὲ ῥητῷ τόπῳ τὴν οἰκείαν ἐστένωσεν εὐεργεσίαν, ἀλλ᾽ ἐξεφώνησεν ὑπὲρ τούτου γενικὴν διάταξιν, ἐν ᾗ διηγόρευται, ὥστε τὰ μὲν κινητὰ πράγματα πανταχοῦ τῆς τριετίας παραδραμούσης οὐσουκαπιτεύεσθαι, τὰ δὲ ἀκίνητα, διὰ τῆς τοῦ μακροῦ χρόνου κατοχῆς. εἰ μὲν πάρεισιν οἱ δεσπόται δεκαετίας, εἰ δὲ ἀπολιμπάνονται, εἰκοσαετίας παρελθούσης. οἷον, ἀγρὸν ἐτραδίτευσάς μοι, ἢ οἰκίαν τιτίῳ διαφέρουσαν, ὑποπτεύοντί μοι εἶναί σε δεσπότην, καὶ διὰ τοῦτο βοναφίδε δεχομένῳ τὸ πρᾶγμα. εἰ μὲν ἐνδημεῖ ὁ τίτιος, ἀρκεῖ μοι πρὸς οὐσουκαπίονα δεκαετία. εἰ δὲ ἀπολιμπάνεται, εἰκοσαετία. ταῦτα δὲ οὐ μόνον ἐπὶ τῶν ἐν Ιταλίᾳ διακειμέ-

γων ἀκινήτων, ἀλλὰ γὰρ καὶ ἐπὶ τῶν ἐν ἐπαρχίαις, ἃ πάλαι στιπενδιάρια καὶ τριβουτάρια προσηγορεύοντο. καὶ ἁπλῶς ἐν πάσῃ γῇ ὑπὸ τὴν αὐτοῦ τελούσῃ βασιλείαν, κρατεῖν ἐνομοθέτησε. πανταχοῦ μέντοι βοναφίδει νομῆς προηγουμένης.

§. Sed aliquando.

¶ Ἐπειδὴ δὲ εἰρήκαμεν τὸν βοναφίδει νεμόμενον δύνασθαι οὐσουκαπιτεύειν, ἔστιν εὑρεῖν θέματα ἃ μὴ ποιεῖ ἡμῖν οὐσουκαπίονα. οἷον, ἐάν τις νέμηται ἐλεύθερον πρόσωπον, ἢ σάκρον, ἢ ῥελιγίοσον. ἐπειδὴ γὰρ ἡ οὐσουκαπίων δεσποτείαν ποιεῖ, κρείττονα δὲ ταῦτα τὰ πράγματα τοῦ δεσπόζεσθαι, εἰκότως, οὐχ ὑπόκειται οὐσουκαπίονι.

§. Furtiuæ.

¶ Τὸ αὐτὸ νοεῖν ὀφείλομεν, καὶ ἐάν τις τὸν ἀλλότριον νέμηται φυγάδα, οὐχ ὑπόκειται οὐσουκαπίονι, οὐδὲ τὰ furtiua, οὐδὲ τὰ vi possessa, ἤτοι τὰ βιαίως κατεχόμενα, οὐδὲ δεκαετίας, ἢ εἰκοσαετίας παραδραμούσης, καὶ βοναφίδε νεμομένου. ἀλλὰ

sunt immobilia, constituta sunt, sed & de his, quæ in Prouincijs: ac olim stipendiaria aut tributaria appellabantur, & vt breuiter dicam, in tota terra eius imperio subiecta, vbique tamen bonæ fidei possessione præcedente. ¶ Quoniam vero dictum est, bonæ fidei possessorem vsucapere posse: inuenire est casus, in quibus vsucapio non procedat. Verbi gratia. Si quis liberam personam possideat, aut rem sacram religiosámve. Nam quia dominium adquirit vsucapio: hæc autem in dominium nullius recidunt: meritò, nec vsucapioni subiiciuntur. ¶ Idem dicendum est, si quis alienum fugitiuum possideat: neque enim vsucapione subiicitur. Neque item res furtiuæ, neque vi possessæ: etiam si quis decem aut viginti annis eas bona fide possederit. Hæc

autem ita accipe, vt furtiuas intelligas, in mobilibus: vi possessas, in immobilibus. Nam furtiuarum rerum vsucapionem inhibuit lex duodecim Tabularum & lex Atilia: vi possessarum, lex Iulia & lex Plautia. Cùm te igitur aliquis consulit, num ille, quod ex venditione possidet, vsucapere possit: id te ante omnia quærere oportet, bona fide an mala possideat. Et vbi intellexeris bona fide possidere: ad secundam mox quæstionem decurre, & roga, num sacra sit res, num religiosa, num libera persona, num furtiuum, num vi possessum. Et si quid eorum inueneris, dic vsucapionem non procedere propter vitium rei inhærens, quoniam furtiua est aut vi possessa. An igitur fur, quive per vim possidet, vsucapere potest? Fortè inconsultè prosiliens, dices nequaquam:

τὰ μὲν furtiua δέξαι ἐπὶ τῶν κινητῶν, τὰ δὲ vi possessa, ἐπὶ τῶν ἀκινήτων. ἐκώλυσε γὰρ τὴν οὐσουκαπίονα, τῶν μὲν φουρτίβων ὁ δυωδεκάδελτος, καὶ ὁ Ἀτίλιος νόμος. τῶν δὲ vi possessorum, ὁ Ἰούλιος καὶ ὁ Πλαύτιος. ἡνίκα οὖν ἐρωτᾷ σέ τις, εἰ ὁ δεῖνα ὃ νέμεται κατὰ πρᾶσιν δύναται οὐσουκαπιτεύειν. δεῖ σε ζητεῖν κατὰ πρώτην τάξιν, πότερον βοναφίδε, ἢ μαλαφίδε νέμεται. καὶ εἰ μὲν μάθῃς ὅτι βοναφίδει, ὅρμησον εὐθέως ἐπὶ τὴν δευτέραν ἐρώτησιν, καὶ ἐρώτησον, μὴ σάκρον ἐστὶ τὸ πρᾶγμα, μὴ ῥελεγιόσον, μὴ ἐλεύθερον πρόσωπον, μὴ φούρτιβον, μὴ βὶ ποσσέσσον· καὶ ἐάν τι τούτων εὕρῃς, λέγε μὴ προβαίνειν τὴν οὐσουκαπίονα, ἀλλὰ τὸ πρόσον τῷ πράγματι βίτιον, ἤτοι ψόγον, ἐπειδὴ φούρτιβόν ἐστιν, ἢ βὶ ποσσέσσον. ἆρα οὖν ὁ κλέπτης καὶ ὁ βίαιος δύναται οὐσουκαπιτεῦσαι; ἴσως προπηδήσας ἐρεῖς, ὅτι οὐδαμῶς,

ἀλλὰ

διὰ τὸ προσὸν βίτιον, ἐπειδὴ φούρτιβόν ἐστιν, ἢ βὶ πόσεσσον. ἀλλ᾽ οὐ δεῖ σε τοῦτο λέγειν. ἐπελάθου γὰρ τῆς τάξεως. ἀλλὰ χρή σε λέγειν μὴ προβαίνειν τὴν οὐσουκαπίονα, διὰ τὸν προλεγέντερον λόγον. τουτέστιν ἐπειδὴ μαλαφίδεϊ νέμεται. οἶδε γὰρ ὅτι φούρτιβον, ἢ βὶ πόσεσσόν ἐστιν. εἰ δὲ ὁ βίαιος, ἢ ὁ κλέπτης ἑτέρῳ τοῦτο παράσχῃ βοναφίδε λαμβάνοντι, τότε ὅσον μὲν ἐκ τῆς προτέρας ἀποκρίσεως, ἐπειδὴ βοναφίδεϊ νέμεται ὁ κατέχων τὸ πρᾶγμα, οὐκ ἐμποδίζεται ἡ οὐσουκαπίων, ἀλλὰ διὰ τὸ προσὸν τῷ πράγματι βίτιον κωλυθήσεται. ἔστι γὰρ φούρτιβον, ἢ βὶ πόσεσσον. καὶ τί ἐστι φούρτιβον; φούρτιβόν ἐστιν οὐ μόνον τὸ νύκτωρ, ἢ μεθ᾽ ἡμέραν λάθρα λαμβανόμενον· ἀλλὰ γὰρ πᾶν πρᾶγμα κινητὸν ἀλλότριον, παρὰ γνώμην τοῦ δεσπότου ψηλαφώμενον. ψηλαφᾶν δέ ἐστι, τὸ ὡς δεσπότην ἀναστρέφεσθαι περὶ τὸ πρᾶγμα, καὶ πρατ-

propter vitium quod rei adhæret: nam furtiua est, aut vi possessa. Verùm id te dicere non oportet. Ordinis enim es oblitus. Sed dicere debes, vsucapionem non procedere, propter priorem rationem, quoniam mala fide possidet. Nouit enim furtiuam esse, aut vi possessam. Quòd si fur quive per vim possidet, eam rem alteri bona fide accipienti tradat, tunc ex priori responsione, cum bona fide possideat is, qui rem possidet: vsucapio non impeditur, sed propter vitium rei inhærens prohibebitur: nam furtiua est, aut vi possessa. Et quid est furtiuum? Furtiuum est, non solùm, quod noctu aut interdiu clàm surripitur, sed etiam quæcumque res mobilis aliena, quæ inuito domino contrectatur. Contrectare autem est, vt dominum circa rem versari, & omnia

in ea agere, quæ domini solent. Atqui, si verum est quod dicimus: numquam res aliena vsucapietur. Quicumque enim rem alienam possidet, inuito domino eam contrectat. Sin autem inuito domino contrectat, furtiuam reddit: Quòd si furtiua est, prohibetur vsucapio. Vitio igitur laborat definitio, & adiiciendum est ei, Malo animo, & dicendum: Furtiuum est, non solum quod noctu vel interdiu clàm subripitur, sed omne alienum mobile, quod malo animo inuito domino contrectatur. Sic enim definitio, sine defectu ac vitio est. ¶ Atqui, quamuis hoc addito, inuenio tamen cur vsucapio non procedat. Nam qui rem alienam inuito domino possidet, profectò malo animo eam contrectat, & furtiuam reddit. Sed

τὴν τὰ πρέποντα δεσπόταις ἐπ' αὐτῷ. ἀλλ' εἰ ἀληθὲς τὸ εἰρημένον, οὐδέποτε ἀλλότριον πρᾶγμα δυνάται οὐσουκαπιτεύεσθαι. πᾶς γὰρ ὃς νέμεται τὸ ἀλλότριον πρᾶγμα, παρὰ γνώμην τῶν δεσποτῶν ψηλαφᾷ, εἰ δὲ παρὰ γνώμην δεσπότου ψηλαφᾷ, φούρτιβον ἀποτελεῖ τὸ πρᾶγμα. εἰ δὲ φούρτιβόν ἐστιν, ἐπέχεται ἡ οὐσουκαπίων. ἐλλιπῶς ὁ ὅρος ἔχει, καὶ δεῖ προσθεῖναι αὐτῷ τὸ κακῇ διαθέσει, καὶ λέγειν, ὅτι φούρτιβόν ἐστιν, οὐ μόνον τὸ νύκτωρ, ἢ μεθ' ἡμέραν λάθρα λαμβανόμενον, ἀλλὰ πᾶν πρᾶγμα κινητὸν ἀλλότριον παρὰ γνώμην δεσπότου κακῇ διαθέσει ψηλαφώμενον. οὕτως γὰρ ἔχων ὁ ὅρος, ἀνελλιπής ἐστιν. ¶ Ἀλλὰ καὶ τούτου προστεθέντος, εὑρίσκομεν τὴν οὐσουκαπίονα μὴ προβαίνουσαν. εἰ γὰρ νέμεταί τις τὸ ἀλλότριον πρᾶγμα παρὰ γνώμην δεσπότου, κακῇ διαθέσει τοῦτο ψηλαφᾷ, καὶ ἀποτελεῖ αὐτὸ φούρτιβον. ἀλλ'

β. Sed tamē id.

[illegible]

οὐκ ἔστι τοῦτο ἀληθές. ἐνδέχεται γάρ τινα ψηλαφᾶν τὸ ἀλλότριον πρᾶγμα παρὰ γνώμην δεσπότου, καὶ κλοπὴν μὴ ἁμαρτάνειν, διὰ τὸ ἐστερῆσθαι αὐτὸν κακῆς διαθέσεως. οἷον ὡς ἐπὶ τούτου τοῦ θέματος, ἔχρησα ἐγὼ Τιτίῳ τὸ ἐμὸν βιβλίον, ἢ, ἐμίσθωσα αὐτῷ τὸν ἐμὸν οἰκέτην, ἢ, παρεθέμην αὐτῷ τὸν ἐμὸν δίσκον. ἐτελεύτησεν οὗτος ἐπί σοι κληρονόμῳ. εὗρες ταῦτα ἐν τῇ κληρονομίᾳ. ὑποπτεύσας αὐτὰ ἐρεδιτάρια εἶναι, διεπώλησας τινὶ bona fide λαμβάνοντι, ἢ ἐδωρήσω, ἢ εἰς προῖκα ἐπέδωκας. ἰδοὺ, ἀλλότριον πρᾶγμα. καὶ παρὰ γνώμην δεσπότου ψηλαφᾶς, καὶ ὅμως φούρτιβον οὐκ ἀποτελεῖται τὸ πρᾶγμα, ἐπειδὴ πονηρᾶς ἀπήλλακται διαθέσεως. διὸ ὁ λαβὼν, ἀμάχως οὐσουκαπιτεύσει τὸ πρᾶγμα, ἐπειδὴ καὶ βοναφίδεϊ νέμεται, καὶ ἀπήλλακται βιτίου τὸ πρᾶγμα. οὐδὲ γὰρ δυνατὸν εἰπεῖν κλοπὴν ἡμαρ-

verum hoc non est: Fieri enim potest vt rem alienam quis contrectet inuito domino, & furtum tamen non committat, quoniam malo affectu caret. Velut in hac specie. Commodaui Titio librum meum, aut seruum meum locaui, aut lancem meam apud eum deposui. Defunctus est hic, te herede. Tu ea in hereditate inuenisti, & hereditaria esse putasti: vendidisti alicui bona fide accipienti, aut donasti, aut in dotem dedisti. Ecce rem alienam, & inuito domino contrectas: furtiua tamen non fit, quoniam malus animus abest. Quapropter, is qui accepit, sine dubio rem vsucapiet, quoniam & bona fide possidet, & res abest à vitio. Neque enim dicere possumus, heredem, qui

qui bona fide vendidit, furtum committere. Id & in alia specie inueniri re est. Vsumfructum tibi ancillæ meæ concessi. Vsusfructus autem ancillæ in opera manuum & ministerio eius est. Ea apud te enixa est. Palàm est, partum eius mihi domino adquiri, vt in superioribus dictum est. Tu tamen existimans partum ancillæ ad te vsufructuarium spectare, vendidisti, aut donasti eum. Ecce & hic inuito domino fecisti: quoniam tamen malo animo vacabas, furtum eo facto non committitur. In vniuersum enim id scire debes, furtum sine malo animo non fieri. Furtum enim sine affectu furandi nõ committitur. Et

τάνειν τὸν κληρονόμον, τὸν βοναφίδει πωλήσαντα. ἔστιν εὑρεῖν τοῦτο καὶ ἐπὶ ἑτέρου θέματος· παρεχώρησά σοι τὸν τῆς ἐμῆς θεραπαίνης οὐσούφρουκτον. (οὐσούφρουκτος δὲ θεραπαίνης ἐστίν, ἡ ἀπὸ τῶν χειρῶν ἐργασία αὐτῆς καὶ ἡ ὑπηρεσία) τέτοκεν αὕτη παρὰ σοί, καὶ δῆλον ὅτι ὁ τοκετὸς ἐμοὶ τῷ δεσπότῃ διέφερε κατὰ τὰ προειρημένα ἐν τοῖς προλαβοῦσιν. νομίσας οὖν τὸν τοκετὸν τῆς θεραπαίνης, διαφέρειν σοι τῷ οὐσουφρουκτουαρίῳ, ἐπώλησας τοῦτον, ἢ ἐδωρήσω. ἰδοὺ κἀνταῦθα παρὰ γνώμην ἐποίησας δεσπότου, καὶ διὰ τὸ ἐλεύθερόν σε εἶναι πονηρᾶς διαθέσεως, οὐχ ἁμαρτάνεται κλοπὴ διὰ τοῦ γινομένου. καθ' ὅλου γὰρ ὀφείλεις εἰδέναι, κλοπὴν δίχα κακίστης διαθέσεως, μηδέποτε ἁμαρτάνεσθαι. Furtum enim sine affectu furandi non committitur. τουτέστι, κλοπὴ ἄνευ διαθέσεως τοῦ κλέπτειν οὐχ ἁμαρτάνεται.

καὶ ἐγὼ μὲν ὀλίγιστά σοι εἶπον θέματα. ἡ δὲ τῶν πραγμάτων περίστασις ἐπινοεῖν δύναται πάμπολλα. ἐν οἷς εὑρεθήσεται τὸ ἀλλότριόν τις ἐκποιῶν παρὰ γνώμην δεσπότου, καὶ φούρτιβον αὐτὸ μὴ ἀποτελῶν. ¶ Ταῦτα μὲν περὶ τῶν φουρτίβων. τὸ δὲ βὶ πόσσεσσον, ἀπὸ τῆς ἐν ἔργῳ κρίνεται βίας. ὅτε τὶς ἐπελθών μοι, βίᾳ με ἐξωθήσει τῆς ἐμῆς οἰκίας, ἢ τοῦ ἐμοῦ ἀγροῦ. τὸ γὰρ φούρτιβον, ἀπὸ νομικῶν κανόνων καταλαμβάνεται. ὥστε οὐκ ἐὰν βίᾳ σε ἐξωθήσω τοῦ ἀκινήτου πράγματος, οὐ δύναμαι τοῦτο οὐσουκαπιτεύειν. ἐπειδὴ μαλαφίδει νέμομαι. οὐ μὴν, οὐδὲ ὁ βοναφίδει τοῦτο λαβὼν παρ' ἐμοῦ, διὰ τὸ προσὸν τῷ πράγματι βίτιον· ἔστι γὰρ βὶ πόσσεσσον. εἰ δὲ καθαρεύει τῆς ἐν ἔργῳ βίας, ὁ τοῦτο λαμβάνων παρ' ἐμοῦ βοναφίδει οὐσουκαπιτεύειν δύναται. καὶ πῶς συμβαίνει ἀναγκαῖον εἰπεῖν. εἶχέ τις ἀγρὸν ἀποδημήσας,

§. Quod autem,

paucas ego tibi species enarraui: sed rerum ipsarum varietates atque circumstantiæ multas alias producere poterunt, in quibus aliquis rem alienam inuito domino alienabit, nec tamen furtiuam reddet. ¶ Et hæc quidem de furtiuis. Porrò res vi possessa, ex facto vim inferentis æstimanda est. vt si quis me aggressus, vi ex ædibus meis aut fundo me expellat. Nam quid furtiuum sit, ex iuris regulis cognoscitur. Si te igitur vi ex re immobili expellam, non possum eam vsucapere: quoniam mala fide possideo. Sed & si quis bona fide eam à me accipiat, non vsucapiet, propter vitium quod rei inest. Est enim vi possessa. Quòd si nullo vis illatæ vitio laboret, is qui eam bonafide accepit vsucapere potest. Et qualiter id contingat, dicere necesse est. Habebat aliquis fundum,

eum peregrè profectus vacuum reliquit, aut etiam præsens, nullam eius curam habuit, aut mortuus est sine successore, neque quisquam omnino hereditatem eius adiit. Ego conspicatus vacantem esse hunc fundum, nec à quoquam possideri, in possessionem eius intraui: vsucapere eam nullo modo potero, mala enim fide possideo, sciens esse alienum. Quòd si eum alteri tradam bona fide accipienti, procedit vsucapio: & longum tempus, d minium ei, vt dictum est, adquirit. Quoniam neque prior responsio vsucapionem impedit, quippe cùm bona fide possideat: neque rursus posterior, abest enim res à vitio. Atqui dicere posset aliquis furtiuā rem esse factam. Nam cùm ego sciens esse alienum fundum, eum tamen vendam, furtiuum videor facere. Sed falsa est ratio hæc:

κατέλιπε τοῦτον ἀπερινόητον, ἢ καὶ παρὼν, οὐδεμίαν ἐπίθετο φροντίδα τοῦ ἀγροῦ, ἢ ἐτελεύτησέ τις ἀδιάδοχος, καὶ οὐδεὶς παντελῶς τὴν τούτου κατεδέξατο περιουσίαν. ἑωρακὼς ἐγὼ ὑπ' οὐδενὸς κατεχόμενον τὸν ἀγρὸν, ἐν κατοχῇ γέγονα τούτου. οὐσουκαπιτεύειν αὐτὸν οὐδενὶ δυνήσομαι λόγῳ. μαλαφίδει γὰρ νέμομαι, εἰδὼς αὐτὸν ἀλλότριον ὄντα. εἰ μέντοι ἑτέρῳ τοῦτον τραδιτεύσω βοναφίδεϊ λαμβάνοντι, πρόεισιν ἡ οὐσουκαπίων. καὶ ὁ μακρὸς χρόνος ὡς εἴρηται, περιποιεῖ τὴν δεσποτείαν αὐτῷ. τέως γὰρ ἡ μὲν πρώτη ἀπόκρισις, οὐκ ἐμποδίζει τῇ οὐσουκαπίονι. νέμεται γὰρ βοναφίδεϊ. οὔτε ἡ δευτέρα, ἀπήλλακται γὰρ βιτίου τὸ πρᾶγμα. ἀλλ' ἔχει τις εἰπεῖν φούρτιβον ἀποτελεῖσθαι τὸ πρᾶγμα. ὡς ὅτι γὰρ εἰδὼς ἐγὼ ἀλλότριον ὄντα τὸν ἀγρὸν, ἐξεποίησα αὐτὸν, φούρτιβον ποιῶ τὸν ἀγρόν. ἀλλὰ μάταιος οὗτος ὁ λόγος.

κλοπὴ γὰρ ἐπὶ ἀκινήτων οὐχ ἁμαρτάνεται. ἀνῃρέθη γὰρ καὶ τῆς πολιτείας ἐξεβλήθη ἡ γνώμη τῶν δοξασάντων νομικῶν, ὅτι ἔστι τῶν ἀκινήτων κλοπὴ ἁμαρτάνεται, ἀλλ' οὐδὲ βὶ πόσσεσσόν ἐστι τὸ πρᾶγμα, οὐδὲ γὰρ ἡ πρᾶξις τῆς βίας παρηκολούθησε. λείπεται τοίνυν, δεκαετίᾳ, ἢ εἰκοσαετίᾳ δεσπότην γίνεσθαι τοῦ ἀγροῦ τὸν βόνα φίδει λαμβάνοντα. φυλαττομένων ὑπὸ τῶν διατάξεων τῶν λεγουσῶν, μηδενὸς ἀφαιρεῖσθαι τὴν μακρὰν καὶ ἀναμφίβολον νομήν. ¶ Εἰρήκαμεν τὰ φούρτιβα, καὶ τὰ βὶ πόσσεσσα μὴ δύνασθαι οὐσουκαπιεύεσθαι. ἔστι δὲ ὅτε ὑποπίπτει ταῦτα τῇ οὐσουκαπίονι. οἷον ἐὰν ὑποστρέψῃ εἰς τὴν τοῦ δεσπότου κατοχήν. τότε γὰρ ἐλευθεροῦται τοῦ περιέχοντος αὐτὰ βιτίου, καὶ ὑπόκειται τῇ οὐσουκαπίονι. οἷον κλέψας σὺ τὸν οἰκέτην Τιτίου, ἢ βίᾳ λαβὼν τὸν αὐτοῦ ἀγρὸν ἐπώλησάς μοι· ἐπείχετο τὰ τῆς οὐσουκαπίονος· συνέβη ἐν τῷ

¶ Aliquādo.

quoniam rerū immobilium furtum non committitur. Sublata est enim & explosa è ciuili iure sententia quorundam iurisconsultorum existimantium, in rebus immobilibus furtum committi. Sed neque res vi possessa est, quoniam neque facinus vim inferentis consequutū est. Reliquū est ergo, vt qui eam bona fide accepit decē aut viginti annis elapsis, dominus fiat, quū & constitutionibus adiuuetur, quæ dicūt, longā & indubitatam possessionē nulli auferri debere. ¶ Dictū est, res furtiuas & vi possessas vsucapi non posse. Aliquando tamē ex in vsucapionē cadunt. veluti, si in domini potestatem reuersæ fuerint. Tunc enim vitio, quo tenebantur, liberantur, & in vsucapionis caussam recedunt. verbi gratia. Seruum tu mihi Titij, quē surripueras, aut fundū quē vi obtinueras, vendidisti: impediebatur ius vsucapionis. Euenit

vt medio tempore possessio eius à me ad Titium dominum transiret, statim furtiuæ esse res aut vi possessæ desinunt. Quapropter si postea ego possessionem earum nanciscar, nihil obstabit quo minus vsucapiantur. Hæc habeto in modum prævia inspectioni, veluti pro fundamento quodā. ¶ Si quis téstaméto facto moriatur, is ei succedit, quem hæredem scripserit. Sin verò intestatus, ad successionem eius venient liberi, siqui sunt: post hos si non extent, agnati: & fiunt heredes. Si agnati desunt, cognati, & fiunt bonorum possessores. Quòd si nulli eorum supersint, aut hæreditatem non admittant, vacantia fiunt ea bona, & fisco adquiruntur. Et quicumque actionem habet aduersus defunctum, qualiscumque ea sit, siue in rem, siue in personam, siue hypothe-

μεταξὺ ἀπ' ἐμοῦ ἐπὶ τίτιον τὸ δεσπότην μεθιστεθεῖναι τὴν νομὴν, εὐθέως παύεται τοῦ εἶναι φούρτιβα, ἢ βὶ πόσεσσα τὰ πράγματα. διὸ γινόμενα μετὰ ταῦτα ὑπὸ τὴν ἐμὴν κατοχὴν, ἀκωλύτως οὐσουκαπιτευθήσεται. ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ. ¶ Ἐάν τις ἐπὶ διαθήκῃ τελευτήσῃ, ὁ γεγραμμένος διαδέχεται αὐτὸν κληρονόμος. εἰ δὲ ἀδιάθετος, ἥξουσιν ἐπὶ τὴν κληρονομίαν αὐτοῦ, εἰ μὲν ὑπεῖσι παῖδες αὐτοί. τούτων δὲ μὴ ὑπόντων, οἱ ἀδνάτοι, καὶ γίνονται hæredes. ἀδνάτων δὲ μὴ ὑποκειμένων, οἱ cognati, καὶ γίνονται bonorum possessores, τουτέστι διακάτοχοι τῶν πραγμάτων. τῶν δὲ εἰρημένων μὴ ὑπόντων, ἢ μὴ βουλομένων κληρονομῆσαι, vacantia γίνεται τὰ πράγματα, καὶ ἐπὶ τὸν φίσκον παραγίνεται, καὶ πᾶς ὁ ἔχων ἀγωγὴν οἵαν δήποτε κατὰ τοῦ τελευτήσαντος, in rem, ἢ περσοναλίαν, ἢ ὑποθηκαρίαν,

θ Res fisci.

ταύτην εἴσω τετραετίας κινήσει κατὰ τοῦ φίσκου. ἐπειδὴ ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. ἐν τοῖς προλαβοῦσιν εἴπομεν τὰ φούρτιβα, καὶ βὶ πόσσεσσα, μὴ δύνασθαι οὐσουκαπιτεύεσθαι. ἔστι δὲ εὑρεῖν, καὶ ἕτερον μὴ οὐσουκαπιτευόμενον. οἷον τὸ φισκάλιον πρᾶγμα οὐσουκαπιτεύεσθαι οὐ δύναται. ὁ μέντοι Παπινιανός φησι, ὅτι ἐάν τις τελευτήσῃ ἀδιάδοχος, καὶ vacantia αὐτοῦ γίνονται τὰ πράγματα, πρὶν δὲ ἢ καταμηνυθῇ ἡ οὐσία τῷ φίσκῳ, τινὰ ἐκ τῶν αὐτοῦ πραγμάτων πωλήσῃ τις ἐμοὶ καὶ τραδιτεύσῃ βοναφίδει ἀγοράζοντι, προβαίνει ἡ οὐσουκαπίων. οὔπω γὰρ γεγόνασι φισκάλια τὰ πράγματα, μὴ δραξαμένου τῆς οὐσίας τοῦ φίσκου. τοῦτο γὰρ οὐ μόνον Πῖος ὁ βασιλεύς, ἀλλὰ καὶ Σεβῆρος καὶ Ἀντωνῖνος ἀντέγραψαν οἱ θειότατοι. ¶ Ὡς ἐν τέλει δὲ καὶ τοῦτο εἰδέναι χρή. τὸ πρᾶγμα τὸ μέλλον οὐσουκαπι-

§ Nouissimè.

caria, eam intra quadriennium aduersus fiscum proponet. His ita veluti pro fundamento quodam præcognitis, vide deinceps cetera. Suprà diximus res furtiuas & vi possessas, vsucapi non posse. Inuenias & aliud, quod vsu non capiatur: veluti, res fiscalis vsucapi non potest. Scribit tamen Papinianus: si quis sine successore moriatur, bonaque eius fiant vacantia, & aliquis antequam bona fisco denuntientur, quædam ex his mihi vendat, & tradat bona fide ementi, procedere vsucapionem. Nondum enim res fiscales fuerunt quæ in patrimonium fisci versæ non sunt. Hoc namque non solum Pius Imperator, sed etiam Diui Seuerus & Antoninus rescripserunt. ¶ Nouissimè autem & hoc scire oportet, rem vsucapiendam talem

talem esse debere, vt nullum in se vitium habeat, vtque item bona fide ematur, aut ex donatione capiatur, vel etiam alia ex caussa comparetur. ¶ Sed & veram esse possessionis caussam oportet: Error enim falsæ caussæ, locum vsucapioni non præbet. veluti, possidebam rem, quam emisse me putabam, nec emeram, aut donatam esse mihi, nec erat donata. Nam falsa possessionis opinio, vsucapionem impedit. ¶ Fundum alienum bona fide aliquis possidebat, & opus erat lõgo tempore, vt dominus fieret: & post octo fortè aut nouem annos mortuus, heredem iure ciuili, aut iure prætorio bonorum possessorem habuit. Heres huius aut bonorum possessor, si reliquo tempore possideat, ita rem habebit, vt auferri ab eo non possit, etiam si fundum esse sciuerit alienũ. Nam possessioné bona fide in-

τούτων, ὀφείλει τοιοῦτον εἶναι, ὥστε παντὸς στερεῖσθαι βιτίου, καὶ βονᾳφίδει αὐτὸ ἠγοράσθαι, ἢ κατὰ δωρεὰν ληφθῆναι, ἢ καὶ ἐξ ἑτέρας αἰτίας προσγεγονέναι. ¶ Καὶ δεῖ ἀληθῆ τῆς νομῆς εἶναι τὴν αἰτίαν. ψευδοῦς γὰρ αἰτίας πλάνη οὐ δίδωσι τῇ οὐσουκαπίονι χώραν. οἷον ἐνεμόμην πρᾶγμα, ἐνόμιζον δὲ ἠγορακέναι τοῦτο, καὶ ταῦτα μὴ ἠγορακὼς, ἢ δεδωρῆσθαι αὐτὸ ὁπότε οὐκ ἦν δωρηθέν. ἐπειδὴ ψευδὴς ἡ τῆς νομῆς ὑπόνοια, ἐμποδίζεται ἡ οὐσουκαπίων. ¶ Ἐνέμετό τις βονᾳφίδει τὸν ἀλλότριον ἀγρὸν, καὶ ἐδεῖτο τοῦ μακροῦ χρόνου, εἰς τὸ γενέσθαι δεσπότης. καὶ μετὰ η' τυχὸν, ἢ θ' ἐνιαυτοὺς ἐτελεύτησεν ἐπὶ πολιτικῷ κληρονόμῳ, ἢ πραιτωρίῳ διαδόχῳ. ὁ τούτου κληρονόμος, ἢ bonorũ possessor τὸν ἐπίλοιπον χρόνον νεμηθεὶς, ἀναφαίρετον ἕξει τὸ πρᾶγμα, εἰ καὶ ἠπίστατο ἀλλότριον ὄντα τὸν ἀγρόν. τὴν γὰρ βονᾳφίδει ἀρχθεῖσαν νομὴν,

6. Error.

6. Diuisa.

ἡ κακίστη τοῦ διαδόχου πίστις οὐκ ἀφανίζει. εἰ δὲ ἐκ τοῦ ἐναντίου μαλαφίδει τις ἐνέμετο τὸν ἀλλότριον ἀγρὸν, ὁ τούτου κληρονόμος ἢ bonorũ possessor, εἰ καὶ ἠγνόει τὸν ἀγρὸν ἀλλότριον ὄντα, οὐκ ὠφεληθήσεται διὰ τὸ μαλαφίδει ἀρχθῆναι τὴν νομὴν ὑπὸ τοῦ τελευτήσαντος. τοῦτο δὲ τὸ ἐπὶ τοῦ μακροῦ χρόνου διάταξις τοῦ θειοτάτου ἡμῶν δεσπότου, καὶ ἐπὶ οὐσουκαπιόνα ἐξέτεινεν. ὥστε τὴν βοναφίδει ὑπὸ τοῦ τελευτήσαντος ἀρχθεῖσαν νομὴν ἐπὶ τῷ κινητῷ πράγμα τι λυσιτελεῖν τῷ διαδόχῳ πρὸς περαίωσιν οὐσουκαπίονος, καὶ κομφιρματεύεσθαι ἤτοι βεβαιοῦσθαι τὸν χρόνον αὐτοῦ, εἰ καὶ οἶδεν αὐτὸς ἀλλότριον τὸ πρᾶγμα. καὶ ἐκ τοῦ ἐναντίου κακῶς ἀρξαμένου νέμεσθαι τοῦ τελευτήσαντος, ἡ βοναφίδει νομὴ τὸν κληρονόμον οὐκ ὠφελεῖ. ¶ εἰ δὲ καί τις βοναφίδει ἠγόρασε ἀλλότριον πρᾶγμα, καὶ χρόνον ἐνεμήθη τινὰ, εἶτα

§ Inter venditorem.

choatam, mala fides successoris non vitiat. Quòd si contra, mala fide alienum fundum quis possederit, heres eius aut bonorum possessor, etiam si alienum esse ignoret, non iuuabitur, propterea quòd initium possessionis, cum mala fide apud defunctũ fuerit. Hæc de longo tempore dicta, religiosissimi nostri domini constitutio etiam ad vsucapionem produxit, vt à defuncto bona fide inchoata possessio in re mobili, & successori proficiat ad implendam vsucapionem, & tempus eius confirmetur, quamuis successor alienam esse sciuerit. Ex contrario quoque vt mala fide inchoata possessione à defuncto, heredem bona ipsius fides in possidendo non iuuet. ¶ Sed & si quis bona fide rem alienam emerit, temporeq́; aliquo possederit, demum

suum vendiderit. Possederit & is, qui eam iterum de emptore emit. Coniuncto vtriusque personæ tempore possessionis, secundo emptori dominium eius adquiritur. Sic enim Diui Seuerus & Antoninus rescripserunt. ¶ Emissa est & constitutio ab imperatore D. Marco in modum edicti, qua cauetur, vt qui rem alienam à fisco emerit, elapso quinquennio dominus eius fiat. Edictum hoc necessarium erat his, qui minore tempore, quam quinquennio, domini eius, quod emerant, fieri non poterant: veluti, quia fortè furtiuum erat, & post tempus quinque annorum, conuentus emptor, præscriptione repellebat agentem. Et hæc quidem Diuus Marcus. Extitit autem & D. Zenonis constitutio, dicens eum, qui à fisco emerit, aut dono acceperit, aut ex permutatione comparauerit, statim se-

ἐπώλησεν. ἐνεμήθη δὲ καὶ ὁ παρὰ τοῦ ἀγοραστοῦ ἀγοράσας, συζευγνύμενος ἑκατέρου προσώπου ὁ χρόνος τῆς νομῆς, τῷ δευτέρῳ ἀγοραστῇ, τὴν τοῦ πράγματος περιποιεῖ δεσποτείαν. ἀντιγραψάντων τοῦ τε σεβήρου καὶ ἀντωνίνου. ¶ Γέγονεν ὡς ἐν ἐδίκτῳ διάταξις μάρκου τοῦ βασιλέως, λέγουσα τὸν ἀλλότριον πρᾶγμα ἠγορακότα παρὰ τοῦ φίσκου, πενταετίας παραδραμούσης, γίνεσθαι δεσπότην τοῦ πράγματος. τὸ δὲ ἔδικτον, ἀναγκαῖον ἦν, ἐπὶ τῶν μὴ δυναμένων διὰ ἐλάττονος χρόνου τῆς πενταετίας, δεσπόζειν τοῦ ἀγορασθέντος. οἷον ἐπειδὴ φούρτιβον τυχὸν ἦν, καὶ μετὰ τὸν πενταετῆ χρόνον ἐναγόμενος ὁ ἠγορακώς, ἐξωθεῖ παραγραφῇ τὸν ἐνάγοντα. καὶ ταῦτα μὲν μάρκος ὁ θειότατος. διάταξις δὲ γέγονε τοῦ θειοτάτου ζήνωνος λέγουσα, τὸν ἠγορακότα παρὰ τοῦ φίσκου, ἢ κατὰ δωρεὰν δεξάμενον, ἢ κατὰ περμουτατζίονα, αὐτὸν μὲν τὸ

¶ Edictum

ἀμέριμνον ἔχειν παραχρῆμα. καὶ εἴτε συνάγεται, εἴτε συνάγει, τὴν καλλίονα αὐτοῦ ἀποφέρεσθαι ψῆφον. τὸν δὲ τοῦ πράγματος κύριον, μέχρι τετραετίας ἀγωγὴν ἔχειν κατὰ τοῦ φίσκου. ταῦτα δὲ οὐκ ἐπὶ μόνης δεσποτείας, ἀλλὰ καὶ ἐπὶ ὑποθήκης ἡ αὐτὴ διάταξις ἐνομοθέτησεν, ὥστε μήτε τὸν δεσπότην τὴν in rem, μήτε τὸν κρεδίτωρα τὴν σερβιανὴν, ἐπὶ τοῖς ἐκποιηθεῖσιν ὑπὸ τοῦ φίσκου σωζομένας ἔχειν τὰς ἀγωγὰς μετὰ τὴν τετραετίαν. ἐφοίτησε δὲ τοῦ ἡμετέρου βασιλέως διάταξις, ἣν ἔναγχος ἐξεφώνησε, τὰ αὐτὰ βουλομένη κρατεῖν, καὶ ἐπὶ τῶν ἐκποιουμένων, ἢ παρὰ τῆς αὐτοῦ γαληνότητος, ἢ παρὰ τῆς εὐσεβεστάτης ἡμῶν δεσποίνας, ἥ τινα ἡ Ζήνωνος διάταξις, ἐπὶ τῶν φισκαλίων διετύπωσεν ἐκποιήσεων.

curum fieri, & potiorem auferre calculum, siue experiatur, siue conueniatur. Ipsum verò rei dominum, vsque ad quadriennium actionem habere aduersus fiscũ. Atque hæc non in proprietate tantùm, sed etiam in pignore vel hypotheca, eadem constitutio pro lege tradidit. Itaque neque dominus rei, actionem in rem, neque creditor Seruianam de rebus à fisco alienatis, saluas habebunt post quadriennium. Extat & principis nostri constitutio, quam nuper emisit, qua cauetur, vt eadem obseruentur, in his quæ serenitas ipsius alienauerit, aut religiosissima domina nostra, quęcumque Zenonis constitutio, in fiscalibus alienationibus introduxit.

DE

EST & alius modus adquisitionis, donatio. de qua tractare necessarium est. Meminimus eius, velut obiter, & suprà, verùm nunc perfectã de ea instituimus doctrinam. Donationũ igitur duo sunt genera, quarum vna mortis causa dicitur, & altera inter viuos. Et mortis causa donatio est, quæ per mortis suspicionẽ fit. Veluti si quis periculosam aggressurus nauigationẽ, aut iter infestũ feris, latronibus, hostibúsve ingressur[9] donet aliquid, vt si quid donanti humanitus contigerit, ei, qui accepit, extorqueri donatio nõ possit. Sin verò prior decesserit is, in quem donatio collata est, liceat donanti, quod donauit repetere. Quòd si pœnituerit donãtẽ, donationẽ suã recipit, queãdmodũ si prior decesserit donatari[*].

Ἔστι καὶ ἕτερος τρόπος κτήσεως, ὁ τῆς δωρεᾶς, καὶ ἀναγκαῖον περὶ αὐτῆς διαλαβεῖν. ἐμνήσθημεν δὲ ταύτης, ὡς ἐν παρεκβάσει, καὶ ἐν τοῖς προλαβοῦσιν, ἀλλὰ νῦν τελείαν περὶ αὐτῆς ποιούμεθα διδασκαλίαν. τῶν δὲ δωρεῶν, δύο εἰσὶ γένη. καὶ ἡ μὲν λέγεται mortis causa: ἡ δὲ inter viuos. καὶ mortis causa ἐστὶ δωρεά, ἡ διὰ ὑπόνοιαν γινομένη θανάτου. οἷον ἐάν τις δωρήσηταί τινι μέλλον πλέειν ἐπικίνδυνον πλοῦν, ἢ ὁδεύειν ὁδὸν ἐνοχλουμένην, ὑπὸ θηρίων, ἢ λῃστῶν, ἢ πολεμίων, ἵνα εἴ τι ἀνθρώπινον τῷ δωρησαμένῳ συμβῇ, ἀναφαίρετον ἔχῃ τὴν δωρεὰν ὁ ταύτην δεξάμενος. εἰ δὲ τοῦ δωρησαμένου προτελευτήσει ὁ ταύτην δεξάμενος, ἐξεῖναι τῷ δωρησαμένῳ ῥεπετιτεύειν τὸ δωρηθέν. εἰ δὲ μεταγνῷ ὁ δωρησάμενος, ἀναλαμβάνει τὴν δωρεάν, ὥσπερ εἰ καὶ προετελεύτησεν ὁ τὴν δωρεὰν δεξάμενος. αὐ-

ται δὲ αἱ mortis causa δωρεαὶ, ἐοίκασι ληγάτοις διαπαντός. πάλαι γὰρ μεταξὺ τῶν νομικῶν ἀμφιβολία τις ἦν, πότερον δωρεᾶς, ἢ ληγάτου μίμησιν ἔχει. καὶ ἐπειδὴ ἑκατέρων εἶχε γνωρίσματα, δωρεᾶς φημὶ καὶ ληγάτου, οἱ μὲν, ἐοικέναι τῇ δωρεᾷ, οἱ δὲ παραπλησίαν εἶναι ληγάτῳ ταύτην ἔφασκον. ταύτην δὲ τέμνουσα τὴν φιλονεικίαν, προῆλθε διάταξις τοῦ ἡμετέρου βασιλέως, θεσπίζουσα κατὰ πάντα σχεδὸν ἐξισοῦσθαι αὐτὴν τοῖς ληγάτοις. τὸ δὲ σχεδὸν εἶπον, ἐπειδὴ ἀπὸ ζῶντος εἰς ζῶντα γίνονται. συνιστάσθω τοίνυν κατὰ τὰ εἰρημένα τῇ θείᾳ διατάξει. ὡς ἐν κεφαλαίῳ δὲ mortis causa δωρεά ἐστιν, ὁπότε ἑαυτόν τις βούλεται ἔχειν, ἤπερ ἐκεῖνον, ᾧ ἐδωρήσατο, καὶ μᾶλλον τὸ πρᾶγμα κερδαίνεσθαι βούλεται ὑπὸ τοῦ τὴν δωρεὰν δεξαμένου, ἤπερ ἀπὸ τοῦ οἰκείου κληρονόμου. τοιαύτην ποιοῦντα δωρεὰν Ὅμηρος ὁ

Hæ autem mortis causa donationes per omnia ad exemplum legatorum redactæ sunt. Nam olim dubium erat inter iurisconsultos, donationibus an legatis similes essent: & cùm vtriusque quædam haberent insignia, donationis inquam & legati, alij donationi esse similem, alij legati instar habere dicebant donationem causa mortis. Sed prodijt constitutio Principis nostri, quę hanc contentionem dirimit. Sancitum est enim, vt per omnia ferè legatis exæquaretur. Dixi Ferè, quoniam à viuente in viuentem confertur. Constituatur igitur secundùm ea, quæ diuina eius constitutione expressa sunt. Est autem veluti in summa, mortis causa donatio, cùm se quis mauult habere, quàm eum, cui donat: & eum, cui donat, lucrari rem mauult, quàm hæredem suum.

Huiusmodi donationem & diuinus ille Homerus Tele

Telemachum Piræo facientem introducit, In Odyssea, his versibus,

θεσπέσιος ἐν τῇ ὀδυσσείᾳ τὸν τηλέμαχον εἰσάγει πειραίῳ διὰ τούτων τῶν ἐπῶν,

Πείραι, οὐ γάρ τ' ἴδμεν ὅπως ἔσται τάδε ἔργα,
Εἴκεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισι
Λάθρῃ κτείναντες πατρώια πάντα δάσονται,
Αὐτὸν ἔχοντά σε βούλομ' ἐπαυρέμεν, ἤ τινα τῶν δε.
Εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ κῆρα φυτεύσω,
Δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαί-
ρων.

Id est, si Latinè transferas:

*Piræ, incertus quoniam rerum exitus harum est,*
*Si tacita incautum stolidi me forte necare*
*Morte proci poterunt, & opes vexare paternas,*
*Hæc ego te malo, quàm illorum quempiam habere.*
*Sin ego eos iusta meritos aff-cero clade,*
*Tum mihi tu læto reddes illa omnia lætus.*

¶ Cognita donatione causa mortis dicamus de reliquis donationibus, quæ sunt inter viuos. Fiunt autem hæ nulla subsistente mortis cogitatione, sicut eæ quæ legatis comparantur. Porrò has, vbi finem acceperint, temere non licet reuocare. Perficiuntur autem finemque accipiunt, cùm donator voluntatem suam, per litteras aut etiam

¶ Μαθόντες περὶ τῆς mortis causa δωρεᾶς, εἴπωμεν περὶ τῶν λοιπῶν δωρεῶν, αἵ τινες εἰσὶν inter viuos. γίνονται δὲ αὗται, μηδεμίας ἐννοίας ὑποκειμένης θανάτου, αἵ τινες ἀπεοίκασι τοῖς ληγάτοις. ταύτας δὲ τὸ πέρας ἐσχηκυίας, ὡς ἔτυχεν, οὐ δυνατὸν ἀνακαλεῖσθαι. περαιοῦνται δὲ ἡνίκα ὁ δωρούμενος τὴν οἰκείαν δηλώσῃ γνώμην ἐν γράμμασιν, θ Alia.

ἢ

ἢ καὶ ἀγράφως. καὶ ὥσπερ ὁ πωλήσας τὸ πραθὲν ἀναγκάζεται παραδιδόναι, οὕτω διάταξις τοῦ ἡμετέρου βασιλέως, τὸν δωρήσασθαι βουληθέντα, ἀναγκάζει πάντως παραδοῦναι τὸ δωρηθέν, τὸ τέλειον παρέχουσα τῇ δωρεᾷ, εἰ καὶ μὴ παρηκολούθησεν ἡ τραδιτίων. οὐ μόνον δὲ τοῦτο περὶ τῶν δεχομένων τὰς δωρεὰς ὁ εὐσεβέστατος ἡμῶν ἐνομοθέτησε βασιλεὺς, ἀλλὰ καὶ ἕτερόν τι προσεπενόησεν. οἱ μὲν γὰρ πάλαι βεβασιλευκότες, τὰς δωρεὰς ἐμφανεῖς ἐπὶ πράξεως ὑπομνημάτων γίνεσθαι παρεκελεύσαντο, εἴγε ἡ δωρεὰ μείζων εἴη τῶν διακοσίων νομισμάτων. αὐτὸς δὲ ἐθέσπισε, μέχρι πεντακοσίων νομισμάτων, καὶ ἀνεμφάνιστον οὖσαν, ἐρρῶσθαι τὴν δωρεάν. ἐξεῦρε δὲ τινὰς δωρεὰς, ἃς μηδὲ δεῖσθαι πράξεως εἶπεν ὑπομνημάτων, εἰ τῶν φ νομισμάτων ὑπερβαίνοι τὴν ποσότητα. ἀλλ' ἔχειν αὐτὰς τὸ ἰσχυρὸν ἐκέλευσε.

sine scripto declarauerit. Et quemadmodum venditor rem venditam tradere emptori cogitur, ita & Principis nostri constitutio, eum qui donare voluit, omnino quod donauit, cogit tradere, plenumque & perfectum robur donationi tribuit, etiã si traditio nõ sit sequuta. Neque verò id tantùm de his, in quos donationes conferuntur, statuit Princeps, sed & quiddam aliud præter hoc adinuênit. Nam cùm veteres quidam Imperatores constituissent, vt donationes quæ ducentos solidos excederent, actis interuenientibus insinuarentur, ipse sanciuit, vt vsque ad quingentos solidos donatio & sine insinuatione, valida esset. Inuênit adhæc donationes quasdam, quæ neque si summam quingentorum solidorum excedant, actorum insinuatione indigeant, sed robur eas & vires habere iussit.

it. Multaq; prætereà & alia ad vberiorem exitū, & robur donationū inuēnit. Sed ea omnia facilè reperiet, qui diuinas eius constitutiones velit euoluere ¶ Illud autem sciendum est, quòd & si plenæ ac perfectæ sint donationes secundum modos iam relatos, si tamen ingratus probatus fuerit donatarius, in eum à quo beneficiū in ipsum collatum est, constitutio Principis nostri, potestatem fecit donatori, eas ex certis causis, quæ ingratitudini adscribuntur reuocandi, ne, qui res suas liberalitatis causa, in alterum transtulit, damno iniuriaque ab eo afficiatur, cui donauit. Ingratitudinum autem modos & actiones per quas donationes reuocantur, facile est discere, si quis dictam constitutionē legat. ¶ Est & alia species donationis inter viuos, quam veteres quidē Iurisconsulti ignorarūt, sed cōstitutiones

σε. πολλὰ δὲ καὶ ἕτερα πρὸς πλατυτέραν ἔξοδόν τε καὶ ἰσχὺν ἐξεῦρε τῶν δωρεῶν. ταῦτα δὲ πάντα ἐστὶν εὑρεῖν τοῖς θείαις αὐτοῦ διατάξεσιν ἐντυχόντα. ¶ Ἐκεῖνο δὲ εἰδέναι χρὴ, ὅτι εἰ καὶ τὸ τέλειον ἔχοιεν αἱ δωρεαὶ κατὰ τὸν εἰρημένον τρόπον γινόμεναι, ἀχάριστος δὲ περὶ τὸν εὐεργετήσαντα ὁ τὴν δωρεὰν δεξάμενος δειχθῇ, διάταξις τοῦ ἡμετέρου βασιλέως δέδωκε παρρησίαν, ἐκ φανερῶν αἰτιῶν εἰς ἀχαριστίαν ἀναγραφομένων, ταύτας ἀνατρέπειν. ὥστε μή τινα τὰ οἰκεῖα πράγματα φιλοτιμίας χάριν εἰς ἕτερον μετατιθέντα ὕβριν καὶ ζημίαν τινὰ ὑφίστασθαι παρ' ἐκείνων οἷς ἐδωρήσατο, τοὺς δὲ τρόπους τῶν ἀχαριστιῶν, καὶ τὰς αἰτίας δι' ὧν ἀνατρέπονται αἱ δωρεαὶ, μαθεῖν ἔνεστι τὴν εἰρημένην διάταξιν ἀναγνόντα. ¶ Ἔστι καὶ ἕτερον εἶδος τῆς inter viuos δωρεᾶς, ὃ τοῖς μὲν νομικοῖς ἄγνωστον ἦν, διατάξεσι δὲ βασιλικαῖς

θ Sciendū.

θ Est & aliud.

σιλικῶν τῶν νομικῶν νεώτεροι ταύτην ἐκαινοτόμησαν. λέγεται δὲ αὕτη πρὸ γάμου δωρεά· ποιεῖται δὲ ταύτην ὁ μνηστὴρ εἰς τὴν μνηστήν. σιωπηρὰν ἔχουσα αἵρεσιν ἐν ἑαυτῇ, ὥστε τότε τὸ κῦρος ἔχειν αὐτήν, ἡνίκα παρακολουθήσουσιν οἱ γάμοι. ὠνόμασται δὲ πρὸ γάμου, διὰ τὸ πρὸ τῆς συστάσεως τοῦ συνοικεσίου γίνεσθαι αὐτήν. οὐδέποτε δὲ μετὰ τὸν γάμον. καθόλου γὰρ ἅπασα δωρεά, ἐν συνεστῶτι τῷ γάμῳ γινομένη, μεταξὺ ἀνδρὸς καὶ γυναικὸς ἀπηγόρευται. ἀλλὰ γέγονε διάταξις τοῦ τῆς θείας λήξεως Ἰουστίνου, ἐπιτρέπουσα ὥσπερ ἐκ τῶν παλαιῶν νομικῶν ἔξεστιν ἐν συνεστῶτι τῷ γάμῳ αὔξειν τὴν προῖκα, καὶ εἰ συμβῇ νομίσματα ἐπιδοθῆναι εἰς προῖκα ἑκατόν, ἠδύνατο καὶ μετὰ χρόνον τῆς συστάσεως ἡ γυνὴ ἐπιδοῦναι ἄλλα ὅσα ἂν ἐβούλετο χρήματα, καὶ πλείονα ποιῆσαι τὴν προῖκα, καὶ δωρεὰν οὐδεὶς ἐκάλει τὸ τοιοῦτον.

Principum, qui poſt illos venere, introduxerunt. Vocatur autem Ante nuptias donatio, quam ſcilicet ſponſus in ſponſam confert. Habet autem tacitam in ſe conditionem, vt tunc demum vires habeat, & rata ſit, cùm nuptiæ fuerint ſequutæ. Porrò Ante nuptias vocata eſt, quòd ante contractum matrimonium fieri debeat: non autem poſt nuptias. Nam in vniuerſum, omnis prohibita eſt donatio conſtante matrimonio inter virum & vxorem facta. Sed prodiit conſtitutio ſanctiſſimi Iuſtini, permittens, vt quemadmodum veteres tradunt, conſtante matrimonio dotem augeri poſſe, & ſi fortè centum ſolidi in dotem dati eſſent, licere mulieri poſt tempus contracti matrimonii quotcumque vellet addere, & dotem maiorem facere, nec quiſquam id donationem vocabat. Ita

&

& vir donationem Ante nuptias possit maiorem reddere. Ac permisit, vt vno partem suam augente, & alter idem faceret. Sed cùm ita constitutio hæc vellet, nomen donationis Ante nuptias non erat conueniens, & dicebatur Ante nuptias, quæ tamen post nuptias facta esset. Itaque Princeps noster religiosissimus omni ex parte ius ciuile volens carere vitio, & apta rebus quibusque dare nomina laborans, constituit vt non solùm donationes hæ constante matrimonio augeri, sed etiam initium capere possent. Nam si ego vxorem duxero nulla in eam collata ante nuptias donatione, ob inopiam fortè aut aliam quam causam, nunc verò constituere ei aliquam velim, nihil obstabit quo minus id faciam. Hoc insuper sancito, ne post hac Ante nuptias, sed vt propter nuptias vocetur do-

ὡσαύτως καὶ τὴν πρὸ γάμου δωρεάν, δύνασθαι τὸν ἄνδρα μείζονα ποιεῖν, καὶ τοῦ ἑνὸς αὔξοντος μέρους ἐπέτρεψεν ἐξεῖναι καὶ τῷ ἑτέρῳ τὰ αὐτὰ πράττειν. ἀλλ' ἐπειδὴ ταῦτα μὲν ἠβούλετο ἡ διάταξις, τὸ δὲ τῆς πρὸ γάμου δωρεᾶς ὄνομα ἦν τοῖς γινομένοις ἀσύμφωνον, καὶ ἐλέγετο πρὸ γάμου ἡ μετὰ γάμον γινομένη, ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς, ἀνελλιπεῖς τὰς νομοθεσίας εἶναι βουλόμενος, καὶ πρόσφορα τὰ ὀνόματα τοῖς πράγμασι σπουδάζων εἶναι, διετύπωσε τὰς τοιαύτας δωρεὰς μὴ μόνον αὔξεσθαι συνεστῶτος τοῦ γάμου, ἀλλὰ καὶ λαμβάνειν ἀρχήν. εἰ γὰρ συνήφθην ἐγὼ γυναικὶ πρὸς γάμον, οὐ ποιησάμενος πρὸς αὐτὴν πρὸ γάμου δωρεάν, διὰ πενίαν τυχὸν, ἢ καὶ ἑτέραν αἰτίαν, νῦν δὲ συστήσασθαι βούλομαι, ἀκώλυτόν μοι τὸ πρᾶγμα εἶναι, οὐκέτι πρὸ γάμου δωρεάν, ἀλλὰ διὰ γάμους δωρεὰν ταύτην καλεῖσθαι θεσπί-

σας. ἐξισοῦται τοίνυν ἡ πρὸ γάμου δωρεὰ τῇ προικὶ διὰ τούτων. καὶ ὥσπερ οὐ μόνον αὔξειν, ἀλλὰ καὶ ἐπιδιδόναι προῖκα μετὰ σύστασιν γάμου δυνατὸν, οὕτω καὶ αἱ διὰ γάμους γινόμεναι δωρεαὶ, μὴ μόνον προηγείσθωσαν τῶν γάμων, ἀλλὰ καὶ μετὰ σύστασιν αὐτῶν, καὶ ἐκ μέρους γινέσθωσαν, καὶ ἀρχὴν δεχέσθωσαν.

¶ Erat olim

¶ Εἰρήκαμεν ἐννόμους κτήσεις, τὴν διὰ οὐσουκαπίονος, καὶ τὴν διὰ τῆς τοῦ μακροῦ χρόνου νομῆς. ζητῶν δέ τις παλαιότερον καὶ ἄλλον εὑρήσει τρόπον ἐννόμου κτήσεως. οὗτος δέ ἐστιν ὁ τῆς προσαυξήσεως. ἐγίνετο δὲ κατὰ τοῦτον τὸν τρόπον, πατρῖμος, καὶ τίτιος, εἶχον ἐπίκοινον οἰκέτην. ὁ πατρῖμος παρὰ γνώμην τιτίου, κοινὸν ἠλευθέρωσεν οἰκέτην, βινδίκτα, ἤγουν ἐπὶ ἄρχοντος. ἐκέλευσεν ἡ πολιτικὴ νομοθεσία, ἐπὶ τούτου τοῦ θέματος, μὴ μόνον τὸν πατρῖμον οὐδὲν ποιεῖν, μηδὲ τὸν οἰκέτην ἀπαλλάττειν τῆς δουλείας, ἀλλὰ καὶ ἀπολ-

natio. In his igitur doti exæquata est donatio propter nuptias. Et quẽadmodũ non augeri tantùm, sed etiã dari dos post cõtractas nuptias põt, ita & donatiões quę propter nuptias fiũt, nõ solùm pręcedant nuptias, sed etiã post eas cõtractas, vel ex parte fiant, vel initiũ sumãt. ¶ Exposuimus ciuiles adquisitiones, tũ eam quę per vsucapioné fit, tum eã quę per longi tẽporis possessioné. Quòd si quis diligentiùs inquirat, inueniet & alium antiquioré ciuilis adquisitionis modũ. Vocatur is autem per ius adcrescendi. Et in hunc fiebat modum. Patrimus & Titius seruum habebant cõmunem. Patrimus inuito Titio communem seruũ manumisit vindicta, siue apud magistratũ. Cautũ erat iure ciuili, non solùm Patrimum in hac specie nihil agere, neque seruũ seruitute liberare, sed etiam pate

partē dominij, quā in eo habebat amittere, & amissā iure adcrescendi ad Titium transire. & ita denique solum Titium fieri eius dominum. Sed cùm hoc exemplo esset pessimum, & seruū libertate defraudari, & eos qui erga seruū humaniores esse vellent, damno affici: rursus eos, qui misereri eius, cùmque seruitute liberare nollent, lucrum capere, parte serui ipsis adcrescente: religiosissimus noster Imperator, inuidia id plenum iudicās, diuinam ipse viam remedij excogitauit, per quam & Patrimus qui manumiserit, & Titius qui non cōsenserit, & seruus qui libertatem acceperit, constitutioni ipsius gratias agant. Seruum enim liberum esse iussit (quando & veteres legumlatores multa & aduersus communes regulas

ἀπολλύειν, ὅπερ ἐπ' αὐτῷ μέρος εἶχε δεσποτείας. ἀπολλύμενον δὲ τοῦτο ἐπὶ τὸν Τίτιον ἔρχεσθαι, δικαίῳ προσαυξήσεως, καὶ ἐξ ἀποτελέσματος, μόνον Τίτιον γίνεσθαι αὐτοῦ δεσπότην, ἀλλ' ἐπειδὴ κάκιστον ἦν τοῦτο παράδειγμα, τὸ καὶ τὸν οἰκέτην στερεῖσθαι τῆς ἐλευθερίας, καὶ τοὺς μὲν φιλανθρωπότερον βουλευσαμένους ἐπὶ τῷ οἰκέτῃ δεσπότας ζημιοῦσθαι, τοὺς δὲ μὴ βουληθέντας τούτους ἐλεῆσαι, καὶ δουλείας ἀπαλλάξαι κερδαίνειν, τοῦ μέρους αὐτῶν προσαυξανομένου τοῦ οἰκέτου· βασκανίας ἀνάμεστον τοῦτο κρίνας ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς, θείαν ἐξεῦρεν αὐτὸς θεραπείας ὁδὸν ἐπινοήσας. δι' ἧς καὶ Πατρίμος ὁ ἐλευθερώσας, καὶ Τίτιος ὁ μὴ συναινέσας, καὶ ὁ τὴν ἐλευθερίαν δεξάμενος οἰκέτης, τῇ αὐτοῦ χάριτας ὁμολογήσουσι διατάξει. ἐκέλευσε γὰρ τὸν μὲν οἰκέτην ἐλεύθερον εἶναι, ἐπειδὴ καὶ οἱ πάλαι νομοθέται, πολλὰ καὶ παρὰ τοὺς κοινοὺς κανόνας σπουδῇ τῆς ἐ-

λευθερίας ἐπενόησαν, καὶ τὸν μὲν πατρῶνον ἐφ' οἷς ἡ παρ' αὐτοῦ δοθεῖσα ἐλευθερία τὸ βέβαιον ἔχει χαίρειν. τῷ δὲ κοινωνῷ φυλάττεσθαι τὸ ἀζήμιον τοῦ τιμήματος, ἀποκαθισταμένου αὐτῷ παρὰ τοῦ ἐλευθερώσαντος, καθ' ὅσον ἐπ' αὐτοῦ δεσποτείας εἶχε μέρος, καθὰ τῇ αὐτῇ περιέχεται νομοθεσίᾳ.

studio & fauore libertatis inuenerũt; vt & Patrimus libertatem à se de datam, ratã firmámq; esse lætetur, & socij res in pretio seruetur indemnis, id ei secũdum partem dominij, quam habebat in seruo, restituente manumisso e. Sicut latiùs in dicta constitutione comprehensum est.

## QVIBVS ALIENARE LICET VEL non licet. Tit. VIII.

Ἀναγκαῖον ἐντεῦθεν ἐξαριθμήσασθαι παράδοξα θέματα. πότε ὁ δεσπότης τὸ ἴδιον ἐκποιεῖν οὐ δύναται πρᾶγμα, καὶ πότε ὁ μὴ ὢν δεσπότης ἐκποιεῖν τὸ μὴ οἰκεῖον. καὶ εἴπωμεν κατὰ πρώτην τάξιν, πότε ὁ δεσπότης οὐ δύναται ἐκποιεῖν. οἷον γυνή τις ἀνδρὶ συναπτομένη πρὸς γάμον, ἐπιδέδωκε διάφορα πράγματα λόγῳ προικός. ἐπιδέδωκε δὲ καὶ ἀγρόν. καὶ διὰ τοῦ τραδιτίονος, δεσπότην

NVnc mirabiles quosdã casus enumerare est necesse: quando aut is qui dominus est, rem suam alienare non possit, aut is qui dominus non est, rem non suam possit. Et primo de illo dicamus, quando dominus alienare nõ possit. veluti, mulier quedã cùm viro nuberet, varias ei res nomine dotis dedit, dedit autẽ & fundũ. Et traditione facti, totius dotis eũ dominum

minum fecit. Vir igitur quidquid eorũ, quæ in dotem accepit, alienauerit, dominium in accipientem transfert: dotalem verò fundũ, id est, qui datus in dotem est, lex Iulia alienari prohibet, quamuis eius vir sit dominus. Sed & hoc lex Iulia vetabat, ne res immobiles in Italia sitæ, a viro inuita vxore alienarentur. Obligare verò eas ne volente quidem vxore poterat. Sed absurdum hoc videbatur esse, alienationem consentiente vxore rectè fieri, vbi tamen res penitus ad aliũ abit: hypothecas verò, vbi res in dominio mariti manebat, nec de consensu vxoris, concedi. Verùm, dicimus ex tali cogitatione, ad hanc rationem prorupisse legem. Nouerat enim, vbi de alienatione fundi dotalis, quam maritus fece-

αὐτὸν ἐποίησε τῆς πάσης προικός. ὁ τοίνυν ἀνὴρ πάντα τὰ ἐπιδοθέντα αὐτῷ ἐν προικὶ ὡς δεσπότης ἐκποιῶν, μετατίθησιν ἐπὶ τὸν λαμβάνοντα τὴν δεσποτείαν. τὸν δὲ δοτάλιον ἀγρὸν, τουτέστι τὸν εἰς προῖκα ἐπιδοθέντα, ὁ ἰούλιος νόμος ἐκποιεῖσθαι κωλύει, καίτοι δεσπότου ὄντος τοῦ ἀνδρός. ἀλλ᾽ ὁ μὲν ἰούλιος νόμος, τὰ ἀκίνητα τὰ ἐν τῇ ἰταλίᾳ διακείμενα ἐκώλυσεν ὑπὸ τοῦ ἀνδρὸς ἐκποιεῖσθαι παρὰ γνώμην τῆς γυναικός. ὑποτίθεσθαι δὲ ταῦτα ὁ ἀνὴρ, οὐδὲ συναινούσης ἠδύνατο τῆς γυναικός. ἀλλ᾽ ἐδόκει ἄλογον εἶναι, ὅτι τὴν μὲν ἐκποίησιν συναινούσης τῆς γυναικὸς ὀρθῶς ἐποίει, ἔνθα ἀπαλλοτρίωσις ἦν τοῦ πράγματος, τὴν δὲ ὑποθήκην ἔνθα ἐσώζετο ἡ δεσποτεία ἔτι παρὰ τῷ ἀνδρὶ, οὐδὲ κατὰ γνώμην συνεχωρεῖτο τοῦτο ποιεῖν. ἀλλὰ λέγομεν, ὅτι ἐκ τοιαύτης ἐννοίας ὁρμηθεὶς ἦλθεν ἐπὶ τοῦτον τὸν λογισμὸν ὁ νόμος. εἰδὼς γὰρ ὁ νόμος ὅτι

λεγομένης ἀπὸ τοῦ ἀνδρὸς ἐκποιήσεως τῇ γυναικὶ περὶ τοῦ δοταλίου κτήματος, καὶ πρὸς αὐτὴν συμβαίνειν τὴν ἀνάγκην ἐκβιάζεσθαι τὴν γυναῖκα, καὶ συναινεῖν οὐκ ἀνέχεσθαι. εἰ δὲ περὶ ὑποθήκης εἴποι τι ὁ ἀνήρ, εὐκόλως ἡ γυνὴ ἑλκύσεται πρὸς πειθώ. εἰκότως οὖν τὸ μὲν τῆς ὑποθήκης, διὰ τῆς οἰκείας ἠσφαλίσατο νομοθεσίας, τὸ δὲ τῆς ἐκποιήσεως, εἴασε τῇ δυσχερείᾳ τῆς γυναικός. ὁ τοίνυν ἰούλιος, τὴν μὲν παρὰ γνώμην καὶ γυναικὸς ἐκποίησιν ἐπεῖχε. τὴν δὲ ὑποθήκην ἐκώλυσε εἰ καὶ κατὰ γνώμην αὐτῆς ἐγίνετο. καὶ χώραν εἶχεν, ἐπὶ μόνων τῶν ἐν ἰταλίᾳ ἀκινήτων πραγμάτων. ὁ δὲ ἡμέτερος βασιλεὺς ἐπωφελεστάτῃ διανοίᾳ, τὰ δύο μετέθεικε. ἐκέλευσε γὰρ, οὐ μόνον ἐπὶ τῶν ἐν ἰταλίᾳ κτημάτων, ἀλλὰ καὶ ἐπὶ τῶν ἐν ἐπαρχίαις ἀπηγορεῦσθαι τῷ ἀνδρὶ ἐκποίησιν καὶ ὑποθήκην τῶν προικιμαίων πραγμάτων, εἰ καὶ τοῖς γινομένοις

ret, ad mulierem referretur, ipso auditu turbatum iri mulierem, nec inductum iri vt cōsentiret. Sin verò de hypotheca vxori maritus aliquid diceret, non grauatim eam consensum præstiturā. Nō iniuria ergo, rogatione sua, hypothecarum causam subuertit: alienationem verò, vxorij cō sensus difficultati reliquit. Lex igitur Iulia, alienationem inuita vxore factam prohibuit, hypothecam autem, & de cō sensu vxoris factam vetuit. Et locū hæc habebant tātùm in rebus immobilibus in Italia sitis, Imperator verò noster, commodissima excogitatione vtrumque cōmutauit, nec enim in solis Italicis prædiis, verùm etiam in prouincialibus, prohibitam esse & interdictam marito voluit alienationem vel obligationem rerum dotalium, etiam si rei gerendæ mulier cōsentiat: ne muliebris

sexus imbecillitas, perniciē rebus ipsis adferret. ¶ Porrò nunc dicere oportet, quando is qui dominus nō est, alienandi habeat potestatem. Id autem velut in hac specie cōtingit: Centum a te solidos mutuò accepi, fundúmque tibi meū in causam pignoris obligaui, ac cōueni, vt anno elapso, & debito non exoluto, pignus tibi vendere liceat. Ecce hic, creditor quum dominus non sit, rectè alienat. Si quis tamen rem diligentius inspiciat, nihil miri contingit. Nam ei debitor ipse qui dominus est, vendere videtur: cui ex pacto cessatione facta in soluendo debito, vendere creditorem permittit. Et olim quidem formā quādam habebant creditores, qua concessum his fuerat, hypothecas aut pignora vendere. Sed emissa est Imperato-

ἡ γυνὴ συναινεῖ, ἵνα μὴ τὸ τῆς γυναικὸς φύσεως σαθρὸν, ἀπώλειαν τοῖς αὐτοῖς πράγμασι ἐμποιήσειε.

¶ Νῦν δὲ χρὴ λέγειν πότε ὁ μὴ ὢν δεσπότης δύναται ἐκποιεῖν· τοῦτο δὲ συμβαίνει ὡς ἐπὶ τούτου τοῦ θέματος· ἐδανεισάμην παρὰ σοῦ ἑκατὸν νομίσματα, ἐνεχυριάσας σοι τὸν ἐμὸν ἀγρὸν συμφωνήσας, ὥστε σοι ἐξεῖναι ἐνιαυτοῦ παραδραμόντος καὶ ἐμοῦ μὴ καταβαλόντος τὸ χρέος, πιπράσκειν τὸ ἐνέχυρον. ἰδοὺ ἐνταῦθα ὁ κρεδίτωρ, μὴ ὢν δεσπότης καλῶς ἐκποιεῖ. ἀλλ' ἐάν τις ἐξετάσῃ τὸ ἀκριβὲς οὐ γίνεταί τι παράδοξον· δοκεῖ γὰρ ὁ δεβίτωρ πιπράσκειν ὁ δεσπότης ὢν, αὐτῷ τούτῳ, ᾧ διὰ συμφώνου συγχωρεῖ τῷ κρεδίτορι τὸ πιπράσκειν ἀγνωμοσύνης γινομένης περὶ τὴν τοῦ χρέους ἀπόδοσιν. ἀλλὰ πάλαι μὲν οἱ κρεδίτωρες εἶχον τύπον τινὰ, καθ' ὃν ἐπετέτραπτο αὐτοῖς πιπράσκειν τὰς ὑποθήκας, ἤτοι τὰ ἐνέχυρα. διάταξις δὲ γέγονε τοῦ ἡμετέρου βα-

θ. Contrar

σιλέως, ἥτις οὐδὲ τοὺς δανειστὰς ἐμποδίζεσθαι βούλεται περὶ τὴν τῶν ἐποφειλομένων ἀπαίτησιν. οὐδὲ τοὺς χρεώστας προπετῶς καὶ ἀνεξετάστως τῶν οἰκείων ἐκπίπτειν πραγμάτων. ῥητὸν οὖν ἐπενόησε τῶν ἐκποιήσεων τρόπον. δι' οὗ τρόπου, ἡ τῶν ἐνεχύρων δύναται προϊέναι πρᾶσις. ἥτις διάταξις, ἑκάτερον εὐηργέτησε, τόν τε χρεώστην, καὶ τὸν δανειστήν. τοὺς δὲ τρόπους καθ' οὓς ταῦτα γίνεσθαι δυνατὸν, τὸν ταύτην ἀναγνῶντα τὴν θείαν νομοθεσίαν ἐστὶν εὑρεῖν. ¶ Ἔστιν εὑρεῖν καὶ ἄλλον οὐ δυνάμενον ἐκποιεῖν τὰ οἰκεῖα πράγματα. οἷον ὁ πούπιλλος, ἢ ἡ πουπίλλα, οὐ δύνανται ἐκποιεῖν τὰ οἰκεῖα πράγματα sine tutoris authoritate, διὸ οὐδὲ δανείζουσι. τί δὲ τοῦτο ἐστὶν ἀναγκαῖον εἰπεῖν. ἔχε δὲ ταῦτα ὡς ἂν προθεωρία. ὅρος δανείου ἐστὶ, τὸ τὸν λαμβάνοντα γίνεσθαι δεσπότην, εἶναι δὲ ἡμῖν ἔνοχον, οὐκ εἰς αὐτὰ ταῦτα, ἀλ-

§. Nunc admonendi.

ris nostri cõstitutio, quæ neque creditores, in debiti sui persecutione, impediri voluit: neque debitores temerè & inexcusse res suas amittere. Elegantem igitur adinuenit alienandi modum, per quem pignorũ venditio possit procedere. Quæ constitutio vtrumque beneficio affecit, tum debitorem tum creditorem. Modos autẽ quibus hęc fieri possint, facile est inuenire, si quis sacram hanc sanctionem legat. ¶ Sunt & alij qui res suas alienare non possint. Vt pupillus & pupilla res suas alienare non possunt sine auctoritate tutoris, quapropter neque mutuum dant. Quid autem id sit, dicere est operæpretium. Tu verò hæc habeto in modum præuiæ inspectionis, velut pro fundamento quopiam. Definitio mutui est, vt accipiẽs domin' fiat, & vt nobis obligetur, non ad eadem illa, sed ad alia eiusdem

dem substantiæ & quantitatis. Ideo autem dixi, vt accipiens dominus fiat: nempe vt commodatum & depositũ vitarem: in his enim accipiens dominus non fit. Ideo rursus dixi, vt nobis obligetur: nempe vt vitarem donationem: In hac enim accipiẽs non obligatur. Ideo denique dixi, non ad eadem illa, sed alia eiusdẽ substantiæ & quantitatis: ne scilicet vsum mutui tollerem. Nã si cogeretur is, qui mutuum accepit, ea quæ accepit, reddere: superuacuum esset mutuari. Enimuerò, non quæuis res mutuò dantur, sed hæ, quæ in põdere, numero, aut mẽsura consistunt. Et in pondere consistunt, verbi gratia, aurum, argentum, plumbum, stannum, cera, æs, pix, & si qua similia. In numero, quæ per numerum dantur, vt minuti nummi. In mensura, verbi cau-

λὰ εἰς ἕτερα τῆς αὐτῆς ὑποστάσεως, καὶ ποσότητος. διὰ τοῦτο εἶπον τὸ λαμβάνοντα γίνεσθαι δεσπότην, ἵνα φύγω χρῆσιν καὶ παρακαταθήκην· ἐπὶ τούτων γὰρ οὐ γίνεται δεσπότης ὁ λαμβάνων. διὰ τοῦτο εἶπον γίνεσθαι ἡμῖν ἔνοχον, ἵνα φύγω δωρεάν· ἐπὶ γὰρ ταύτης, οὐκ ἔστιν ἔνοχος ὁ λαμβάνων. διὰ τοῦτο δὲ εἶπον οὐκ εἰς αὐτὰ ταῦτα, ἀλλ' εἰς ἕτερα τῆς αὐτῆς ὑποστάσεως καὶ ποσότητος, ἵνα μὴ τὴν χρείαν ἀνέλω τοῦ δανείου. εἰ γὰρ ἠναγκάζετο ὁ δανεισάμενος αὐτὰ διδόναι ἅπερ ἔλαβε, περιττὸν ἦν τὸ δανείζεσθαι. δανείζεται δὲ οὐ πάντα τὰ πράγματα, ἀλλὰ τὰ in pondere, numero, mensura, τουτέστιν ὅσα ἐστὶν ἐν σταθμῷ καὶ ἀριθμῷ καὶ μέτρῳ. καὶ in pondere μέν ἐστιν, οἷον χρυσὸς, ἄργυρος, μόλυβδος, κασσίτερος, κηρὸς, χαλκὸς, πίσσα, καὶ ὅσα τοιαῦτα. In numero δὲ, ὅσα ἐν ἀριθμῷ ἐστιν: οἷον οἱ λεπτοὶ νοῦμμοι. in

μέσυρα, οἷον σῖτος, κριθή, καὶ τὰ τοιαῦτα. ἐπειδὴ σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. εἰρήκαμεν τὸν πούπιλλον μὴ δύνασθαι sine tutoris authoritate ἐκποιεῖν τὰ οἰκεῖα πράγματα. τί οὖν ὅτι ἐδάνεισε παρὰ γνώμην τοῦ ἐπιτρόπου, ἆρα ἔρρωται τὸ δάνεισμα; καὶ λέγομεν οὐδαμῶς. εἰ γὰρ ἐπὶ τοῦ δανείου ὁ λαβὼν γίνεται δεσπότης, οὐ γίνεται δὲ ἐνταῦθα, ἐπειδὴ ὁ πούπιλλος οὐ δύναται ἐκποιεῖν δίχα τοῦ ἐπιτρόπου. οὐκ οὖν οὐδὲ συνέστη τὸ δάνεισμα, οὐδὲ ἔνοχος γέγονεν ὁ λαβών. τί οὖν; ἕξει ὁ πούπιλλος τὴν in rem ἐπὶ ἐκδικήσει τῶν νομισμάτων τῶν ὑπ' αὐτοῦ δανεισθέντων. ταῦτα μὲν, ἐὰν φαίνονται οἱ νόμισμοι. εἰ δὲ ὁ λαβὼν μαλαφίδει ἐδαπάνησεν αὐτοὺς, τουτέστιν εἰδὼς ὅτι πούπιλλός ἐστιν ὁ δανείσας, κατασχεθήσεται τῇ ad exhibendum. ἐφ' ὧν γὰρ φαινομένων κινεῖται ἡ in rē, ἐπὶ τούτων κρυπτομένων ἢ μαλαφίδει δαπανη-

sa, frumentum, hordeum, & reliqua talia. His ita veluti pro fundaméto præcognitis, vide nunc cetera. Diximus pupillum sine tutoris autoritate, res suas alienare non posse. Quid igitur si mutuū dederit sine tutoris auctoritate, an valida est mutui datio? Et diximus: nequaquam. Nam in mutuo, accipiés dominus fit, id quod hic non fit, quoniā sine tutore pupillus alienare non potest. Neque mutuum igitur consistit, neque accipiens obligatur. Quid ergo? Nummos à se mutuo datos actione in rem pupillus vindicabit, idq;, si extant nummi. Sin verò mala fide cōsumpti sunt, id est, ab eo qui pupillum esse eum sciuit, à quo mutuum accepit: actione ad exhibendum tenebitur. Nam quæ, cùm extant, actione in rē vindicantur, in his si occultantur, aut mala fide consumpta sint, actioni ad

θέν

θέντων, χώρα τῇ ad exhibendum. εἰ δὲ ἀνηλώθησαν βοναφίδει, τουτέστι τοῦ δανεισαμένου νομίζοντος ἔφηβον εἶναι τὸν δανείσαντα, τότε ἡ in rem κινεῖσθαι οὐ δύναται, οὐδὲ γὰρ φαίνονται οἱ νοῦμμοι. οὔτε μὴν ad exhibendum, ἐπεὶ οὐδὲ κρύπτονται οἱ νοῦμμοι: οὐδὲ μὴν μαλαφίδει δεδαπάνηνται. τί οὖν γίνεται, ἵνα μὴ τὸ ὑπὲρ τοῦ πουπίλλου εἰσενεχθὲν νόμιμον, εὑρεθῇ τρεπόμενον εἰς βλάβην αὐτοῦ, καθ' ὃ οὐδεμία αὐτῷ παρέχεται ἀγωγὴ, ἐκ τῶν νομίμων κανόνων, λοιπὸν δοθήσεται αὐτῷ ὁ κονδικτίκιος. καὶ ὅπερ οὐκ ἐποίησεν ἡ τῶν χρημάτων ἀπαρίθμησις, τουτέστι τὸ συστῆναι τὸ δάνεισμα, καὶ γενέσθαι τὸν δανεισάμενον ὑπεύθυνον τῷ κονδικτικίῳ, τοῦτο ποιεῖ ἡ βοναφίδει δαπάνη. τίκτεται γὰρ κἀνταῦθα ὁ κονδικτίκιος. ¶ Τί δὲ ὅτε ἐκ τοῦ ἐναντίου δέδωκέ τις πράγματα ἀνήβῳ sine tutoris authoritate; δεσπότης γίνεται ὁ πούπιλλος. οὐδὲ γὰρ ὁ νό-

exhibendum locus est. Quòd si bona fide consumpti sunt, id est, eo qui mutuũ accepit, existimante adultũ esse, qui mutuum dabat: tunc neque actio in rem intentari potest, quoniam non extant nũmi, neque ad exhibendum, quoniam non occultantur, neque mala fide consumpti sunt. Quid ergo fiet, ne ius quod pro pupillo introductum est, in damnum ipsius vertatur? Et posteaquã nulla ei ex iuris regulis actio competit, reliquum est, vt condictionem habeat, & quod pecuniæ numeratione effectum non est, vt scilicet mutuũ consisteret, & condictione teneretur accipiens: id efficiat bona fides consumentis. Nam & hic oritur condictio.

¶ Quid autem contrà, si quis pupillo rem aliquam det sine tutoris auctoritate? Et dominus fit pupillus. Neq; enim

θ. At ex cõtrario.

μος φθονεῖ αὐτῷ αὔξοντι τὴν οἰκείαν περιουσίαν sine tutoris authoritate. τί οὖν ὅτε ὁ χρεώστης τοῦ πουπίλλου κατέβαλεν αὐτῷ τῷ πουπίλλῳ τὸ χρέος. οὐκ ἀμφιβάλλομεν ὅτι δεσπότης ὁ ἄνηβος τῶν καταβληθέντων συνωμολόγηται. ἆρα δὲ ὁ debitor ἠλευθέρωται τῆς ἐνοχῆς; λέγομεν ὅτι οὐδαμῶς. εἰ γὰρ εἴπομεν ἐλευθεροῦσθαι τὸν χρεώστην, εὑρίσκεται ἐκποιῶν τὴν ἐνοχὴν ὁ πούπιλλος, ἐξ ὧν λαμβάνει τὸ χρέος sine tutoris authoritate, ὅπερ κεκώλυται. ὥστε οὖν ἐπὶ τῇ καταβολῇ τοῦ χρέους, ἡ τοῦ ἐπιτρόπου συναίνεσις ἀναγκαία. εἰ γὰρ μὴ κατὰ γνώμην αὐτοῦ καταβληθῇ ὁ χρεώστης οὐκ ἐλευθεροῦται. καὶ τοῦτο σαφέστατα διατάξει ὁ εὐσεβέστατος ἡμῶν διετύπωσε βασιλεὺς, ἀντιγραφείσῃ πρὸς τοὺς καισαρείας δικολόγους, ex suggestione τριβουνιανοῦ τοῦ ὑπερφυεστάτου κυαίστωρος. ἐν ᾗ παρακελεύσαντο τῷ ἐπιτρόπῳ ἢ κουράτωρι τὸν δεβίτω-

lex ei inuidet patrimonium suum sine tutoris auctoritate augenti. Quid ergo si debitor pupilli ipsi pupillo debitũ soluat? Et dubium non est, quin pupillus eorũ dominus fiat, quæ soluuntur. An ergo debitor obligatione liberatus est? dicimus quòd nequaquam. Nam si dicimus debitorem liberatum esse, iam reperitur pupillus accepto sine tutoris auctoritate debito obligationem alienare, quod prohibitum est. In solutione ergo debiti, opus est auctoritate tutoris. Siquid enim fine permissu illius solutum fuerit, non liberatur debitor.

Et hoc apertissimè Princeps noster religiosissimus constituit, in constitutione, quam ad Cæsarienses aduocatos, ex suggestione Triboniani quæstoris eminentissimi scripsit: qua sancitum est, vt debitor pupilli, solutionem tutori eius aut curatori fa-

eiat, (cùm enim quãdo impuberi curator detur) quà ita facere debet, vt priùs, iudicis sententia sine omni sumptu celebretur, quæ solutionẽ fieri permittat. Quo subsequuto, si & iudex pronuntiauerit, & debitor soluerit: plena securitas ei qui soluerit, parta est, vtpote à debito iã liberato. Quòd si præter dictam formam solutio aliqua debiti facta fuerit, & soluta pecunia extet apud pupillum, aut acceptam, vtiliter in vsus suos, aut patrimonium suum consumpserit: fortè enim aut ædes suffulsit, aut fundos suos excultiores reddidit, aut præceptoribus mercedes præbuit, aut creditores absoluit: nihilominùs & ita saluam habet aduersus debitorem actionem pupillus: sed si agere cum eo nitatur, & debitum petere, opposita doli mali ex-

ρα τοῦ ἀνήβου ποιήσασθαι τὴν καταβολὴν, οἶδας γὰρ ὅτι ὁ ἄνηβος κουρατωρεύεται, οὕτω καταβαλεῖν ὀφείλει, ὥστε πρότερον ἀπόφασιν γίνεσθαι δικαστοῦ δίχα πάσης δαπάνης ἐπιτρέπουσαν γίνεσθαι τὴν καταβολήν. τούτου δὲ παρακολουθήσαντος, καὶ ἐπιφωνουμένου τοῦ δικαστοῦ, καὶ τοῦ δεβίτορος καταβαλόντος τὸ ἀμέριμνον ὁ καταβαλὼν ἔχει, οἷα τοῦ χρέους ἀπαλλαγείς. εἰ δὲ παρὰ τὴν εἰρημένην διατύπωσιν τοῦ χρέους γενήσεται καταβολὴ, τὰ δὲ καταβληθέντα χρήματα σώζεται παρὰ τῷ πουπίλλῳ, ἢ λαβὼν ταῦτα ἐδαπάνησε, καὶ ἐντεῦθεν ὠφελήθη αὐτὸς, ἤγουν ἡ αὐτοῦ περιουσία. τυχὸν γὰρ οἰκίαν ἀνώρθωσεν, ἢ ἰδίους ἀγροὺς ἐφιλοκάλησεν, ἢ διδασκάλοις παρέσχε μισθοὺς, ἢ κρεδίτορσι κατέβαλεν· οὐδὲν ἧττον καὶ οὕτως ἔχει ὁ ἄνηβος ἐρρωμένην κατὰ τοῦ δεβίτορος τὴν ἀγωγήν. πειρώμενος δὲ τοῦτον κινεῖν καὶ τὸ χρέος ἀπαιτεῖν, ἐκβληθήσεται

διὰ

διὰ τῆς τοῦ δόλου παραγραφῆς. εἰ δὲ λαβὼν ταῦτα ἀσώτως ἐδαπάνησε, καὶ οὐκ ἐπωφελῶς, ἢ κλοπῇ ἐπ' αὐτοῖς ὑπέστη, ἀπαιτήσει τὸ χρέος τὸν χρεώστην ἐξ ἀρχῆς οὐδεμιᾶς ἀντικειμένης παραγραφῆς. καταδικάζεται γὰρ ἀμάχως ὁ δεβίτωρ. ἐπειδὴ προπετῶς sine tutoris authoritate, καὶ οὐ κατὰ τὰ εἰρημένα τῇ διατάξει τοῦ ἡμετέρου βασιλέως ἐποίησε τὴν καταβολήν.

8. Sed ex diuerso. ¶ Καὶ οἱ ἄνηβοι sine tutoris authoritate καταβαλεῖν οὐ δύνανται. οὐδὲ γὰρ μετατιθέασιν ἐπὶ τὸν λαμβάνοντα τὴν δεσποτείαν. διὰ τὸ μηδεμίαν ἔχειν αὐτοὺς ἄδειαν ἐκποιεῖν sine tutoris authoritate τὰ οἰκεῖα πράγματα. τί οὖν γενήσεται; ὁπότε κατέβαλον καὶ οὐκ ἠλευθερώθησαν τοῦ χρέους. οἷα μὴ ποιήσαντες δεσπότην τῶν νομισμάτων τὸν λαβόντα. καὶ φαμὲν ὅτι φαινομένων μὲν αὐτῶν, ἔξεστι τὴν in rem. κρυπτομένων δὲ, ἢ μαλαφίδει δαπανηθέντων, τὴν ad

ceptione, submouebitur. Sin verò acceptam per luxum & inutiliter consumpserit, aut furto amiserit: debitum à debitore iterum repetet, nec vlla obstabit exceptio: Nam procul dubio condemnabitur debitor quia temere sine tutoris auctoritate, & non secundùm dispositionem constitutionis Principis nostri, solutionem fecerit. ¶ Impuberes quoque sine tutoris auctoritate, soluere non possunt, quando nec dominiũ in accipientem transferũt: propterea, quòd nullam sine tutoris auctoritate res suas alienandi potestatẽ habeant. Quid ergo fiet, quum soluerũt, nec à debito liberantur, quasi is, cui solutum est, dominus factus non sit? Et dicimus, extantibus nũmis fore, vt in rem actionem habeant: suppreßis aut mala fide consumptis, ad

ad

exhibendum. Quòd si bona fide consumpti sint, quia fortè creditor putabat esse adultos, & ita consumpsit: quoniam neque actio in rem procedit, quum nõ extent, inutilisq; est & actio ad exhibendum, quum neque mala fide consumpti sint, neque supprimantur: ex ipso facto hoc liberabuntur pupilli à debito. Et quòd numeratio sine auctoritate tutoris facta non fecit, id conficit bona fides consumentis.

ad exhibendum. εἰ δὲ βοναφίδει ἐδαπανήθη, ὁ γὰρ κρεδίτωρ νομίσας αὐτοὺς ἐφήβους εἶναι ταῦτα ἐδαπάνησε, ἐπειδὴ οὐκ ἔστιν in rem μὴ φαινομένων αὐτῶν, ἀργεῖ καὶ ἡ ad exhibendum, μήτε γενομένου κακίστου δαπανήματος, μήτε μὴν κρυπτομένων τῶν νούμμων, τότε ἐξ ἀποτελέσματος, ἐλευθερωθήσεται τοῦ χρέους ὁ πούπιλλος. καὶ ὅπερ οὐκ ἐποίησεν, ἡ sine tutoris authoritate γενομένη ἀπαρίθμησις, τοῦτο ἀποτελεῖ ἡ βοναφίδει δαπάνη.

---

## PER QVAS PERSONAS NOBIS ACquiritur. Tit. VIIII.

Qvæcunq; dicta sunt, siue in rebus siue in actionibus, adquiruntur nobis, non solùm per nosmetipsos, sed etiam per eos quos in potestate habemus. Itẽ per seruos alienos, in quibus vsumfructum habemus. Sed & per liberas personas, & seruos alie-

ΠΑ'ντα τὰ εἰρημένα, εἴτε ἐν πράγμασιν, εἴτε ἐν ἀγωγαῖς, προσπορίζονται ἡμῖν, οὐ μόνον δι' ἡμῶν, ἀλλὰ καὶ δι' ἐκείνων, οὓς ἔχομεν in potestate, καὶ διὰ τῶν ἀλλοτρίων οἰκετῶν, ἐφ' οἷς ἔχομεν οὐσούφρουκτον, καὶ δι' ἐλευθέρων προσώπων, καὶ οἰκετῶν ἀλλοτρίων,

τρίων, οὓς bona fide νεμόμεθα, νομίζοντες ἡμετέρους εἶναι οἰκέτας. περὶ δὲ ἑνὸς ἑκάστου, ἐπιμελέστερον σκοπήσωμεν.

¶. Igitur. ¶ Κατὰ πρώτην τάξιν προσπορίζουσιν ἡμῖν οἱ ἡμέτεροι παῖδες οἱ in potestate. τοῦτο μὲν ἄρρενες, τοῦτο δὲ θήλειαι, ἀλλὰ πάλαι μὲν, τὸ ὅθεν δήποτε εἰς αὐτοὺς περιελθὸν, προσεπόριζον ἡμῖν τοῖς ἔχουσιν αὐτοὺς ὑπεξουσίους, ἐξῃρημένων τῶν καστρενσίων πεκουλίων. καὶ οὕτως ἐγίνετο τὸ τοιοῦτο τῶν γονέων τὸ ὑπὸ τῶν παίδων προσπορισθὲν, ὥστε αὐτοῖς πᾶσαν ἐξουσίαν προσεῖναι, τὸ ὑφ' ἑνὸς υἱοῦ, ἢ ὑπὸ μιᾶς θυγατρὸς προσπορισθὲν, ἑτέρῳ παιδὶ ἢ ἐξωτικῷ δωρήσασθαι, ἢ πωλῆσαι, ἢ οἱῳδήποτε τρόπῳ μεταγαγεῖν. ὅπερ ἀπάνθρωπον εἶναι δόξαν τῷ ἡμετέρῳ βασιλεῖ, γενικῇ διατάξει τὴν προσήκουσαν ἐδέξατο θεραπείαν, δι' ἧς καὶ τῶν παίδων ἐφείσατο, καὶ τοῖς πατράσι τὸ ἐποφειλόμενον ἐφύλαξεν. ἐκέλευσε

γὰρ

nos, quos bona fide possidem', nostros esse seruos existimantes. De singulis ergo diligentius videam'.

¶Et in primis, liberi nobis nostri adquirunt, quos in potestate habemus, siue mares sint, siue feminæ. Atque olim quidem, quidquid vndecumque ad eos peruenerat, nobis in quorum erant potestate, adquirebant: exceptis castrensibus peculiis, & ita hæc parentum erant, quę liberi adquisierant, vt potestatem haberent, quod per vnū vel vnam ex liberis adquisitum erat, alteri filio aut extraneo donare, vel vendere, vel quocumq; modo applicare. Quod, cùm Principi nostro inhumanū visum esset, ex generali ipsius constitutione idoneū remediū accepit, in qua & liberis pepercit, & parentibus debitum honorem reseruauit. Sāciuit enim, vt si quid ex re pa-

tris, filio, qui in potestate eius est, obueniat, donatum fortè à patre, aliáve ex causa ad eum translatum: hoc secundùm antiquam obseruationem, totum patri adquiratur. Nec enim vlla inuidia est, id quod ex patris occasione ad eũ profectum est, ad patrem reuerti. Quod verò alia ex causa filiusfamilias adquisierit: eius vt vsusfructus patri adquiratur, & proprietas apud filiũ maneat. Iniquum enim est, id quod magno labore, aut prospera fortuna cuiquam accessit, in alterum cõferri: & ei qui primitus adquisierit, causam mœroris esse, quoniam non tam molestum est, nihil adquisisse, quam quum adquisieris, id tibi auferri.

¶ Erant sanè & ante cõstitutionem religiosissimi nostri Principis, quædam quæ patri nõ adquirebantur: vt bona materna, & lucra nu-

γὰρ εἰ μὲν ἐκ τῆς περιουσίας τοῦ πατρὸς περιγενήσεταί τι τῷ ὑπεξουσίῳ, τοῦ πατρὸς τυχὸν δωρησαμένου, ἢ ἑτέρως ὅπως δήποτε εἰς αὐτὸν μετατεθέντος, ὥστε τοῦτο κατὰ τὸ ἐξ ἀρχῆς κρατοῦν, ὅλον προσπορίζεσθαι τῷ πατρί. οὐδεὶς γάρ ἐστι φθόνος, ὅπερ ἐκ τῆς τοῦ πατρὸς προφάσεως ἦλθεν εἰς αὐτόν, τοῦτο παλινδραμεῖν ἐπὶ τὸν πατέρα. ὅπερ δὲ ἐξ ἄλλης αἰτίας ὁ ὑπεξούσιος ἐκτήσατο, τούτου τὴν μὲν οὐσούφρουκτον προσπορίζεσθαι τῷ πατρί. ἡ δὲ δεσποτεία μενέτω παρὰ τῷ παιδί. ἄδικον γὰρ τὸ πολλοῖς καμάτοις ἢ δεξιότητι τύχης τινὶ προσγινόμενον, ἑτέρῳ τοῦτο παρέχειν, καὶ ὀδυρμῶν αἴτιον γίνεσθαι τῷ τὴν ἀρχὴν κτησαμένῳ. λυπεῖ γάρ τινα, οὐχ οὕτω τὸ μὴ κτηθέν, ὡς τὸ μετὰ τὴν κτῆσιν ἀφαιρεθέν.

¶ Ἐπεὶ δὲ καὶ πρὸ τῆς τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως διατάξεως, ἦν τινὰ μὴ προσποριζόμενα τῷ πατρί, οἷον τὰ μητρῷα, καὶ τὰ θ. Hoc quoque.

ἀπὸ

ἀπὸ γάμων κερδαινόμενα, ἦν δὲ καὶ διάταξις λέγουσα ἐξεῖναι τῷ πατρὶ ἐμαγκίπατον ποιοῦντι τὸν παῖδα, τὸ τρίτον μέρος τῶν ἀπεραπορίστων πραγμάτων κατέχειν λόγῳ δεσποτείας ὡσανεὶ τίμημα λαμβάνοντα τῆς ἐμαγκιπατίονος, καὶ συνέβαινέ τι ἀπάνθρωπον, ὅτι ἡ ἐμαγκιπατίων, ἡ διὰ τιμὴν δεδομένη τῷ ὑπεξουσίῳ, καθ' ὃ αὐτεξούσιον αὐτὸν ποιεῖ, εἰς ζημίαν ἑαυτῷ περιετρέπετο. τῶν γὰρ οἰκείων ἐστερεῖτο πραγμάτων, τῆς οὐσίας αὐτοῦ μειουμένης. ὅθεν διετύπωσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς, μηκέτι τὸ τρίτον τῆς δεσποτείας τῶν τοῦ παιδὸς ἀπεραπορίστων πραγμάτων τὸν πατέρα παρακατέχειν, ἀλλὰ τοῦ ἡμίσεος μέρους τὴν οὐσούφρουκτον. τούτῳ γὰρ τῷ τρόπῳ, καὶ ἀμείωτος ἡ τοῦ παιδὸς περιουσία μένει παρὰ τῷ παιδὶ, καὶ τοῦ ἡμίσεος μέρους τὴν οὐσούφρουκτον λαμβάνων ὁ πατὴρ, ὀνόματι μείζονι χαίρει τιμηθεὶς, αὐτὶ γὰρ τρίτου

ptialia. Erat & constitutio, per quam licebat patri filium emancipanti, tertiam partem eorum, quæ adquisitionem effugiunt, sibi retinere, quasi emancipationis pretium. Et inhumanum quiddā accidebat: vt emancipatio, quę honoris causa filiofamilias dabatur (nam sui iuris per eam fiebat) in damnum ipsius conuerteretur. Per deminutioné enim rerum, fortunis suis spoliabatur. Vnde religiosissimus noster Princeps constituit, ne posthac tertiam partem proprietatis pater retineret in rebus filij, quæ in adquisitionem non veniunt, sed dimidiæ partis vsumfructum. Sic enim & intactū apud filium manet patrimoniū suum, & pater dimidię partis vsumfructum accipiens, maioris honoris nomine lætatur, vt qui pro tertia

τῆς

dimidiam sit habiturus. ¶ Non solùm autẽ liberi nostri, qui in potestate nostra sunt, nobis adquirũt, sed etiam serui nostri, siue quid ex traditione nãciscantur, siue stipulentur, siue ex alia qua causa adquirãt. Id enim & ignorãtibus, immò, quod maius est, & nolentibus domini acquiritur. Nam seruus, vt qui in aliena sit potestate, nihil proprium habere potest, excipe hereditatẽ. Si enim ab aliquo seruus meus, heres scribatur: haud aliter eam adquirere potest, quàm si iussu meo adeat. Nã fieri potest, vt onera, quæ latent necdũ cõpárent, longe maiora sint lucro quod prima facie appáret. Porrò absurdũ esset, ignorantes, immo & nolẽtes nos, damnosam adire hereditatem, eáq; propter, in adquisitione hac, necesse est, domini iussus præcedat. Et si voluntate mea seruus meus adierit, perinde heres efficiar, atque si

τὸ ἥμισυ λαμβάνει.

¶ Οὐ μόνον δὲ οἱ ὑπεξούσιοι παῖδες ἡμῖν προσπορίζουσιν, ἀλλὰ καὶ οἱ ἡμέτεροι οἰκέται, εἴτε κατὰ τραδιτίονα λάβωσί τι, εἴτε ἐπερωτήσουσιν, ἢ ἐξ ἑτέρας οἵας δήποτε κτήσονται αἰτίας. τοῦτο γὰρ καὶ ἀγνοοῦσι, ὅτι καὶ τὸ μεῖζον μὴ βουλομένοις προσπορίζεται τοῖς δεσπόταις. ὁ γὰρ οἰκέτης οἷα ὑπεξούσιος ὤν, οὐδὲν ἴδιον ἔχειν δύναται, ἔξελε τὴν κληρονομίαν. εἰ γὰρ ὁ ἐμὸς οἰκέτης ὑπό τινος γραφῇ κληρονόμος, οὐχ ἑτέρως ταύτην κτήσασθαι δύναται, εἰ μὴ κατὰ κέλευσιν ἐμὴν ἀδιτεύσῃ. ἐπειδὴ ἐνδέχεται μείζονα εἶναι τῶν ἐν ὄψει κερδῶν, τὰ λανθάνοντα βάρη, καὶ μὴ φαινόμενα. ἄτοπον δὲ ἦν ἀγνοοῦντας ἡμᾶς, ἤγουν καὶ ἄκοντας ἐπιζήμιον ὑπεισιέναι κληρονομίαν, διὰ τοῦτο ἐπὶ τῆς κτήσεως αὐτῆς, ἀναγκαῖον ἐστὶ τὴν τοῦ δεσπότου προηγεῖσθαι κέλευσιν. καὶ ἐὰν ὁ ἐμὸς οἰκέτης, κατὰ γνώμην ἐμὴν ἀ- θ. Item vobis.

διατυπώσει, οὕτω γενήσομαι κληρονόμος, ὥσπερ εἰ ἐγὼ αὐτὸς ἔγγραφος ἦν κληρονόμος. ἀκολούθως δὲ τοῖς ἄνω εἰρημένοις, καὶ τὰ καταλειφθέντα τοῖς δούλοις ληγάτα προσπορίζεται ἡμῖν. οὐ μόνον δὲ δεσποτεία διὰ τῶν ἐν ποτεστάτε προσπορίζεται ἡμῖν, ἀλλὰ καὶ νομή. εἰ γάρ τις τὸ μὴ οἰκεῖον πρᾶγμα, τῷ ἐμῷ ὑπεξουσίῳ παραδῷ, ἢ κινητὸν, ἢ ἀκίνητον βοναφίδεϊ δεχομένῳ, διὰ τῆς αὐτοῦ κατοχῆς γενήσομαι τούτου δεσπότης διὰ τῆς οὐσουκαπίονος, ἢ διὰ τῆς τοῦ μακροῦ χρόνου νομῆς. ¶ Ταῦτα μὲν

¶ De iis autem.

περὶ τῶν ἡμετέρων οἰκετῶν. προσπορίζουσι δὲ ἡμῖν καθὰ εἴρηται καὶ ἀλλότριοι οἰκέται, ἐφ' οἷς ἔχομεν οὐσούφρουκτον, ἀλλὰ οὐκ ἐκ πάσης αἰτίας, ἀλλὰ ἐκ δύο τούτων, ex re mea, ex operis suis. Ex re mea ἐστὶν, ἡνίκα φροντίδας αὐτῷ τῶν ἐμῶν κτημάτων καθεπίστευσα, ἢ ἐπέτρεψα αὐτῷ τὰ ἐμὰ ἐκδανείζειν χρήματα, καὶ ἐποίησα αὐτὸν

ego ipse heres scriptus fuissem. His autem consequens est, vt & legata ipsis relicta, nobis adquirantur. Porrò, non solùm proprietas per eos, quos in potestate habemus, adquiritur nobis, verùm etiam possessio. Si quis enim rē non suam mobilem aut immobilem, seruo meo bona fide accipiēti tradat, possessio eius siue detētio ad hoc mihi proficiet, vt rei dominus constituar per vsucapionē, vel longi temporis possessionē. ¶ Et hæc quidem de seruis nostris. Adquirunt autem nobis, vt dictū est, & serui alieni, in quibus vsumfructū habemus. Non tamē quibusuis ex caussis, sed ex duabus tātùm: hoc est, ex re mea, & ex operis suis. Ex re mea est, quando verbi gratia, curam ei possessionum mearum crediderit aut permisi, vt pecuniis meis mutuandis præesset, dispensatoremque (vt voca

ἢ

tur)eum feci. Fieri enim potuit, vt ex diligentia circa rem familiarem, vel circa res rusticas, vel in mutuum dando, extrinsecus aliquid ad ea, quæ mihi debentur & ad me spectãt, lucri corradat: hoc dicitur ex re mea, & mihi adquiretur. Ex operis autem suis, verbi gratia, aut sutor erat, aut faber, aut pictor. Locaui eum, vt aliis operaretur, pactámq; mercedem pro arte sua acciperet. Fieri potest, vt hic supra pactam mercedem, aliquid acceperit: & quod inde partum est, mihi adquiret, id est, ex operis suis. Si quid verò extra has duas causas adquisierit, hoc ad proprietarium pertinet. Quapropter siue hereditas ei relicta, siue legatum datum est, & legatum est consequutus, siue donatione aliquis in eũ contulit, proprietario id, non vsufructuario adquirit.

¶ Quæ dicta sunt de seruo, in quo vsumfructum habeo; & in

τὸ λεγόμενον διαπραγματευσάτωρα. ἠδυνήθη γὰρ ὁ οὗτος ἐκ περινοίας οἰκείας, ἢ ἐκ τῶν γεωργιῶν, ἢ ἐκ δανειζομένων, ἔξωθέν τι τῶν ἡμῖν ἐποφειλομένων κερδᾶναι, τοῦτο λέγεται ex re mea, καὶ προσπορισθήσεταί μοι. Ex operis δὲ suis, οἷον ῥάπτης ἐστὶν, ἢ τέκτων, ἢ ζωγράφος, ἐμίσθωσα αὐτὸν ἐγὼ ἐπὶ τῷ ἑτέροις ἐργάζεσθαι καὶ μισθὸν ὡρισμένον ὑπὲρ τῆς αὐτοῦ τέχνης λαμβάνειν. οὗτος ὑπὲρ τοὺς ὁρισθέντας μισθοὺς ἠδυνήθη λαβεῖν τι. καὶ τὸ ἐντεῦθεν κτηθὲν, ἐμοὶ προσπορίζει. τοῦτό ἐστιν ex operis suis. εἰ δέ τι παρὰ τὰς δύο ταύτας αἰτίας ἐκτήσατο, τοῦτο πρὸς τὸν προπριετάριον ἀνήκει, ὥστε οὖν εἴτε κληρονόμος ἐγράφη, ἢ καὶ ληγατάριος, καὶ ληγάτου ἔτυχεν, ἢ παρά τινος ἐδέξατο δωρεὰν, οὐ τῷ οὐσουφρουκτουαρίῳ, ἀλλὰ τῷ προπριεταρίῳ τοῦτο προσπορίζει. ¶ Τὰ εἰρημένα ἐπὶ οἰκέτου καθ' οὗ ἔχω τὸν οὐσούφρουκτον, τὰ αὐτὰ ἤρεσε καὶ b. Idẽ placet.

περὶ ἐκείνου ὃν βοναφίδει νέμομαι, εἴτε ἐλεύθερός ἐστιν, εἴτε ἀλλότριος οἰκέτης. καὶ γὰρ καὶ αὐτοὶ, ἐκ τῶν δύο αἰτιῶν ἡμῖν προσπορίζουσι, τουτέστι ex re mea, vel ex operis suis. εἰ δὲ παρὰ τὰς δύο ταύτας αἰτίας κτήσονται, εἰ μὲν ἐκτήσατο ὁ ἐλεύθερος ὃν βοναφίδει νέμομαι, ὁ νόμος αὐτῷ φυλάττει, ὀφείλων ἀποσῶσαι κατ' ἐκεῖνον τὸν καιρὸν, ἐπειδὰν ἐπιγνῷ τὴν οἰκείαν τύχην, εἰ δὲ οἰκέτης ἐστὶ βοναφίδει κατεχόμενος ὑπ' ἐμοῦ, τῷ ἀληθεῖ δεσπότῃ προσπορίζεται, δίχα τῶν δύο αἰτιῶν, τὰ ὑπὸ τοῦ οἰκέτου κτηθέντα. ὁ δὲ βοναφίδει νεμόμενος τὸν ἀλλότριον οἰκέτην, ἐπὶ τούτων ἐκ τῶν δύο μόνον αἰτιῶν ἀπολαύει τοῦ προσπορισμοῦ, ἐφ' ὅσον μὴ παρέδραμε τριετία. ταύτης δὲ παρελθούσης, οὐσουκαπιτεύει λοιπὸν τὸν οἰκέτην. καὶ τὰ ἐκ πάσης αἰτίας προσγινόμενα τῷ οἰκέτῃ προσπορισθήσεται αὐτῷ. ὁ γὰρ τὸν ἐλεύθερον βοναφίδ

eo placuerit, quem bona fide possideo, siue liber sit, siue alienus seruus. Nam & hi, ex duabus illis causis nobis adquirunt, hoc est ex re mea, vel ex operis suis. Quod verò extra istas duas causas nanciscuntur, id si liber est quem bona fide possideo, lex ipsi reseruat, in illud scilicet tempus, cùm fortunam suam is agnouerit: quòd si alienus est seruus, quē bona fide possideo, domino vero adquiruntur, quæcumque ille adquisierit, præterquam ex duabus illis causis. Porrò qui bona fide alienum seruū posidet, tantisper ex duabus tantùm causis illis, eorum quæ adquisita sunt per seruum, dominus fit dum triennium transeat: hoc enim elapso, seruū in posterum vsucepit, & quacumque is aliquid ex causa adquirat, ipsi adquirit. Nam qui liberū bona fide posidet,

non vsucapit, vt dictum est. Sed neque is qui vsumfructum habet, vsucapere vnquã potest. Primùm quia non posſidet, porrò ſine poſſeſſione, vſucapio nõ procedit. Eſt autẽ poſſeſſio, animo dominantis poſſidere: hic verò tantum habet ius vtendi & fruendi. Quòd ſi quis nullo ad iuris regulas habito reſpectu, verùm ex his quæ oculis videt æſtimans rem, vſufructuarium poſſidere dixerit: alia & quidem maiori ratione, prohibebitur vſucapio: nimirum, quòd vſufructuarius mala fide poſſideat, neque enim neſcire potuit alienum eſſe. Non ſolùm autem proprietas nobis per ſeruos in quibus vſumfructum habemus, aut quos bona fide poſſidemu, vel per liberam perſonam, quã bona itidẽ fide poſſideo, ſeruum meum eſſe exiſtimans: ſed etiam poſſeſſio adquiritur, ſecundùm tamen ea, quæ paulò antè dicta ſunt, hoc eſt, ex re mea

ναφίδει νεμόμενος, οὐκ οὐσουκαπιτεύει ὡς εἴρηται. καὶ ὁ οὐσούφρουκτον δὲ ἔχων, οὐσουκαπιτεύειν οὐδέποτε δύναται. πρῶτον μὲν ἐπειδὴ οὐ νέμεται· νομῆς γὰρ μὴ ὑποκειμένης, οὐ παράγεται οὐσουκαπίων. νομὴ δέ ἐστι, τὸ ψυχῇ δεσπόζοντος νέμεσθαι. οὗτος δὲ ἔχει δίκαιον τοῦ χρῆσθαι, καὶ καρποῦσθαι. εἰ δὲ καί τις μὴ νομικαῖς ἐννοίαις ἀκολουθῶν, ἀλλὰ τῷ ὁρωμένῳ δουλεύων, εἴπῃ τὸν οὐσουφρουκτουάριον νέμεσθαι, ἑτέρῳ μείζονι λόγῳ, ἡ οὐσουκαπίων ἐπισχεθήσεται. διὰ τὸ μαλαφίδε νέμεσθαι τὸν οὐσουφρουκτουάριον. οἶδε γὰρ ὅτι ἀλλότριός ἐστιν. οὐ μόνον δὲ δεσποτεία διὰ τούτων τῶν οἰκετῶν, ἐφ' οἷς ἔχομεν τὸν οὐσούφρουκτον, ἢ οὓς βοναφίδει νεμόμεθα, ἢ διὰ τοῦ ἐλευθέρου ὃν καλῇ νέμομαι πίστει, ἐμὸν ὑποπτεύων οἰκέτην εἶναι, ἀλλὰ γὰρ καὶ νομὴ ἡμῖν προσπορίζεται. δηλαδὴ κατὰ τὰ ἔναγχος εἰρημένα. τουτέστιν ex re mea, vel ex o-

peris suis. ἐὰν γὰρ ἀλλότριον πρᾶγμα, ἐκ τῶν δύο αἰτιῶν λάβωσι παρὰ τοῦ μὴ δεσπόζοντος, δι' ὧν χρόνων αὐτὸ κατέχουσι, ἢ οὐσουκαπίων προβήσεται, ἤγουν ἐμοὶ δραμεῖται. ¶ Ἐκ τῶν εἰρημένων οὖν φαίνεται, ὅτι δι' ἐλευθέρων προσώπων ἅ τινα οὐκ ἔστιν ἡμῖν ὑπεξούσια, οὐδὲ βονᾳφίδει δουλεύει ἡμῖν, ὁμοίως καὶ διὰ τῶν ἀλλοτρίων οἰκετῶν, ἐφ' οἷς οὐδὲ οὐσούφρουκτον, οὐδὲ βονᾳφίδει ἔχομεν νομὴν ἐξ οὐδεμιᾶς προσπορίζεσθαι αἰτίας ἡμῖν τι δύναται, καὶ τοῦτό ἐστι τὸ παρὰ πᾶσι λεγόμενον, δι' ἐξωτικοῦ προσώπου μηδὲν προσπορίζεσθαι δύνασθαι, ἐξῃρημένου τοῦ λεχθησομένου θέματος. ἐὰν γὰρ πωλήσῃ τὶς ἐμοὶ κτῆσιν, ἐν ἑτέρῳ διακειμένην τόπῳ, εἶτα οὐ δυνηθεὶς τοῖς τόποις ἐκείνοις ἐπιστῆναι, πέμψω τὸν ἐμὸν προκουράτωρα, καὶ τὴν νομὴν οὗτος παραλάβῃ τῶν κτημάτων, προσπορισθήσεταί μοι δι' αὐτοῦ ἡ νομή. καὶ

§. Ex his.

vel ex operis suis. Nam si rem alienam ex duabus his causis, ab eo qui dominus non fuerit, acceperint, tempora, quibus ipsi in possessione fuerint, & mihi ad vsucapionẽ proficient, siue current. ¶Ex his igitur quæ dicta sunt, apparet, per liberas personas quæ nec in potestate nostra sunt, nec bona fide nobis seruiunt, item per alienos seruos, in quib[us] neq; vsumfructum habemus, neq; possessionem bonæ fidei, nulla ex causa quicquam nobis adquiri posse. Et hoc scilicet est, quod vulgò dicitur, per extraneam personam nihil adquiri posse, excepto casu, quẽ iam referam. Nam siquis mihi prædiũ quod alio in loco situ est, vendat: neque ego illuc proficisci possim, sed procuratorem meum mittam, & hic possessionem prediorum accipiat: possessio mihi per eum adquiretur. Nec

οὐ

verò solum si scientibus nobis id contingat, sed etiam si ignorantibus, possessio eius quod nostro nomine his datum fuerit, nobis adquiritur, vt voluit cõstitutio Seueri Cęsaris. Possessione verò nobis adquisita, tacitè sequitur & dominium si dominus fuerit, qui tradidit. quòd si non fuerit, per vsucapionẽ, aut longi temporis possessionem, dominiũ rei traditæ adquiro. ¶ Hactenus dixisse sufficit, quemadmodum singulæ res nobis adquirantur. Est & alius ciuilis adquirẽdi modus, per legatũ: quo & ipso iure singulæ res nobis adquiruntur. Itẽ per fideicõmissa: vbi etiã singulę res possunt relinqui. Verũ hæc cõmodius suis locis infra dicẽtur. Adquisitiões igitur aut Iurisgentiũ sunt aut Ciuiles. Et iurisgentium quidẽ sunt quattuordecim. Vt

οὐ μόνον εἰ γινωσκόντων ἡμῶν τοῦτο συνέβη, ἀλλὰ καὶ εἰ ἀγνοούντων, εἰ ἐδόθη τι αὐτοῖς ἡμετέρῳ ὀνόματι, ἡ νομὴ ἡμῖν προσπορίζεται, ὡς βούλεται ἡ διάταξις τοῦ βασιλέως σεβήρου. λοιπὸν δὲ τῆς νομῆς ἡμῖν προσπορισθείσης, σιωπηρῶς ἕπεται ἡ δεσποτεία, ἐν ᾧ δεσπότης ἦν ὁ παραδιδούς. εἰ δὲ οὐκ ἦν δεσπότης, διὰ οὐσουκαπίονος, ἢ μακροῦ χρόνου παραδρομῆς τοῦ τραδιτευθέντος κτῶμαι τὴν δεσποτείαν. ¶ Ἀρκεῖ μέχρι τοσούτου διεξελθεῖν, ἵνα τρόπον τὰ καθ᾽ ἕκαστον ἡμῖν προσπορίζεται πράγματα. ἔστι δὲ καὶ ἕτερος νόμιμος τρόπος κτήσεως. ὁ διὰ τοῦ ληγάτου, δι᾽ οὗ τὰ καθ᾽ ἕκαστον ἡμῖν προσπορίζεται πράγματα. ἔτι δὲ καὶ ὁ τῶν φιδεϊκομμίσσων, δι᾽ ὧν καὶ αὐτῶν ἰδικὰ ἡμῖν πράγματα δύναται καταλιμπάνεσθαι. ταῦτα δὲ ἐπιτηδειότερον ἐν τοῖς κατωτέροις λεχθήσεται τόποις. ὥστε οὖν ἡ φυσικαὶ κτήσεις εἰσὶν ἢ ἔννομοι. καὶ φυσικαὶ μὲν τεσσαρεσκαί-

6. Hactenus

ἄγρα, οἷον ἡ ϑήρα, τὰ λάφυρα, καὶ οἱ ἐν αἰγιαλῷ εὑρισκόμενοι λίϑοι, ἢ τίμιαι ψηφῖδες, καὶ ἡ ἐκ τῶν ἡμετέρων ζώων γονή, ἡ ἀλλουβίων, ἡ νῆσος ἡ ἐν ϑαλάσσῃ, ἢ ἐν ποταμῷ ἀναφυομένη, ἢ τὸ πλησίον κεκτῆσϑαι τὸ ὑπὸ τοῦ ποταμοῦ καταλειφϑείσης νηδύος, τὸ ἀλλοτρίαν ὕλην εἰς εἶδος μετασχηματίσαι, εἰς τὴν ἀρχαίαν οὐ δυνάμενον ἀναδραμεῖν ὕλην· τὸ ἐξ ἀλλοτρίας καὶ οἰκείας ὕλης εἶδος κατασκευάσαι· τὸ δύο ὕλας τὰς αὐτὰς, ἢ καὶ διαφόρους κατὰ γνώμην μιγῆναι τῶν δεσποτῶν, ἢ ἐκ τύχης. ὁ κανὼν ὁ λέγων εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις· ὡς ἐν πολλοῖς ἐϑεωρήϑη ϑέμασιν. οἷον ἡνίκα ἐξ ἀλλοτρίας ὕλης οἶκον ἐποίησα ἐν ἐμῷ ἐδάφει, ἢ ἐξ ἐμῆς ἐν ἀλλοτρίῳ. τὸ ἀλλότριον δένδρον ἐν οἰκείῳ φυτεῦσαι ἀγρῷ, καὶ ἐκ τοῦ ἐναντίου ἴδιον δένδρον, ἐν ἀλλοτρίῳ φυτεῦσαι ἐδάφει, ὥστε καὶ ῥιζωϑῆναι. γράμματα ἐπιτιϑέμενα

Venatio, Hostium spolia, & lapilli in littore maris inuenti, siue pretiosæ gemmæ: Animalium nostrorum fetus: Alluuio: Insula in mari aut flumine enata: Et prædia ad alueū à flumine desertum habere. Et alienam materiam, in eam speciem quæ in pristinam materiam redire nequeat, mutasse: Et ex aliena & sua materia speciem fecisse: Duorum materias eiusdem aut diuersi generis volūtate dominorū, aut fortuitò commixtas esse. Regula, quæ dicit superficiem subiecto cedere, vt in multis casibus visum est: veluti cùm ex aliena materia domum in solo meo cōstruxi: aut ex mea, in alieno. Alienam arborem in suo plātasse fundo, & contra, suam arborem in alieno fundo plātasse sic vt radices egerit: Literas chartis aut mēbranis meis

inscriptas esse: Porrò in imagine vitiabatur regula. Nam tabulā vincebat pictura. Bona fide alienum fundum possidere, & hunc conseuisse: Thesaurum in suo loco, aut in sacro religiosóve ex casu reperisse. Si enim in alieno, pro dimidio tantum dominus fiet, siue priuati, siue Principis, siue Fisci, siue Ciuitatis is locus fuerit. Ad hæc & traditio. Porrò autem Ciuiles adquisitiones olim quinque erant, hodie quattuor. Veluti vsucapio: longa possessio: & apud veteres ius adcrescēdi, eò quòd temerè in seruum commune libertas esset collata: Et legatum. Ad extremum & fideicommissum. Sed hę singulares adquisitiones sunt: quoniā & vna res est, quæ geritur, & vna res nobis adquiritur. Sunt autem & aliæ adquisitiones, quæ dicuntur per vniuersitatem. In quibus vna quidem res est,

θέμενα ἐν ταῖς μεμβράναις, ἢ χάρταις. ἐπὶ δὲ τῆς εἰκόνος ὁ κανὼν παρεβαίνετο. ἐνικᾶτο γὰρ ὑπὸ τῆς γραφῆς ἡ σανίς. τὸ βοναφίδει ἀλλότριον νέμεσθαι ἀγρὸν καὶ σπεῖραι τοῦτον· τὸ θησαυρὸν εὑρεῖν ἐν ἰδίῳ τόπῳ, ἢ σάκρῳ, ἢ ρελεγιόσῳ κατὰ τύχην. εἰ γὰρ ἐν ἀλλοτρίῳ, τοῦ ἡμίσεως γενήσεται δεσπότης, εἴτε ἰδιώτου, εἴτε βασιλέως, εἴτε φίσκου, εἴτε πολιτικὸς ὁ τόπος ὑπάρχει. καὶ ἡ τραδιτζίων δὲ πρὸς τούτοις. ἔννομοι δὲ κτήσεις, πάλαι μὲν πέντε. νῦν δὲ τέσσαρες, οἷον ἡ οὐσουκαπίων, ἡ χρονία νομὴ, καὶ ἡ πάλαι γινομένη προσαύξησις, ἐκ περιπετοῦς τοῦ ἐπικοίνου οἰκέτου ἐλευθερίας, καὶ τὸ ληγάτον, ἔτι δὲ καὶ τὸ φιδεϊκόμμισσον. ἀλλ᾽ αὗται μὲν ἰδικαὶ λέγονται κτήσεις. ἐπειδὴ ἕν τι ἐστὶ τὸ γινόμενον, καὶ ἓν ὑπὸ τὴν ἡμετέραν δεσποτείαν ἔρχεται πρᾶγμα. εἰσὶ δὲ καὶ ἄλλαι κτήσεις αἱ λεγόμεναι καθολικαί. ἐν αἷς, ἓν

μένου τι ἐστὶ τὸ γινόμενον, πολλὰ δὲ ὑφ' ἑνὸς ἀπὸ τὴν ἡμετέραν δεσποτείαν γίνονται πράγματα. Εἰσὶ δὲ καὶ αἱ καθολικαὶ κτήσεις αὗται. κληρονομία, βονόρουμ ποσσεσσίων, ἤτοι διακατοχή, ἀδρογατίων, καὶ τὸ προσκυρωθῆναι ἡμῖν ἀλλοτρίαν περιουσίαν, libertatum conseruandarum causa, ἤγουν τῆς ἐλευθεριῶν ἕνεκα συντηρήσεως, καὶ φυλακῆς. καὶ δεῖ πρότερον περὶ κληρονομίας διεξελθεῖν. ἀλλ' ἐπειδὴ τῶν κληρονομιῶν, διπλῆ τίς ἐστιν ἡ κτῆσις. ἢ γὰρ ἐκ διαθήκης, ἢ ἐξ ἀδιαθέτου ἡμῖν προσγίνονται, δεῖ πρότερον περὶ τῆς ἐκ διαθήκης προσγινομένης διαλεχθῆναι. καὶ τέως ἐν προοιμίοις διδάξαι χρή, τίνα τρόπον αἱ διαθῆκαι γίνονται.

quæ geritur, sed multa nobis sub vno adquirũtur. Porrò adquisitiones vniuersales sunt hæ. Hereditas, Bonorũ possessio, Adrogatio, Et aliena bona libertatum conseruandarũ causa nobis addici. Ac de hereditate quidem primo oportet disserere: sed quoniam hereditatis duplex est adquisitio (aut enim ex testamento, aut ab intestato ad nos pertinent) prius de ea tractemus quæ ex testamento ad nos pertinet. Qua in re necesse est, vice præfationis exponere, quẽadmodum testamenta fiant.

---

## DE TESTAMENTIS ORDINANDIS. Tit. X.

Πρὸ τῶν ἄλλων ἀναγκαῖον εἰπεῖν τὸν τῆς διαθήκης ὅρον, ἤτοι ἐτυμολογίαν. ἡ δὲ διαθήκη παρὰ ῥωμαίοις

NEcessariũ est ante omnia testamẽti dicere definitionẽ aut etymologiam. Testamentum autem latinè

ac dicitur, quam Græci διαθήκην vocant, inde notationẽ habens, quòd testatio mentis sit. Habet enim testimonium mentis defuncti. Ne quid autem eorum, quæ olim in vsu erant ignoretur: (nã quamuis in horum ignorantia nihil sit periculi, tamen ad cognitionem historiæ, & vt intelligatur, quemadmodum paulatim temporis processu hæc mutata sint, haud absurdum erit aliquid dicere) testamẽtorum duo erant olim genera. Et alterũ quidem Calatis comitiis dicebatur, alterũ verò Procinctũ. Testamentũ Calatis comitiis tẽpore pacis fiebat bis in anno, hunc in modũ: Præco vniuersam ciuitatem circumibat conclamans, & totus populus congregabatur, & ita qui volebat, teste populo testamentum scribebat. Inde Calatis comitiis dictum est. Nam calare, vocare est: comitia, congregatio. quoniam igi-

λέγεται Testamentum. ἐντεῦθεν δεξαμένη τὴν ἐτυμολογίαν, quòd testatio mentis sit. ἐπειδὴ μαρτυρία διανοίας ἐστί. καὶ γὰρ μαρτυρίαν ἔχει τῆς τοῦ τελευτήσαντος διανοίας. ἵνα δὲ μηδὲν τῶν πάλαι πολιτευομένων ἄγνωστον εἴη, κἂν ἡ τούτων ἄγνοια οὐδένα φέρει κίνδυνον, ἀλλ' οὖν πρὸς ἱστορίαν, καὶ τὸ μαθεῖν πῶς κατὰ μικρὸν προϊόντος ἠμείφθη τοῦ χρόνου, εἰπεῖν οὐκ ἄτοπον. τὸ παλαιὸν διὸ ἦσαν αἱ διαθηκῶν, καὶ τὸ μὲν ἐλέγετο calatis comitijs, τὸ δὲ procinctum. καὶ τὸ μὲν calatis comitijs, ἐγίνετο καιρῷ εἰρήνης, δὶς τοῦ ἐνιαυτοῦ, τοῦτον τρόπον· ὁ κῆρυξ ἅπασαν περιῄει τὴν πόλιν συγκαλῶν, καὶ πᾶς ὁ δῆμος συνέτρεχε, καὶ ὁ βουλόμενος ὑπὸ μάρτυρι διετίθετο τῷ δήμῳ, εἴρηται δὲ calatis comitijs ἐντεῦθεν. Calare γάρ ἐστι, τὸ καλεῖν. comitia δὲ ἡ σύνοδος. ἐπειδὴ οὖν καλούμενοι

στου

συνήεσαν, ἐκλήθη calatis comitijs. τὸ δὲ procinctū ἐγίνετο, ἡνίκα ἔμελλον ἐξιέναι ἐπὶ πόλεμον, τὸ ὄνομα δεξάμενον ἐκ τοῦ σχήματος, ὅπερ ἔχοντες διετίθεντο. Procinctus γὰρ λέγεται, ὁ ἐζωσμένος καὶ ἕτοιμος πρὸς παράταξιν. ἐπειδὴ γὰρ ἄδηλα τὰ τῆς ὑποστροφῆς, διατιθέμενοι πρῶτον, οὕτως ὥρμησαν ἐπὶ τὸν πόλεμον. ὄντων δὲ τούτων τῶν δύο γενῶν, συνέβαινέ τινας αἰφνιδίᾳ νόσῳ κατασχεθέντας, ἀδιαθέτους τελευτᾶν· οὔτε γὰρ calatis comitijs διετίθεντο, διὰ τὸ μήπω ἐπιστῆναι τὸν καιρὸν, οὔτε προκίγκτου, διὰ τὸ μὴ εἶναι πόλεμον, ἄλλως τε δὲ διατίθεσθαί τις ἀπαίσιον ἐνόμιζεν ὑγιαίνοντι σώματι. διὰ τοῦτο ἐπενοήθη τρίτον γένος, ὅπερ ἐλέγετο, per æs & libram, τουτέστι διὰ χαλκοῦ καὶ ζυγοῦ, ἐγίνετο δὲ κατὰ ἐμαγκιπατζίονα. ἐμαγκιπατζίων δέ ἐστιν, εἰκονικὴ πρᾶ-

tur vocati congregabantur, appellatum est testamentum Calatis comitiis. Procinctum verò testamentum est, quod fiebat, quum in prælium essent exituri: noménq; ab habitu in quo testamenta faciebant, sortitum est. Procinctus enim dicitur, qui accinctus est & paratus ad confligendum cū hoste. Nam cùm in incerto esset, an redituri essent, testaméto prius facto in prœliū exibant. Porrò quum hæ duę tātùm species in vsu essent, eueniebat, vt nonnulli subitaneo morbo correpti, intestati morerentur: neque enim Calatis comitiis testabátur, quia nondum instaret tempus: neque item in Procinctu, quia bellum nō esset. Deinde & illud mali ominis videbatur, sano quempiam & valente corpore, testamétum facere. Ob hæc igitur, tertia species inuenta est, quæ dicebatur per æs & librá. Fiebat autem per emancipationem. Porrò emácipatio est imaginaria venditio. In

hunc

hunc verò modum vendebatur. Quinq; aderant testes, & libripens, ciues Romani, hiq; puberes. Atque his præsentibus, is qui successor defuncti erat futurus: patrimoniũ morituri emebat, verba quædam dicens solemnia, quę nũc frustrà sit referre: & imaginarij pretij nomine, nummum rerum domino dabat, appellabatúrq; is, qui emebat, familię emptor. Deinde ordinabat moriens, quid post mortem suam fieri vellet, dicebat enim familię emptori, siue heredi: HVIC VOLO DARI FVNDVM, ILLI DOMVM: ALII CENTVM SOLIDOS. Hoc verò testamenti genere inuẽto, priora illa calatis comitiis & in Procinctu iam longo tẽpore in desuetudinem abierant. Sed & tertium genus per æs & librã,

σις. ἐπράττετο δὲ τοῦτον τὸν τρόπον. παρεγίνοντο πέντε μάρτυρες, καὶ ζυγοστάτης. καὶ πολῖται ῥωμαῖοι ἔφηβοι, καὶ παρόντων αὐτῶν, ἐκεῖνος ὃς ἤμελλε γενέσθαι διάδοχος τοῦ τελευτήσαντος, ἠγόραζε τὴν τοῦ μέλλοντος τελευτᾶν περιουσίαν, λέγων τινὰ ῥήματα τυπικὰ, ἃ νῦν περιττόν ἐστι λέγειν, καὶ ἐδίδου λόγῳ τιμήματος εἰκονικοῦ, νοῦμμον τῷ δεσπότῃ τῆς περιουσίας, καὶ ἐλέγετο ὁ ἀγοράζων φαμιλιέμπτωρ, καὶ λοιπὸν ὁ μέλλων τελευτᾶν, διετύπου τὰ ὀφείλοντα δοθῆναι μετὰ τὴν αὐτοῦ τελευτήν. ἔλεγε γὰρ τῷ φαμιλιέμπτωρι, ἤγουν τῷ κληρονόμῳ, ὅτι ΒΟΎΛΟΜΑΙ ΣΕ ΤΩ͂Ι ΔῈ ΔΟΥ͂ΝΑΙ ἈΓΡῸΝ, ΤΩ͂Ι ΔῈ ΟἸΚΊΑΝ, ΤΩ͂Ι ΔῈ ἙΚΑΤΟΝ ΝΟΜΊΣΜΑΤΑ. καὶ τούτου ἐπινοηθέντος τοῦ γένους, τὰ πρότερα ἐκεῖνα δύο γένη, τὸ calatis comitijs, καὶ τὸ προκίγκτου ἐκ πλείστων ἤδη τῶν χρόνων εἰς ἀσυνήθειαν ἐχώρησε, καὶ αὐτὸ δὲ τὸ per ęs

&

& librã, κατεφρονήθη κατὰ μικρόν. ἐπειδὴ γὰρ ὁ φαμιλιέμπτωρ, αὐτὸς ἦν καὶ κληρονόμος, καὶ ἐντεῦθεν λοιπὸν γινώσκων ὅτι αὐτὸς ἔσται διάδοχος, ἐπεβούλευε τῷ δεσπότῃ τῆς περιουσίας· διὰ τοῦτο κατὰ μὲν τὸ ἀρχαῖον σχῆμα, παρελαμβάνετο φαμιλιέμπτωρ, ὅς τις εἰκονικῶς ἠγόραζε τὴν τοῦ μέλλοντος τελευτᾶν ὑπόστασιν. ὁ δὲ διαθέμενος, ἰδίᾳ ἔγραφεν ἐν δέλτοις, ἢ ἐν χάρταις, ὃν ἠβούλετο ἔσεσθαι αὐτῷ κληρονόμον. ἀλλὰ ταῦτα μὲν τὰ εἰρημένα τῶν διαθηκῶν γένη, ἡ πολιτικὴ νομοθεσία ἠπίστατο μόνη. μετὰ δὲ ταῦτα, τὸ τοῦ πραίτωρος ἔδικτον, ἕτερον τύπον ἐπὶ τῶν διαθηκῶν ἐξεῦρε. κατὰ γὰρ τὸ πραιτώριον δίκαιον οὐδεμία ἐμαγκιπατίων, τουτέστιν εἰκονικὴ πρᾶσις ἐπράττετο. ἀλλὰ ἑπτὰ μαρτύρων σφραγῖδες ἤρκουν εἰς τὸ ποιῆσαι πραιτωρίαν διαθήκην. εἰ γάρ τις διέθετο, καὶ ταύτην τὴν διαθήκην ἑπτὰ μαρτύρων σφραγῖσιν ἐποίη-

paulatim ſperni cœperat. Nam, cùm idẽ familiæ emptor eſſet, & heres: procerto habens is ſe heredem futurũ, in dominum hereditatis inſidias cõparabat: vnde cõplures pro veteri more familię emptorem adhibebant: qui imaginaria emptione patrimonium morituri emeret: ſed teſtator ſeorſum in tabulis aut chartis, quẽ ſibi heredem eſſe vellet, ſcribebat. Et prędicta quidem teſtamẽtorum genera, ſolo Iure ciuili cognita erant. Poſtea verò ex edicto Prætoris, alia teſtamentorum faciendorum forma inuenta eſt. Nam iure Pretorio nulla emãcipatio ſiue imaginaria venditio interueniebat, ſed ſeptem teſtium ſigna honorario teſtamento ſufficiebant. Si qui enim teſtamento facto, ſeptem teſtium ſignis id feciſſet ſignari, perfectũ

erat iure honorario testamentum, cùm iure ciuili signis testium opus non esse. ¶ Sed cùm paulatim, partim ex vario vsu hominum, partim ex emendationibus cõstitutionum, in vnam consonantiam coniungi cœpisset Ius Ciuile & Pretorium, constitutum est & obtẽtum, vt vno eodémq; tẽpore, (quod Ius Ciuile volebat) septem testibus presentibus & subscribentibus (quod ex constitutionibus inuentum est,) signísque eorũ impressis (quod pretor volebat) testamẽtũ perficeretur. Sic igitur hodie ex hoc triplici iure testamẽta constant, Ciuili, Constitutionum & Pretoris Et ex Iure quidem Ciuili descendit, vt testibus presentibus vno cõtextu coniunctim testamentum peragatur: ex constitutionibus autem, testatoris testiúmque subscri-

σε σφραγισθῆναι, ἀπετελεῖτο πραιτωρία διαθήκη, ὁπότε τὸ πολιτικὸν οὐκ οἶδεν ἀναγκαίας τὰς τῶν μαρτύρων σφραγῖδας. ¶ Ἀλλ᾽ ἐπειδὴ κατὰ βραχὺ, τοῦτο μὲν ἐκ τῆς διαφόρου τῆς ἀνθρώπων χρήσεως, τοῦτο δὲ καὶ ἐξ ὧν ἐδιορθώσαντο αἱ διατάξεις, εἰς μίαν συμφωνίαν τὸ πολιτικὸν ἅμα καὶ τὸ πραιτώριον δίκαιον ἤρξαντο συνάπτεσθαι. ἐκράτησε γὰρ, ὥς τε ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ, ὅπερ ἠβούλετο τὸ πολιτικὸν ἑπτὰ μαρτύρων παρόντων καὶ ὑπογραφέντων, ὅπερ ἐπενόησαν αἱ διατάξεις, καὶ σφραγῖδας ἐπιτεθέντων ὅπερ ὁ πραίτωρ ἐβούλετο, ἡ διαθήκη πληροῦται, ὥς τε οὖν σήμερον αἱ διαθῆκαι ἐκ τούτων τῶν τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ, καὶ τῶν διατάξεων, καὶ τοῦ πραίτωρος. ἐκ μὲν τοῦ πολιτικοῦ κατάγεται, τὸ παρόντων τῶν μαρτύρων μιᾷ ὑφῇ συναπτῶς πληροῦσθαι τὴν διαθήκην. αἱ δὲ τοῦ τεστάτωρος, καὶ τῶν μαρτύρων ὑπογραφαὶ, ἐκ

6. Sed cùm paulatim.

τῶν

τῆς διατάξεων. αἱ δὲ σφραγῖδες, καὶ ὁ τῶν ἑπτὰ ἀριθμὸς μαρτύρων, ἐκ τοῦ ἐδίκτου τοῦ πραίτωρος. πᾶσα δὲ ἡ τοιαύτη παραφυλακὴ, διὰ τὸ κακουργίας πάσης ἀπηλλάχθαι τὴν τῶν διαθηκῶν ποίησιν, καὶ παντὸς αὐτὰς καθαρεύειν δόλου, ἐκ διατάξεως τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως προσετέθη, ὥστε τὸν διατιθέμενον, οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα δηλῶσαι γράφοντα, ὅτι τόνδε ἐνεστησάμην κληρονόμον. τούτου δὲ αὐτοῦ μὴ ποιήσαντος, ἀνάγκη τοῖς μάρτυσι λέγεσθαι τὸ τοῦ κληρονόμου ὄνομα. καὶ ἁπλῶς ἅπαντα δεῖ προβαίνειν, κατὰ τὰ εἰρημένα αὐτῇ τῇ διατά-

6. Possunt. ξει. ¶ Ἐπειδὴ δὲ εἰρήκαμεν τοῖς μάρτυσι χρῆναι σφραγῖδας ἐπιτιθέναι, ὀφείλεις εἰδέναι, ὅτι καὶ ἑνὶ δακτυλίῳ δύνανται σφραγίζειν τὴν διαθήκην. τί γὰρ ὅτι οἱ ἑπτὰ μάρτυρες ἔχουσι δακτυλίους, μιᾶς δὲ γλυφῆς ἦσαν οἱ ἑπτά. τουτέστιν ἕνα καὶ τὸν αὐτὸν εἶχον

ptiones descendũt porrò signacula & testium numerus, ex edicto Prætoris. Omnis autem hęc observatio ad hoc pertinet, vt fraudes in testamenti confectione remouerentur, & omnis dolus abesset: vnde & à religiosissimo Principe nostro, hoc constitutione quadam additum est, vt testator ipse manu sua nomẽ heredis scribendo exprimat, quòd hunc heredem instituerit. Quòd si id ille non faciat, saltẽ testibus heredis nomen dicere necesse est: & vt rem verbo dicam, in omnibus secundùm constitutionis illius tenorem, procedi oportet. ¶ Porrò quoniam dictum est, vt testes signacula sua imprimant, scire debes: eos & vno anulo testamẽtum signare posse. Quid enim si septem testes anulos habeant: qui omnes vna sint sculptura, hoc est, vnũ & eundem habeant chara

εἶχον

cterem? Sicut Pomponio videtur. Sed & alieno anulo signare licet. ¶ Hi autem demum ad testimoniũ admitti possunt, quibuscum testamenti factionem habemus, hoc est, qui & à nobis heredes scribi possunt, & ipsi nos scribere. Sunt & alij, qui omnino à testamentario testimonio arcẽtur, vt mulier, impubes, mutus, surdus, furiosus, prodigus, seruus. Postremò & is quẽ leges improbum intestabilémq; esse iubeant. Et quisnam hic est? dicam exemplo. Cùm quidam testamentũ ordinaret, vocatus est Titius in testem, & in testem sese præbuit, hoc est, testamẽto subscripsit, & signauit. Mortuo testatore, noluit adesse aut loco testimonij subscriptionem suam, signúmque agnoscere. Hunc leges odio persequuntur, neque ex alieno testamento quicquã capere siunt, neq; ius testandi conce-

εἶχον χαρακτῆρα, καθὰ τῷ πομπονίῳ δοκεῖ, καὶ ἀλλοτρίῳ δὲ δακτυλίῳ ἔξεστι σφραγίζειν.

¶ Ἐκεῖνοι δὲ πρὸς μαρτυρίαν παραλαμβάνεσθαι δύνανται, μεθ' ὧν ἔχομεν τεσταμέντι φακτίονα, τουτέστιν οἵ τινες ὑφ' ἡμῶν δύνανται κληρονόμοι γράφεσθαι, καὶ γράφειν ἡμᾶς. εἰσὶ δέ τινες παντελῶς εἰργόμενοι τῆς ἐν διαθήκῃ μαρτυρίας. οἷον γυνὴ, ἄνηβος, ἄλαλος, κωφὸς, μαινόμενος, ἄσωτος, οἰκέτης, ἔτι δὲ καὶ ὁ improbus, intestabilisq;. τίς δὲ οὗτός ἐστιν; οἷον διατιθεμένου τινὸς, ἐκλήθη Τίτιος ἐπὶ μαρτυρίαν, ἐμαρτύρησε. τουτέστιν ὑπέγραψεν ἐν τῇ διαθήκῃ, καὶ ἐσφράγισε. τελευτήσαντος τοῦ τεστάτωρος, οὐκ ἠθέλησε παραγενέσθαι καὶ μαρτυρῆσαι, ὅτι αὐτοῦ ἐστιν ἥτε ὑπογραφὴ, καὶ ἡ σφραγίς. μισοῦσι τὸν τοιοῦτον οἱ νόμοι, καὶ οὐκ ἐῶσιν αὐτὸν λαβεῖν τι ἐξ ἀλλοτρίας διαθήκης. οὐδὲ διδόασιν αὐτῷ τοῦ διατίθεσθαι

6. Testes autem.

παῤῥησίαν, οὐδὲ συγχωροῦσιν αὐτῷ μαρτυρεῖν ἑτέρου διατιθεμένου. λέγεται δὲ ὁ τοιοῦτος, improbus, intestabilisq;.

6. Sed cum aliquis.

¶ Τί οὖν ὅτι εἷς τῶν μαρτυρησάντων τῇ διαθήκῃ, κατὰ μὲν τὸν καιρὸν τῆς διαθήκης ἐλεύθερος ἐνομίζετο. ὤφθη δὲ μετὰ ταῦτα δοῦλος. σκοπήσωμεν, εἰ ἀκυροῦται ἡ διαθήκη, ἐπειδὴ δοῦλος ὡς εἴρηται κεκώλυται μαρτυρεῖν. ταύτης οὖν οὔσης τῆς ἀμφιβολίας, γέγονε πρότερον μὲν διάταξις, ἀδριανοῦ τοῦ βασιλέως πρὸς κατώνιον βῆρον. πάλιν δὲ τοῦ αὐτοῦ συμβάντος, σεβῆρος, καὶ ἀντωνῖνος ἀντέγραψαν, ἐξ οἰκείας φιλοτιμίας τῇ τῆς διαθήκης ἰσχύϊ συντρέχειν, ὥστε εἶναι αὐτὴν ἐν τοιαύτῃ τῇ τάξει, ἐν ἥπερ ἔμελλε εἶναι εἰ τὴν ἀρχὴν ἀνεπιλήπτως ἐγένετο, πάντων ἐλευθέρων μαρτυρησάντων. διὰ τὸ κατὰ τὸν χρόνον τῆς ποιήσεως τῆς διαθήκης, τοῦ εἰρημένου μάρτυρος κατὰ τὴν πάντων γνώμην ἐλεύθερον

dunt, neque in alieno testamento testé esse permittunt. Is auté dicitur improbus intestabilisque. ¶ Quid ergo si quis testium in testamento adhibitorum, qui tempore faciendi testamenti liber existimabatur, postea seruus apparuerit? Videamus an testamé tum irritum & infirmum sit, quoniam seruus esse testis prohibetur, vt dictum est. Et cùm primum hæc dubitatio orta esset, emissa est Hadriani Cæsaris constitutio ad Catoniũ Verum. Et cùm iterum idem contigisset, Diui Seuerus & Antoninus rescripserunt, ex sua liberalitate se viribus testamenti succurrere, vt eodé numero id haberetur, quasi si ab initio sine vitio omni factum fuisset, omnibus existentibus liberis, qui pro testibus interuenissent cum eo tempore, quo testamentũ condebatur, omniũ opinione, pro libe-

ro habitus sit, neq; quicquã fuerit, qui status ei quæstionem moueret. ¶Si testamẽtum ego faciam, testis in eo potest esse Primus, vnáque filius eius Secũdus, quamuis in potestate ipsius sit. Sed & duo fratres, qui in eiusdem potestate sunt, testes esse non vetãtur. Neq; enim prohibet quicquam quo minus plures ex vna familia seu domo testes alieno in testamento adhibeantur. Porrò cùm quis testatur, si testamentum suum esse vult perfectũ & sine vitio, videat antè omnia, qui sint inter testes futuri, & inquirat, num quis eorum in potestate testatoris sit, & inuentũ à testimonio repellat. Illud verò amplius nõ quærimus, num quis testiũ in potestate habeat testatorẽ, aut in eiusdem potestate sit. Et ratio est hæc. Vtrùm vis testatorem esse sui iuris, an in potestate? Si sui iuris esse dixeris, non procedet quæstio, num

εἶναι νομίζεσθαι, καὶ μὴ ὑπεῖναί τινα τῷ περὶ καταστάσεως ζήτησιν αὐτῷ ἐπάγοντα. ¶ Ἐμοῦ διατιθεμένου, δύναται μαρτυρεῖν τῇ ἐμῇ διαθήκῃ, Πρῖμος ἅμα Σεκούνδῳ τῷ ἰδίῳ ὑπεξουσίῳ. εἰ δὲ καὶ δύο ἦσαν ὑπεξούσιοι ἀδελφοί, ὁμοίως τὸ τῆς μαρτυρίας ἀκώλυτον. οὐδὲν γάρ ἐστι τὸ ἐμποδίζον ἐξ ἑνὸς οἴκου ἤτοι μιᾶς φαμιλίας, πολλοὺς ἐν ἀλλοτρίᾳ μαρτυρεῖν διαθήκῃ. ἡνίκα διατίθεταί τις, εἰ βούλεται τὴν διαθήκην ἀνεπίληπτον εἶναι, σκοπείτω τοὺς μέλλοντας μαρτυρεῖν. καὶ ἐξεταζέτω, μή τις τῶν μαρτύρων ὑπεξούσιός ἐστι τῷ τεστάτωρι, καὶ εὑρὼν τῆς μαρτυρίας αὐτὸν ἐξελαυνέτω. οὐκ ἔτι δὲ ζητοῦμεν μή τις τῶν μαρτύρων, ὑπεξούσιον ἔχει τὸν τεστάτωρα, ἢ συνυπεξούσιός ἐστιν αὐτῷ. καὶ ὁ λογισμὸς, οὗτός ἐστιν. τί βούλει τὸν διατιθέμενον εἶναι, αὐτεξούσιον, ἢ ὑπεξούσιον; εἰ μὲν αὐτεξούσιον εἴποις, οὐ περιβαίνει τὸ λέγε-

§.Pater.

περὶ μήποτε ἐστὶν αὐτοῦ συνυπεξούσιος, ἢ ἔχει αὐτὸν ἐν ὑπεξουσιότητι. εἰ δὲ ὑπεξούσιον αὐτὸν θεματίσεις, ἑτέρῳ μείζονι λόγῳ τὰ τῆς διαθήκης ἐπέχεις. ὑπεξούσιος γὰρ οὐ δύναται διατίθεσθαι, ἐπειδὴ διαθήκη ἐστὶ τῶν ὄντων διατύπωσις, οὐ νομίζεται δέ τι ἔχειν ὁ ὑπεξούσιος ἐν πληρεστάτῃ ἐξουσίᾳ, ὥστε πράττειν ἃ βούλεται ἐπ' αὐτοῦ. εἰ δὲ δυνηθῶμεν εὑρεῖν ὑπεξούσιον διατιθέμενον, τότε λοιπὸν σκοπήσομεν, εἰ δύναται τὸ προβαίνειν τὰ ἑξῆς. καὶ ζητοῦντες εὑρίσκομεν τὸν βετερανὸν ὑπεξούσιον· βετερανὸς δέ ἐστιν, ὁ στρατευσάμενος, καὶ ἤδη τῆς στρατείας ἀφεθεὶς· εἰς τὸ καστρένσιον πεκούλιον δυνάμενον διατίθεσθαι. τουτέστιν ὃ ἐκτήσατο ἐκ τῶν ἐν πολέμοις καμάτων. ἐτίμησαν γὰρ αὐτὸν αἱ διατάξεις. οὐκοῦν ἐπειδὴ ὁ διατιθέμενος ὑπεξούσιος εὑρέθη, πραγματεύσωμεν τὰ ἑξῆς. ἄρα τῷ

quis aut in eiusdem potestate sit, aut eũ in potestate habeat. Quòd si in potestate fingas esse: iam maiore ratione, vim testamenti soluis, quoniam, qui in aliena potestate est, testari non potest. Nam testamentum est, per quod quis de rebus suis disponit: at qui in potestate aliena est, plenam rerum suarum administrationem non habet, vt de his quomodo velit, statuere possit. Si tamen vmquam aliquis, qui aliena in potestate est, testabitur: tunc reliquũ erit videre, num fieri possit, vt & cetera procedant. Et sanè, cùm diu quęrimus, inuenimus veteranum, qui cùm in patri potestate sit: (est autẽ veteranus, qui aliâs militauit, & nunc militia solutus est.) de peculio tamen castrensi testari possit. Id est his de rebus, quas labore suo in bellis comparauit. Id enim ei per Principum constitutiones indultũ est. Quando igitur testator hic, in aliena esse potestate inuenitur

inuenitur

uenitur, tractemus reliqua. An ergo, si veteranus filiusfam. de peculio castrensi testamentum faciat, pater eius, qui eum in potestate habet, aut frater, qui in eiusdé potestate est, in teste adhiberi potest? Et dicimus quòd nequaquam. Domesticum enim testimonium in testamento probatum non est. Porrò domesticum testimonium, non ex cognatione intelligimus, sed ex vnitione, quę per patriam potestaté contingit. Etenim quamuis ei constitutiones Principũ nec dum patria potestate solutis, permittãt testari, tamen ab eo & illud exigunt, ne protinus in testando iuris regulas contẽnat. ¶ Quidam testamentum faciens, heredem me scripsit. In huius ego testamenti cõfectione testis esse nõ possum, neque is, quem in potestate habeo: neque is, in cuius ego potestate sum: neq; frater meus, qui in eiusdé potestate est. Quia totum hoc ne

βετερᾶνος ὑπεξούσιος διατιθέμενος εἰς τὸ καστρένσιον πεκούλιον, ὁ πατὴρ ὁ ἔχων αὐτὸν ὑπεξούσιον, ἢ ἀδελφὸς ὁ συνυπεξούσιος δύναται μαρτυρεῖν; καὶ λέγομεν ὅτι οὐδαμῶς. ἡ γὰρ οἰκιακὴ μαρτυρία, ὃ λέγουσιν οἱ νομικοὶ domesticum testimonium, οὐ καλῶς ἐν διαθήκῃ γίνεται. τὴν δὲ οἰκιακὴν μαρτυρίαν, οὐκ ἐκ τῆς συγγενείας, ἀλλ' ἐκ τῆς ἑνώσεως τῆς ἐν ὑπεξουσιότητι λαμβάνομεν. εἰ καὶ τὰ μάλιστα γὰρ αἱ διατάξεις διατίθεσθαι συνεχώρησαν αὐτῷ ἐν ὑπεξουσιότητι, ἀλλ' οὖν ἀπαιτοῦσιν αὐτὸν, ὥστε διατιθέμενον μὴ καταφρονεῖν τῆς ἀκριβείας. ¶ Διατιθέμενός b. Sed neq;
τις, ἐνεστήσατό με κληρονόμον, οὐ δύναμαι μαρτυρεῖν τῇ ποιήσει ταύτης τῆς διαθήκης, οὐδὲ ὁ ἐμὸς ὑπεξούσιος, οὐδὲ ὁ ἔχων με ἐν ὑπεξουσιότητι πατὴρ οὐδὲ ὁ ἀδελφός μου ὁ συνυπεξούσιος. ὅλον γὰρ τὸ σήμερον πραττόμενον

ἐπὶ διατυπώσει τῆς διαθήκης, μεταξὺ τοῦ κληρονόμου, καὶ τοῦ τεστάτωρος πράττεσθαι εἰ καὶ τὰ μάλιστα γὰρ συνεκέχυτο πάλαι τὸ τοιοῦτο νόμιμον, καὶ πολλῆς ἐπεπλήρωτο ταραχῆς, ἡνίκα ἐκράτει τὸ τοῦ φαμιλιέμπτωρος, (ἐπειδὴ κατὰ πρώτην ὄψιν, αὐτὸς ἐνομίζετο κληρονόμος εἶναι, οὐκ ἠδύναντο οἱ κατὰ ὑπεξουσιότητα συναπτόμενοι τῷ φαμιλιέμπτωρι, μαρτυρεῖν τῇ διαθήκῃ. οἱ δὲ τῷ κληρονόμῳ τῷ ἰδίᾳ γραφομένῳ, καθὰ προείρηται κατὰ ὑπεξουσιότητα συνηνωμένοι, καὶ αὐτὸς μέντοι ὁ κληρονόμος, ἀκωλύτως ἐμαρτύρει, τῆς ἀκριβείας οὐκ ἐναντιουμένης τῇ μαρτυρίᾳ, διὰ τὸ δοκεῖν ὅλον φέρεσθαι τὸ κέρδος εἰς τὸν φαμιλιέμπτωρα, τὸν δὲ ἰδίᾳ γραφόμενον κληρονόμον ἀγνοεῖσθαι.) ἀλλὰ μὴν, οἱ τοῦτο ἐπιτρέποντες ἀρχαῖοι, καὶ μὴ κωλύοντες τὸν σκρίπτον κληρονόμον, μήτε τοὺς συναπτομένους αὐτῷ κατὰ ὑπεξουσιότητα τῇ διαθήκῃ

gotium, quod testamēti ordinandi gratia geritur, hodie inter heredem & testatorem geri creditur. Etenim, quamuis hoc ius maximè apud veteres inordinatū & cōturbatum fuerit, cùm sollēnis ille familię emptor in vsu esset: (quia enim ipse, heres esse prima facie videbatur, nō poterant hi, qui per patriam potestatem familię emptori coniungebantur, in testes adhiberi. Eos verò, qui heredi clam scripto, sicut iam antè diximus, per patriam potestatem erant coniuncti, immò heredem ipsum, nihil vetabat testes esse. Quasi nihil obstarent Iuris regulæ, propterea, quod lucrum omne videretur in familię emptorem conferri, & clam scriptus heres rerum omnium esse ignarus.) tamen hi ipsi veteres, qui id permiserant, nec vetabant quo minùs scriptus hæres, & si quis ei per patriam potestatem coniun-

gebatur, testimonia in testamento pręstaret: admonebant testatores, ne facilè hac sibi concessa licentia abuterentur. Et hæc quidē apud antiquiores. At Imperator noster, hac confusione tam incomposita correcta (quid enim minùs compositum, quàm licentiam cōcedere, & admonere ne quis ea vteretur?) quod veteres pro consilio respondebant, ipse in legis necessitatē transtulit Et quemadmodum in vetere illo familię emptore, nullus in testem admittebatur, qui per patriam potestatem ei coniungeretur: ita nec heredi, qui veteris familiæ emptoris imaginem obtinet: nec aliis ei per patriam potestatem coniunctis, testimonia præstare concessit. In rem enim suam, lucrúmq; suū testes videntur esse. Et quoniā vetustiorum Principum constitutio, heredē permittebat in testem adhiberi, idcircò talem cōstitutionē Imperator noster san-

μαρτυρεῖν, παρῄνουν χρῆναι τοὺς διατιθεμένους μὴ ἀποκεχρῆσθαι τῇ δεδομένῃ τοιαύτῃ παρρησίᾳ. καὶ ταῦτα μὲν παρὰ τοῖς παλαιοῖς. ὁ δὲ ἡμέτερος βασιλεὺς, τὴν τοιαύτην διορθῶν ἀταξίαν· ἀταξία γὰρ ἐδόκει, τὸ διδόναι μὲν παρρησίαν, παραινεῖν δὲ ταύτῃ μὴ κεχρῆσθαι· τὴν τῶν ἀρχαίων συμβουλὴν, εἰς ἀνάγκην μετήγαγε νόμου. καὶ ὥσπερ ἐπὶ τοῦ παλαιοῦ φαμιλιεμπτώρος, ἐκεκώλυτο πᾶσα μαρτυρία τῶν συνημμένων τῷ φαμιλιεμπτώρι κατὰ ὑπεξουσιότητα, οὕτω καὶ ἐπὶ τοῦ κληρονόμου σώζοντος εἰκόνα τοῦ παλαιοῦ φαμιλιεμπτώρος, οὔτε αὐτῷ μαρτυρεῖν, οὔτε τοῖς συναπτομένοις αὐτῷ καθ' ὑπεξουσιότητα συνεχώρησε. δοκεῖ γὰρ εἰς οἰκεῖον κέρδος μαρτυρεῖν. καὶ ἐπειδὴ ἡ διάταξις τῶν παλαιοτέρων βασιλέων τῷ κληρονόμῳ μαρτυρεῖν ἐπέτρεπε, τὴν τοιαύτην διάταξιν ἐκώλυσεν ὁ θειότατος ἡ-

μῶν βασιλεὺς ἐνεγράφησαν τῷ οἰκείῳ κώδικι.

6. Legatarijs. ¶ Ληγαταρίοις δὲ καὶ φιδεικομμισσαρίοις, ἐπειδὴ οὐκ ἀσωμάτου γίνονται διάδοχοι, καὶ πᾶσι τοῖς συναπτομένοις αὐτοῖς καθ' ὑπεξουσιότητα, ἀκώλυτος ἡ μαρτυρία φυλάσσεται. ἀλλὰ διάταξις πρὸς τούτοις ἐστὶ τοῦ γαληνοτάτου ἡμῶν βασιλέως ἰδικῶς ἐπιτρέπουσα τούτοις, τὸ, δύνασθαι ληγάτα καταλιμπάνειν, τοῖς μέλλουσι μαρτυρεῖν τῇ διαθήκῃ, καὶ πολλῷ πλέον τοῖς συνημμένοις αὐτοῖς καθ' ὑπεξουσιότητα.

8. Nihil. ¶ Οὐ διαφέρει δὲ, ἐν ποίᾳ γέγονεν ὕλῃ ἡ διαθήκη, πότερον, ἐν σανίσιν, ἢ ἐν χάρταις, ἢ ἐν μεμβράναις, ἢ ἐν ἑτέρᾳ ὕλῃ, οἷον ἐν δέρματι, ἢ ἐν ἐλεφαντίνοις πτυχίοις.

9. Sed & unum. ¶ Δύναταί τις διατιθέμενος, πολλὰς ἰσοτύπως γράφειν διαθήκας, οὕτω μέν τοι, ὥστε μίαν ἑκάστην αὐτῶν, κατὰ τὴν κρατοῦσαν ἐν διαθήκαις παραφυλακὴν περιεῖναι. τοῦτο δὲ ἀναγ-

ctissim⁹ Codici suo inseri noluit. ¶ Legatarijs autem & fideicommissarijs (quia non iuris successores sunt) & alijs omnibus per patriam potestatem his coniunctis, testimonium denegatum non est. Quin immò constitutio quędam est serenissimi Principis nostri, qua specialiter id permissum est, vt legata his, qui testes in testaméto futuri sunt, relinqui possint: ac multo magis his, qui per patriã potestatem, ipsis coniunguntur. ¶ Porrò nihil interest, in qua materia testamétum scribatur, vtrũ in tabulis, an in chartis, an in membranis, aut alia quauis materia, vt in pellib⁹, aut eburneis pugillarib⁹. ¶ Potest testator plura eiusdem formę testaméta facere, sic vt vnũquodque eorum ea obseruatione conficiatur, quę in testamentis obtinet. Est autem id aliquando necessarium, plura

καῖον

esse testamentorum exéplaria. Vt si quis longinquam nauigationem instituens, testamentum suum secum velit portare, & aliud item domi relinquere, vnde eo defuncto constare possit mentis ipsius contestatio. Sed & aliæ multę causę interuenire possint ex variis rerum humanarum casibus, quæ rem hãc maximè faciant necessariam. Nam & hoc interdum accidit, vt vnũ exéplar furto amittatur: aut is apud quem depositũ est, peregrinetur, nec quisquam sciat, vbi gentium degat. ¶ Et hæc quidem omnia, de testamentis, quæ in scriptis fiunt, intelliguntur. Quòd si quis sine scriptis testamẽtum facere velit, (iure scilicet ciuili nam Prætor testamẽtum sine scriptis ignorat, quomodo enim nosset qui signa testium semper requirat) septem testibus adhibitis, & voluntate sua corã eis nuncupata, perfectum firmúmque Iu

καιρόν ἐστι, τὸ εἶναι πολλὰ τῶν διαθηκῶν ἰσότυπα. ἔσθ' ὅτε γὰρ μέλλων ἀποπλεῖν, ἔχειν μεθ' ἑαυτοῦ βούλεται τὴν διαθήκην, καὶ ἑτέραν οἴκοι καταλιπεῖν. ἐξ ἧς δείκνυται τοῦ τελευτήσαντος ἡ διάνοια. καὶ δι' ἄλλας συμβαίνει πολλὰς αἰτίας, ἀναγκαιότατον εἶναι τοῦτο. αἵ τινες ἐξ ἀνθρωπίνων συμβαίνουσι περιστάσεων. ἔσθ' ὅτε γὰρ κλαπῆναι συμβαίνει τὸ ἓν ἰσότυπον, ἢ καὶ τὸν λαβόντα ἐν παρακαταθήκῃ, ὁδεῦσαι, καὶ ἄδηλον εἶναι τὸν τόπον ἐν ᾧ διατρίβει.

¶ Ταῦτα δὲ πάντα περὶ τῶν ἐγγράφων δεῖ νοεῖσθαι διαθηκῶν. εἰ δέ τις ἄγραφον βούλεται ποιῆσαι διαθήκην, πολιτικὴν δηλονότι, ἄγραφον γὰρ ὁ πραίτωρ οὐκ ἐπίσταται διαθήκην. πῶς γὰρ ὁ σφραγῖδας ἀπαιτῶν ἀεί; εἰ τοίνυν παρόντων ἑπτὰ μαρτύρων τὴν οἰκείαν γνώμην ἐπ' αὐτῶν φανερώσει, τελεία καὶ ἰσχυρὰ ἡ τοιαύτη κατὰ τὸ πολιτικὸν ἔ- 8. Sed hæc.

ἔστω διαθήκη.

re ciuili erit hoc testamentum.

## DE MILITARI TESTAMENTO.

Titulus X.

Ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν, ὅνπερ τρόπον δεῖ τυποῦσθαι τὴν διαθήκην. ἀλλ' ἐκείνη μὲν ἡ πολλῆς ἀκριβείας ἐχομένη παραφυλακὴ, ἐν ταῖς παγανικαῖς χώραν ἔχει διαθήκαις. ἐπὶ δὲ τῶν στρατιωτικῶν διαθηκῶν, ἅπας ὁ τοιοῦτος σχολάζει λόγος. συγκεχώρηται δὲ αὐτοῖς ἐκ τῶν διατάξεων διὰ τὴν ἐν νόμοις ἀπειρίαν, τὸ παρὰ τὴν ἀκρίβειαν διατίθεσθαι. ἀμέλει τοι, εἰ καὶ ἑνὸς παρόντος μάρτυρος διατίθενται· ἢ καὶ ἐὰν μὴ γράψωσιν οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα, ἡ αὐτῶν ἔρρωται βούλησις. ἠσχολημένοι γὰρ περὶ τὴν στρατείαν, εἰκότως ἀγνοοῦσιν ἀκριβείας ἁπάσης παρατήρησιν. ἀλλὰ πάλαι μὲν ὅπου δήποτε διάγοντες, στρατιωτικῶς ἠδύναντο διατίθεσθαι. διάταξις δὲ τοῦ ἡ-

Iam suprà dictum est, quemadmodũ testamenta ordinari debeant. Sed ea tam diligens & exacta obseruatio, in paganorum testamentis locum habet. verùm in militaribus testamẽtis omnis ratio hæc cessat. Militibus enim ex principum constitutionibus, propter rerum ciuilium imperitiã concessum est, testamenta sua sine hac obseruatione ordinare. Proinde, & si vel vno teste testamẽtũ fecerint, vel suis manibus heredũ nomina non scripserint, rata tamen eorum voluntas est. Et enim, cùm in expeditionibus occupati sint, nõ mirum est, si sollemnitatem huius obseruationis ignorẽt. Et olim quocunque in loco agerent, militariter poterant testari: Sed cõstitutione Imperato

μετέ

ris nostri, tum demū eis concessum est, vt volūtas ipsorū quocumq; modo facta, siue in scriptis siue sine scriptis, firmum ex se robur haberet: cùm in castris siue in expeditiōe sant. ¶ Eo verò tempore, quo aliis in locis versantur, aut in his quæ Sedeta vocantur, id est, vbi eos agere necesse est, siue in sedibus suis militaribus, in testando non fruuntur priuilegiis, sed testari quidem possunt, & si filiifamil sint, dum tamen in omnibus, iuris communis obseruationem cùm extra castra degunt, sequantur. ¶ Porrò nō absurdum fuerit, in medium proferre, quæ à Traiano de militaribus testamētis, statutum sit, in tali ferè specie. Miles aliqui conuocatis quibusdam, corā eis dixerat: se, hunc aut illum sibi heredem esse velle, & seruum hunc manu mitti. Et hæc sine scriptis omnia. Post mortem militis, quę

μετέρου βασιλέως τότε συνεχώρησεν αὐτοῖς τοῦτο πράττειν· ἡνίκα ἐν τοῖς κάστροις, ἢ ἐν τῷ ἐξπεδίτῳ διάγουσιν. ὅπως δή ποτε γὰρ ἡ βούλησις αὐτῶν, ἐγγράφως ἢ ἀγράφως διατυπωθεῖσα ᾖ, τὸ ἰσχυρὸν ἐχέτω ἐν ἑαυτῇ. ¶ Ἐν οἷς δὲ χρόνοις (Illis autem.) ἐν ἑτέροις διατελοῦσι τόποις, ἢ ἐν τοῖς λεγομένοις αὐτοῖς σεδέτοις, τουτέστιν ἔνθα διάγειν αὐτοὺς ἀνάγκη, τῶν στρατιωτικῶν ἐν τῷ διατίθεσθαι προνομιῶν οὐκ ἀπολαύουσι. καὶ ὑπεξούσιοι δὲ ὄντες ἀκωλύτως διατίθενται. πανταχοῦ μέν τοι τὴν ἀκρίβειαν παραφυλάττοντες, ἐν ᾧ τῶν κάστρων εἰσὶν ἐκτός. (Plane.) ¶ Οὐκ ἄτοπον δὲ εἰς μέσον ἀγαγεῖν, τὰ ἀπὸ Τραιανοῦ περὶ στρατιωτικῆς εἴρηται διαθήκης, ἐπὶ θέματος τοιούτου. στρατιώτης τις συγκαλεσάμενός τινας, ἐπὶ αὐτῶν εἶπε, τόνδε, ἢ τόνδε βούλεσθαι κληρονόμον εἶναι, καὶ τόνδε τὸν οἰκέτην ἐλευθερωθῆναι. ἀγράφως δὲ ταῦτα ἐπράττετο. ζήτησις μετὰ τὴν αὐ-

τοῦ τελευτήσαντος μεταξὺ τῶν ἐξ ἀδιαθέτου, καὶ τοῦ ὀνομασθέντος κληρονόμου ἀνεφύη. καὶ οἱ μὲν ἐξ ἀδιαθέτου ἔλεγον τὰ παρὰ τοῦ τελευτήσαντος εἰρημένα, οὐχ ὡς ἐπὶ ἐννοίᾳ διαθήκης εἰρῆσθαι. ὁ δὲ κληρονόμος προεβάλλετο τὸ στρατιωτικὸν προνόμιον, ἐκεῖθεν τὴν διαθήκην βεβαιῶν. Στατίλιος δὲ Σεβῆρος ὁ τῆς τοιαύτης ἀκροώμενος ἀμφιβολίας, ἐπὶ Τραϊανὸν ἀνήγαγε τὸν θειότατον. ὁ δὲ ἀντέγραψε ταῦτα. τὸ στρατιωτικὸν προνόμιον τὸ λέγον, τὰς ὅπως δήποτε γινομένας ὑπὸ τῶν στρατιωτῶν διαθήκας βεβαίας εἶναι, οὕτω νοεῖσθαι χρή, ὥστε κατὰ προτέραν τάξιν πρόδηλον εἶναι τὸ γεγονέναι διαθήκην, εἴτε ἔγγραφον, εἴτε ἄγραφον. ὁ τοίνυν τελευτήσας στρατιώτης, οὗ ὑπὲρ τῆς οὐσίας κινεῖται ζήτησις, εἰ συγκαλεσάμενός τινας ἐπὶ τούτῳ ὥστε τὴν οἰκείαν γνώμην ἐπὶ μαρτύρων δηλῶσαι, σαφῶς παρέστησε ἵνα βούλεται ἔχειν κληρονόμον, καὶ τίνα

τῶν

ſtio coorta eſt, inter eos, qui ab inteſtato veniebant, & eum, qui hæres nuncupatus erat. Et hi quidem qui ab inteſtato veniebant, negabant ea, quæ defunctus dixerat, animo teſtandi dicta eſſe. Contrà here, propoſito militum priuilegio, ex eo teſtamentũ vt validum, tuebatur. Statilius Seuerus ad quem in ius itum fuerat, dubitationem ſuam ad D. Traianũ retulit. Atque is ita reſcripſit: id priuilegium quod militantibus datum eſt, vt teſtamenta militum quocunque modo facta, rata ſint: ſic intellegi oportet, vt priùs cõſtare debeat teſtamẽtum factum, eſſe, in ſcriptis aut ſine ſcriptis. Is ergo defunctus miles, de cuius bonis quæſtio mota eſt, ſi quibuſdã in hoc conuocatis, vt coram teſtibus voluntatem ſuam declararet, clarè ſignificauit, quem ſibi heredem eſſe vellet, & quem ſeruorum li-

bertate donaret: testamentum hoc & sine scriptura, ratum esse dicimus: Quòd si (vt sæpenumero in sermonibus congressibúsque contingit) præsentibus quibusdam, in aliquem cõuersus dixit, EGO TE HEREDEM FACIO, vel BONA MEA TIBI RELINQVO: nõ oportet hoc vim testamenti habere. Nec in vllo alio magis id dispiciendum & cauẽdum est, quã in militibus, quibus pro priuilegio datũ est, vt quocumq; vellent modo testarentur, ne quæ in congressibus dicta fuerint, ad formam testamenti referantur. Alioqui nõ difficulter, post mortem cuiusuis militis, existerent testes asseuerantes audisse se, defunctum dicentem alicui, EGO TE HEREDEM MEVM FACIO, aut BONA MEA TIBI RELINQVO, & per hoc vera subuer-

τῶν οἰκετῶν ἐλευθερῶσαι ἠξίωσεν, ἄγραφον ἰσχυρὰν τὴν τοιαύτην καλοῦμεν διαθήκην. εἰ δὲ ὥσπερ ἐπὶ τὸ πλεῖστον ἐν ὁμιλίαις εἴωθε συμβαίνειν, παρόντων τινῶν ἀποτεινόμενος πρός τινα εἶπεν, ΕΓΩ ΣΕ ΚΛΗΡΟΝΟΜΟΝ ΠΟΙΩ̃, ἢ ΤᾺ ἘΜᾺ ΠΡΆΓΜΑΤΑ ΣΟΙ ΚΑΤΑΛΙΜΠΆΝΩ· οὐ χρὴ τοῦτο διαθήκης ἔχειν δύναμιν. ἐπ᾽ οὐδενὸς γὰρ μάλιστα τοῦτο χρὴ σκοπεῖσθαι, εἴπερ ἐπὶ στρατιωτῶν. οἷς ἐν προνομίῳ δέδοται, τὸ ὅπως βούλονται διατίθεσθαι. ὥστε τὰ ἐν ὁμιλίαις λεγόμενα, εἰς τύπον διαθήκης μὴ ἀναφέρεσθαι. ἐπεί τοι γε πάσης δυσκολίας ἐκτὸς, μετὰ τελευτὴν στρατιώτου παντὸς, ἀναφανήσονται μάρτυρες διαβεβαιούμενοι ἑαυτοὺς ἀκηκοέναι, ὅτι ὁ δεῖνα ὁ τελευτήσας, εἶπε τῷ δε, ὅΤΙ ἘΓΩ ΣΕ ΚΛΗΡΟΝΌΜΟΝ, ἢ ὅΤΙ ΚΑΤΑΛΙΜΠΆΝΩ ΣΟΙ ΤᾺ ἘΜᾺ ΠΡΆΓΜΑΤΑ. καὶ ἐκ τούτου αἱ ἀληθεῖς ἀνα-

τρέπ

περιαπτήσονται τῶν στρατιωτῶν βουλήσεις. ¶ Στρατιώτης εἴτε ἄλαλος εἴη, εἴτε κωφὸς, ἰσχυρῶς διατίθεται. ὑπόθου δὲ αὐτὸν μὴ ἐκβληθέντα τῆς στρατείας causaria missione. ἄτοπον γὰρ τὸν τοιοῦτον στρατεύεσθαι. ὁ μὲν γὰρ οὐκ ἀκούει τῶν τοῦ στρατηγοῦ παραγγελμάτων, ὁ δὲ ἐάν τινος ἀναγκαίου δέηται, οἷον ὅπλου, οὐ δύναται τοῦτο δηλῶσαι. ¶ Μέχρι δὲ τοσούτου ἐκ τῶν βασιλικῶν διατάξεων συγκεχώρηται τοῖς στρατιώταις τὸ διατίθεσθαι παρὰ τὴν ἀκρίβειαν, μέχρις οὗ ἂν στρατεύωνται, καὶ ἐνδιατρίβωσιν ἐν κάστροις. μετὰ δὲ τὴν ἄφεσιν, τουτέστιν ἡνίκα γίνωνται βετεράνοι, ἢ τῶν κάστρων εἰσὶν ἐκτὸς, εἰ καὶ ἔτι στρατεύονται, τὴν τῶν παγανῶν ἀκρίβειαν φυλάττειν ὀφείλουσιν. ἐπειδὴ δὲ εἰρήκαμεν, τοὺς μὲν στρατιώτας ἐν κάστροις διατιθεμένους, ἀκινδύνως τῆς ἀκριβείας καταφρονεῖν, τοὺς δὲ βετεράνους, τὴν ἀκρίβειαν ὀφείλειν παραφυλάττειν, ὅρα τὸ ἐντεῦθεν

§. Quinimo

§. Sed hactenus.

terentur militum iudicia. ¶ Miles siue mutus sit, siue surdus, rectè testatur. Sed tamē finge missum non esse a militia, causaria missione. Hunc enim absurdum & turpe esset militare. Nā alter ducis sui mandata nō exaudit: alter, si qua re opus ei sit, vt armis, dicere id non potest. ¶ Enimuero hactenus a principalibus cōstitutionibus militibus concessum est, vt inobseruata sollemnitate testentur, dum militant & in castris degunt. Post missionē verò: id est, cùm veterani facti sunt, vel aliàs extra castra sunt, quamuis adhuc militent, paganorum sollemnitatem obseruare debent. Quoniam verò diximus: milites, qui in castris testantur, sine periculo iuris obseruationem omittere: veteranos verò communi iure testari debere: vide quòd inde quæsitū

est, quantum inter militem & veteranũ intersit. Miles in castris agens, quocumque volebat modo, testatus est: missioné accepit: & abiit. Videamus num voluntas eius rata esse debeat. Et si quis tẽpus inquirat, quo testamentum factum est, dico valere, etiã non obseruata sollẽnitate. Sin verò tempus, quo mortuus est: testamentũ quod sine iuris obseruatione factum est, valere nõ oportet. Quid ergo? Tẽpus ipsum hanc dubitationem dirimit. Nam si intra annum à missione obiit, decimo fortè, vndecimóve aut duodecimo mense, cùm adhuc militare testamẽtum hoc vocare possis, robur & vires habere opinor. Sin verò annus post missionem elapsus est, amplius valere non potest. Sufficit enim medium ei tempus, vt sollemnitatem, quæ circa testamenta desideratur, obseruare disceret, & mutato priore testamento, aliud

θεν ζητηθὲν, ὅπερ μεταξὺ στρατιώτου καὶ βετεράνου ἐστί. στρατιώτης ἐν κάστροις διάγων, καθ' ὃν ἠβουλήθη διέθετο τρόπον. ἀφείθη τῆς στρατείας· ἐτελεύτησε. σκοποῦμεν, εἰ δεῖ κρατεῖν αὐτοῦ τὴν βούλησιν. καὶ εἰ μέν τις ἐξετάσοι τὸν χρόνον, ἐν ᾧ γέγονεν ἡ διαθήκη, ἐρρῶσθαι φημί, καὶ παρὰ τὴν ἀκρίβειαν. εἰ δὲ τὸν καιρὸν ἐν ᾧ τελευτᾷ, τὴν μὴ γινομένην κατὰ ἀκρίβειαν ἰσχύειν οὐ δεῖ. τί οὖν; ὁ χρόνος τέμνει τὴν ἀμφισβήτησιν· καὶ εἰ μὲν εἴσω ἐνιαυτοῦ μετὰ τὴν ἄφεσιν ἐτελεύτησε, τυχὸν τῷ δεκάτῳ ἢ ἑνδεκάτῳ ἢ δωδεκάτῳ μηνί, στρατιωτικὴν ἔτι ταύτην ἀποκαλῶν, τὸ ἰσχυρὸν αὐτῇ δίδωμι. εἰ δὲ κατὰ τὴν ἄφεσιν ἐνιαυτοῦ παραδραμόντος, μηκέτι ἐρρώσθω. ἱκανὸς γὰρ ἦν ὁ μεταξὺ χρόνος ἐκπαιδεῦσαι αὐτὸν τὴν ὀφείλουσαν παραφυλάττεσθαι περὶ τὰς διαθήκας ἀκρίβειαν, ὥστε καὶ αὐτὸν τὴν ἑαυτοῦ διαθήκην ἀμεί-

μείψαντα, οὕτω διατίθεσθαι. Τί δὲ, εἰ διέθετο μέν τις στρατιωτικῶς, ἐνεστήσατο δὲ κληρονόμον ὑπὸ αἵρεσιν; ἐτελεύτησε δὲ εἴσω ἐνιαυτοῦ μετὰ τὴν ἄφεσιν, ἡ δὲ τῆς ἐντελέσεως αἵρεσις, μετὰ τὸν ἐνιαυτὸν ἐξῆλθε; σκοποῦμεν εἰ βλάπτει τοῦτο τὴν διαθήκην, καὶ λέγομεν, ὅτι οὐδαμῶς. τὴν γὰρ τελευτὴν ἀπαιτοῦμεν εἴσω ἐνιαυτοῦ γενέσθαι μετὰ τὴν ἄφεσιν, οὐ μὴν τὸ γενέσθαι τὴν ἀδιτζίονα.

Sed etsi. ¶ Παγανός τις ὢν, διέθετο παρὰ τὴν ἀκρίβειαν, ἐστρατεύσατο μετὰ ταῦτα, διάγων ἐν κάστροις, ἀποσφραγίσας τὴν διαθήκην, τινὰ προσέθηκεν, ἢ περιεῖλεν, ἢ καὶ μόνον ἀνέγνω τὴν διαθήκην, ἢ ἔπραξέ τι ἕτερον, ἐξ οὗ ἐδείκνυτο ἡ τοῦ στρατιώτου βούλησις, βουλομένου δὴ ταύτην ἰσχύειν. ἐτελεύτησε μετὰ ταῦτα, ἰσχύει καὶ παρὰ τὴν ἀκρίβειαν ἡ διαθήκη ὡς ἀπὸ καινοτέρας αὐτοῦ βουλήσεως, ἣν διάγων ἐν τοῖς κάστροις, ἔσχεν ἐπὶ τῇ διαθήκῃ. στρατιώτης διά-

cōderet. Quid autē si quis militariter testatus, heredem sub conditione instituerit, & ipse quidem intra annum a missione decesserit, sed cōditio heredi ascripta post annum extiterit? videamus, an id testamento noceat. Et dicimus, quod nequaquā. Id enim spectamus, vt mors intra annum post missionem contingat, nō etiā vt aditio. ¶ Quidam cùm adhuc paganus esset, non iure fecerat testamentum: deinde miles factus, & in castris agens, resignato testamento, quædam adiecit aut induxit, aut fortè solum relegit testamentum, aut aliud quid fecit vnde voluntas ipsius constare possit hoc testamentum vtique volentis valere. Postea defunctus est. Testamentum hoc quamuis non iure factum, valet: quasi ex noua ipsius volūtate, quam in castris degens, de testamento habuit. Item miles in castris degens

γων

non iure fecit testamentum, deinde capitis deminutionem passus est: aut enim cùm sui iuris esset, in adrogationem se dedit, aut cùm in patria potestate esset, emancipatus est: nihilominus in robore suo manere debet testamentum, quòd post emancipationem, noua militis voluntate videatur esse confirmatum: quoniam hoc ipso, quòd non mutauit, valere id & vires habere voluit. Neque capitis deminutio irritum facit testamentum, cùm miles sit testator. Quod enim vt infra discemus, capitis deminutio testatoris, testamenta subuertit, id hîc nô obseruatur. Nam absurdum foret, testamentum non iure factum, quod tamen valeat, per Iuris Ciuilis regulas irritum fieri. ¶ Sunt aliqui, qui cùm in potestate patris sint, peculium habeant, non castrense, sed quasi castrense. tam ex an-

γων ἐν κάστροις, διέθετο παρὰ τὴν ἀκρίβειαν, ὑπέστη μετὰ ταῦτα κάπιτις δεμινουτίονα. ἢ γὰρ αὐτεξούσιος ὢν δέδωκεν ἑαυτὸν εἰς ἀδρογατίονα, ἢ ὑπεξούσιος ὢν γέγονεν ἐμαγκίπατος. μενέτω ἡ διαθήκη ἐπὶ τοῦ οἰκείου οὐδὲν ἧττον ἰσχύος, ὡς καινοτέρας ἐντυχούσης γνώμης τοῦ στρατιώτου, μετὰ τὴν ἐμαγκιπατίονα. ἐν ᾧ γὰρ οὐκ ἤμειψεν αὐτήν, τὸ βέβαιον ἔχειν αὐτὴν ἠβουλήθη. οὐδὲ ἡ κάπιτις δεμινουτίων, ἄρρηκτον ποιεῖ τὴν διαθήκην. ἐπειδὴ ἐστὶ στρατιώτης ὁ διατιθέμενος. ἐπεὶ τοίγε, ὡς προϊόντες μαθησόμεθα, ἡ τοῦ τεστάτορος κάπιτις δεμινουτίων ἀνατρέπει τὴν διαθήκην. ἐνταῦθα δὲ οὐ παραφυλάττεται ταῦτα. ἄτοπον γὰρ τὴν μὴ κατὰ νόμους γενομένην διαθήκην, ἰσχύουσαν δέ, ταύτην ὑπὸ τῶν πολιτικῶν ἀναιρεῖσθαι κανόνων. ¶ Εἰσί τινες ὑπεξούσιοι οἱ καστρένσιον μὲν οὐκ ἔχουσι πεκούλιον, κουάσι δὲ καστρένσιον, ἐκ τοῦ πα- § Sciend.

λαιοτέρων νόμων, ἢ ἐκ τῶν μεταγενεστέρων διατάξεων ἔχουσι. οἷα ἐστὶ τὰ ἀπὸ συνεδρίας, ἢ τὰ ἀπὸ συνηγορίας, ἢ τὰ ἀπὸ ἀρχῆς. τουτέστι τῶν αἰνόνων ἐκ τοῦ δημοσίου παρεχομένων αὐτοῖς. καὶ τούτοις ἐπιτέτραπται ἐν ὑπεξουσιότητι διατίθεσθαι. ἀλλ' ἐπειδὴ μικρά τις ἦν ἐπ' αὐτοῖς ἀμφιβολία, γέγονε γενικὴ τοῦ ἡμετέρου βασιλέως διάταξις λέγουσα· πάντα ὑπεξούσιον κυάσι καστρένσιον ἔχοντα πεκούλιον, ἐπ' αὐτῷ κοινῷ νόμῳ δύνασθαι διατίθεσθαι. τὴν εἰρημένην οὖν διάταξιν ἀναγνοὺς, οὐδὲν ἀγνοήσεις τῶν εἰς τοῦτο φερόντων.

terioribus legibus quàm ex Principum constitutionibus. Quod genus fuerint ea quæ vel ex assessuris, vel ex aduocationibus, vel ex magistratib⁹ percipiūt, hoc est, annonæ, quę ex publico eis præbētur. Et de his permissum est, quāuis in patria potestate degant, testari. Sed cùm hac in re nonnihil esset dubitationis, exiit quædam generalis Imperatoris nostri cōstitutio, dicens: quicumque in patria potestate constitutus quasi castrense haberet peculium, eum de hoc iure communi testari posse. Quam constitutionem vbi legeris, nihil omnium ignorare poteris, quæ ad hoc ius pertinent.

## QVIBVS NON EST PERMISSVM TESTAMENTVM FACERE.

### Titulus XII.

Τῶν ἀνθρώπων οἱ μὲν διατίθενται, οἱ δὲ οὐ διατίθενται. καὶ εἴπωμεν περὶ τῶν δυναμένων διατίθεσθαι, ἀλλ' ἐπειδὴ πολλοὶ τὸν ἀριθμόν εἰσιν,

Hominū quidam testamētum faciunt, quidam non faciūt. Et dicamus de his, qui testamenta facere possunt. Sed quoniam hi multi numero

mero sunt, dicamus de his qui facere nō possunt, quum pauci sint, vt ex his, multos illos cognoscamus. In primis testari non potest, qui alieno iuri subiectus est, quoniam testamentum est rerum suarū ordinatio siue dispositio. At qui alieno iuri subiectus est, disponere sua nō potest. Adeo verò prohibetur hic testari, vt si ego pater (sicut fieri solet) obsecundans ei permittam ipsi, quotacumque velit ex parte patrimonij mei testari, valere nō possit, quod fecerit. Neque enim oportet priuati hominis voluntatem, plus viriū habere quam leges. Sunt tamē, qui quāuis in potestate sint, nihilominus testentur. veluti, qui peculium habent castrēse. Et id quidem initio solis concessum erat militibus, tum ex auctoritate Augusti, tum Neruæ, necnon optimi Imperatoris Traiani. Postea verò constitutio Hadriani & veteranis

εἴπωμεν περὶ τῶν μὴ δυναμένων διαθέσθαι ὀλίγων ὄντων. ἵνα ἐκ τούτων μάθωμεν τοὺς πολλούς. καὶ πρώτην τάξιν οὐ δύναται διαθέσθαι ὁ ὑπεξούσιος, ἐπειδὴ διαθήκη ἐστὶ τῶν ὄντων διατύπωσις. ὑπεξούσιος δὲ οὐ δύναται ὡς βούλεται τὰ οἰκεῖα διατυποῦν. ἀλλ' ἐπὶ τοσοῦτον κεκώλυται διαθέσθαι, ὅτι εἰ καὶ ἐγὼ ὁ πατὴρ (οἷα φιλεῖ γίνεσθαι) θεραπεύων αὐτὸν, ἐπιτρέψω αὐτῷ, εἰς ὅσον βούλεται μέρος τῆς ἐμῆς διαθέσθαι περιουσίας, οὐκ ἔρρωται τὸ παρ' αὐτοῦ γινόμενον. οὐ δεῖ γὰρ ἰδιώτου γνώμην ἰσχυροτέραν εἶναι τῶν νόμων. εἰσὶ δὲ οἵτινες ἐν ὑπεξουσιότητι διατίθενται, οἷον, οἱ ἔχοντες καστρένσιον πεκούλιον. τοῦτο δὲ τὴν ἀρχὴν μόνοις ἐπετράπη στρατιώταις. ἐξ αὐθεντείας τοῦτο μὲν αὐγούστου, τοῦτο δὲ νέρουα. οὐ μὴν, ἀλλὰ καὶ τοῦ ἀρίστου βασιλέως τραϊανοῦ. μετὰ δὲ ταῦτα, διάταξις ἀδριανοῦ, δυσφοροῦσι τοῖς στρατευσαμένοις,

καὶ αὐτοῖς ἐπέτρεψε τὴν διατίθεσθαι ἐν ὑπεξουσιότητι. καὶ εἰ μὲν διαθῶνται πάντες οἱ εἰρημένοι εἰς τὸ κάστρενσιον πεκούλιον, λήψεται τοῦτο ὁ παρ' αὐτῶν γραφεὶς κληρονόμος· εἰ δὲ ἀδιάθετοι τελευτήσουσι, μήτε παῖδας ἔχοντες, μήτε μὴν ἀδελφοὺς ὑπόντας, κοινῷ δικαίῳ ὡς οἷον δήποτε παγανικὸν πεκούλιον ἐπὶ τοὺς γονεῖς ἔρχεται. ἡνίκα γάρ τις μὴ χρήσηται τῇ φιλοτιμηθείσῃ αὐτῷ καινοτομίᾳ, τοῖς παλαιοῖς χώρα νόμοις, πάλαι δὲ παντοῖον πεκούλιον τελευτήσαντος τοῦ παιδὸς ὁ πατὴρ ἐλάμβανε. πολλαὶ διαφοραὶ, παγανικοῦ καὶ κάστρενσίου πεκουλίου. καὶ πρώτη μὲν αὕτη. ὅτι εἰς μὲν τὸ κάστρενσιον, ὁ ὑπεξούσιος δύναται διατίθεσθαι, εἰς δὲ τὸ παγανικὸν οὐ δύναται. δευτέρα δὲ διαφορὰ, ἀγανακτήσας ὁ πατὴρ κατὰ τοῦ ὑπεξουσίου. τὸ μὲν παγανικὸν ἀδεμπτεύειν, τουτέστιν ἀφαιρεῖσθαι δύναται πεκούλιον, τὸ δὲ κάστρενσιον οὐκέτι. τρίτη

δια

id ægrè ferentibus, concessit, vt & ipsi in potestate cum essent, testarentur Itaque si omnes hi testamenta fecerint de castrensi peculio, id is accepturus est, quem heredem scripserint. Sin verò intestati decesserint, nullis liberis eorum vel fratribus superstitibus, iure communi ad parentes eorum tamquam paganum siue profectitium peculium id abibit. Quando enim is, cui noui quidpiam concessum est, eo non vtitur, locus fit veteri legi. Et olim quale cumque esset peculium, mortuo filio pater accipere solebat. Porrò multæ sunt profecticij & castrēsis peculij differentiæ. Et prima quidem est hæc, quod de castrensi filiusfamilias testari posset, de profectitio, non possit. Secunda differentia, quod pater iratus filio, profectitium ei peculium adimere possit: castrense, non possit.

Tertia differentia, Si quis graue æs alienum cõtraxit; & bona eius a creditoribus distrahãtur, profecticium filij peculium vnà venditur: Castrense verò, nequaquã. Est & quarta differentia, Nam si quis moriens plures relinquat liberos, quorũ vnus peculium habeat profecticium & castrense: profecticium omnium fratrum cõmune erit: castrense verò eius tantũ qui id adquisierit. Quãuis omnia liberorũ, q in potestate sunt, peculia, pro parte patrimonij paterni habeantur, sicut & seruorum peculia, in bonis dominorum numerãtur. Quæ autem dicta sunt in Castrensibus peculiis, ea & in his intellige, quæ per constitutiones Principũ variis de causis patri non adquiruntur? Eo igitur excepto, qui castrense aut quasi castrense peculium habet, si quis alius filiusfamiliãs testamentum fecerit, in-

διαφορά, ἐὰν πολλοῖς ἐποφείλων τις, ὑποστῇ διάπρασιν ὑπὸ τῶν ἑαυτοῦ κρεδιτόρων, τὸ μὲν τοῦ παιδὸς συνδιαπιπράσκεται πεκούλιον ἤγουν τὸ παγανικὸν, τὸ δὲ κασρένσιον οὐδαμῶς. ἔστι καὶ τετάρτη διαφορά, ἐὰν πολλῶν ὄντων παίδων ὁ πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἐξ αὐτῶν ἕνα, παγανικὸν ἔχειν πεκούλιον καὶ κασρένσιον· τὸ μὲν παγανικὸν, κοινὸν ἔσται τῶν ἀδελφῶν, τὸ δὲ κασρένσιον, μόνου τοῦ κτησαμένου. καί τοι πάντα τὰ τῶν ὑπεξουσίων παίδων πεκούλια, μέρος εἶναι νομίζονται τῆς πατρῴας περιουσίας. ὥσπερ καὶ τὰ τῶν οἰκετῶν πεκούλια συναριθμεῖται τῇ δεσποτικῇ περιουσίᾳ, τὰ δὲ εἰρημένα περὶ τῶν κασρενσίων, νόει καὶ ἐπ' ἐκείνων τῶν μὴ προσποριζομένων τῷ πατρὶ ἐκ τῶν διατάξεων κατὰ διαφόρους αἰτίας. δίχα τοίνυν τοῦ ἔχοντος κασρένσιον, ἢ κουάσι κασρένσιον πεκούλιον, ἐάν τις ὑπεξούσιος ἂν διά-

θηται, ἄχρηστος ἡ τούτου διαθήκη, εἰ καὶ γενόμενος αὐτεξούσιος ἐτελεύτησε. σκοποῦμεν γὰρ ἀεὶ οὐ μόνον τὸν καιρὸν τῆς τελευτῆς, ἀλλὰ καὶ τὸν τῆς ποιήσεως τῆς διαθήκης, εἰ ἐν ἑκατέρῳ χρόνῳ παρρησίαν εἶχε τοῦ διατίθεσθαι. ¶ Ἐν δευτέρᾳ τάξει οὐ δύνανται διατίθεσθαι οἱ ἄνηβοι. οἶδας γὰρ ὅτι τεσταμέντουμ λέγεται τεστάτιο μέντις, ἤτοι μαρτυρία διανοίας. ἐστέρηται δὲ διανοίας ὁ ἄνηβος. οὐ διατίθενται, οὐδὲ οἱ μαινόμενοι, ἐπειδὴ χηρεύουσι λογισμοῦ. ὥστε οὖν οὔτε ἄνηβος, οὔτε μαινόμενος διατίθεται. ἐπειδὴ τὸ φρονεῖν, τῷ μὲν οὐ προσεγένετο, τὸν δὲ ἀπέλιπε. ἀνίσχυρος δὲ αὐτῶν ἡ διαθήκη, εἰ καὶ τὰ μάλιστα ὁ μὲν γενόμενος ἔφηβος ἐτελεύτησε, ὁ δὲ ἀνανήψας. εἰ δὲ ὁ μαινόμενος κατ' ἐκεῖνον διαθῆται τὸν καιρὸν ἐν ᾧ παύεται τῆς μανίας, τουτέστιν ἐν τοῖς διαλείμμασι, ζητεῖται εἰ κρατεῖ; καὶ λέγομεν ἔννομον εἶναι τὴν

6. Praeterea.

utile est huius testamentum, quamuis suæ potestatis factus decesserit. Spectamus enim non solũ mortis tempus, sed etiã tempus confecti testamenti, an vtroq; tempore potestatem habuerit testandi. ¶ Secundò testamentum facere nō possunt impuberes. Nosti enim testamentũ esse testationem mẽtis. At impubes mentem hoc est iudiciũ non habet. Item nō testantur furiosi. Nã & hi mente & ratione carent. Neque igitur impubes, neque furiosus testatur. Prudentia enim & animi iudicium, alteri nondum adfuit, alterum autem reliquit. Porrò inualida sunt ipsorum testamẽta, etiam si ante mortem alter in puberem euaserit, & alter ad mentem redierit. Si tamen furiosus eo tempore testamentum faciat, in quo furor intermissus fuerit, hoc est, in interuallis: quæritur an valeat? Et dicimus iure valere hoc testamentum.

tum. Quid ergo, si quis testamento cō dito, in furorem incidat? Et certè morbus furoris postea superueniens, testamentum rectè atque ordine factum non subuertit: quemadmodum neq; alium contractum furor superueniēs rescindit. ¶Deinde neq; prodigum, cui rerum suarum administratione interdictū est, leges testari permittunt. Testamentum tamen quod antè fecerit, quàm prodigus esset, hoc est bonorum suorum interdictio ei fieret, firmum manet & ratum. ¶Item, mutus & surdus non semper testantur. Vtique autem de eo surdo loquimur, qui omnino non exaudit, nō de eo qui tardius exaudit. Hic enim testatur. Nam & illum mutum dicimus, nō qui tardius loquitur, sed eum qui omnino nō loquitur. Quod autē dixi non semper, id ideo adiectum est, quia sæpe etiam aliquis eruditus & qui litteras nouit, variis casib⁹ (qui

διαθήκην. τί δὲ ὅτε διαθέμενός τις ἐμάνη; τὸ μετὰ ταῦτα πάθος ἐπιγινόμενον τῆς μανίας, τὴν ὀρθῶς διατυπωθεῖσαν οὐκ ἀνατρέπει διαθήκην. ὥσπερ οὐδὲ ἕτερον συνάλλαγμα ἐπιγινομένη μανία διαφθείρει. ¶ Οὐδὲ τὸν ἄσωτον, ᾧ τῶν οἰκείων πραγμάτων ἡ διοίκησις ἀπηγορεύθη, ὁ νόμος συγχωρεῖ διατίθεσθαι. ἡ δὲ πρὸ τῆς ἀσωτείας γινομένη διαθήκη, τουτέστι πρὶν ἡ διοίκησις αὐτῷ τῶν πραγμάτων ἀπαγορευθῇ, βεβαία μένει. ¶ Ἄλαλος καὶ κωφὸς οὐκ ἀεὶ διατίθενται. διαλεγόμεθα δὲ περὶ ἐκείνου τοῦ κωφοῦ τοῦ παντελῶς μὴ ἀκούοντος, οὐ μὴν τοῦ βραδέως ἀκούοντος. οὗτος γὰρ διατίθεται. καὶ γὰρ ἄλαλον ἐκεῖνον φαμὲν, οὐ τὸν βραδέως λαλοῦντα, ἀλλὰ τὸν παντελῶς μὴ φθεγγόμενον. τὸ δὲ οὐκ ἀεὶ, προσέθεικα δι' ἐκείνην τὴν αἰτίαν· πολλάκις γάρ τις εἰδὼς γράμματα, καὶ πεπαιδευμένος, συμφορᾶς ἐ-

6. Item prodigus.

8. Item surdus.

περιγινομένης, πλεῖσται δὲ αἱ τούτων ἐπάγουσαι αἰτίαι, τῆς ἀκοῆς, ἢ τῆς γλώττης ἐστερήθη, καὶ ἐπειδὴ παρὰ τοῖς παλαιοῖς οἱ τοιοῦτοι οὐκ ἠδύναντο διατίθεσθαι, διάταξις ἐφοίτησε τοῦ ἡμετέρου βασιλέως κελεύουσα, τοῖς ἐκ πάθους εἰς τοῦτο ἐλθοῦσι, μετά τινος παραφυλακῆς δύνασθαι διατίθεσθαι. τὸν δὲ τρόπον καὶ παρατήρησίν ἐστιν ἀνελλιπῶς μαθεῖν, τὴν εἰρημένην ἀναγνόντα νεαρὰν διάταξιν. εἰ δέ τις διαθέμενος, νόσου συμβάσης, ἢ ἐκ τιμωρίας ἀρχοντικῆς, ἢ ἐξ ἄλλης οἱασδήποτε περιστάσεως, ἄλαλος, ἢ κωφὸς γέγονεν, ἡ προγινομένη φυλάττει τὴν ἰδίαν ἰσχὺν διαθήκη.

§. Cæcus. ¶ Ὁ τυφλὸς δύναται διατίθεσθαι, παραφυλάττων τὰ ἐν τῇ εἰρημένῃ διατάξει τοῦ τῆς θείας λήξεως Ἰουστίνου.

§. Eius. ¶ Ὁ παρὰ τοῖς πολεμίοις ὢν οὐ καλῶς παρ' αὐτοῖς διατίθεται. εἰ καὶ συμβῇ τοῦτον εἰς τὴν ἡμετέραν πολιτείαν ἐλθεῖν. τὴν δὲ

multis ex caußis contingunt) linguæ vel aurium vſum amittat. Quoniam verò apud veteres neque hi teſtari poterant, edita eſt Imperatoris noſtri cõſtitutio, quã & his, qui ex aduerſo caſu in hoc malum inciderint, permiſſum eſt, cum obſeruationib' quibuſdam teſtamẽtũ facere. Normam verò ordinémque eius obſeruationis, facile eſt diſcere, ſi quis eam, quam dixi, nouam conſtitutionem legat. Quòd ſi quis teſtamento cõdito, vel ex morbo aliquo & aduerſa valetudine, aut ex ſupplicio, quo Præſes eũ affecerit, vel alia quauis ex cauſſa, mutus aut ſurdus factus fuerit, teſtamentum quod ante factum fuerit, vim ſuã retinet. ¶ Cæcus teſtamẽtum facere poteſt, his obſeruatis, quæ conſtitutione quadam Diui Iuſtini cõprehenſa ſunt. ¶ Qui apud hoſtes eſt, non rectè apud eos teſtatur, quamuis eum in ciuitatẽ redire contingat. te-

ſtamen

stamentum verò, quod apud nos fecerit, valere dicimus eo postea in hostium potestatem redacto. Nam si redeat, iure postliminij valebit. Sin apud hostes moriatur, valebit ex lege Cornelia.

παρ' ἡμῖν γινομένην διαθήκην ἐρρῶσθαι φαμέν, μετὰ ταῦτα γινομένου αὐτοῦ αἰχμαλώτου. εἴτε γὰρ ὑπέστρεψε, τὸ δίκαιον τοῦ ποστλιμινίου παρέχει αὐτῇ τὸ βέβαιον, εἴτε παρὰ τοῖς πολεμίοις τελευτήσει, ὁ κορνήλιος νόμος χαρίζεται αὐτῇ τὴν ἰσχύν.

---

## DE EXHEREDATIONE LIBERORUM. Titul. XIII.

Diximus supra, quemadmodum testamenta fieri debeant. veluti ut testator, sua manu scribat nomen heredis, aut id dicat coram testibus. Item ut septẽ sint testes, & hi testamento subscribant, & id consignẽt nulla re in medio agẽda. Quòd si quid eorũ omissum fuerit, irritum facit testamentum. Porrò ut utiliter testemur, non dicta modò observatione opus est, sed & aliud quiddã quærimus. Id enim videndum, numquẽ testator filiũ habeat,

Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσι τίνα τρόπον δεῖ γίνεσθαι τὰς διαθήκας. οἷον τὸν τεστάτωρα, οἰκείᾳ χειρὶ γράφειν τὸ τοῦ κληρονόμου ὄνομα, ἢ τοῦτο λέγειν ἐπὶ τῶν μαρτύρων· καὶ ἑπτὰ εἶναι μάρτυρας, καὶ τούτους ὑπογράφειν ἐν τῇ διαθήκῃ καὶ ταύτην σφραγίζειν, μηδενὸς ἐν μέσῳ πραττομένου. ἐν δέ τι τούτων παραλειφθὲν, ἄχρηστον δείκνυσι τὴν διαθήκην. οὐ μόνον δὲ τῆς εἰρημένης δεόμεθα παραφυλακῆς πρὸς τὸ ἰσχυρῶς διατίθεσθαι, ἀλλ' ἐπιζητοῦμεν καὶ ἄλλο τι. δεῖ γὰρ σκοπεῖν εἰ υἱὸν ὑπεξούσιον, εἴτε αὐτε

ἐξούσιον ἔχει ὁ πατήρ. δεῖ γὰρ τοῦτον ἢ κληρονόμον γράφειν, ἢ ἀποκλήρον dominatim ποιεῖν. εἰ δὲ σιωπῇ πραιτεριτεύσῃ τοῦτον, ἀνυπόστατος ἡ διαθήκη, ἐξ αὐτῆς τῆς γραφῆς. ἀμέλει, εἰ καὶ συμβῇ τὸν παῖδα προτελευτῆσαι τοῦ οἰκείου πατρὸς, οὐδὲν ἧττον ἄκυρος ἡ διαθήκη, κατὰ τὸν κανόνα τὸν λέγοντα, τὰ ἐξ ἀρχῆς ἀνυπόστατα, ἐκ τῶν μετὰ ταῦτα ἐπιγινομένων, ἰσχὺν λαμβάνειν οὐ δύναται, καὶ οὐ δυνήσονται οἱ σκρίπτοι κληρονόμοι διαδέξασθαι τὴν τοῦ τελευτήσαντος περιουσίαν, εἰ καὶ μὴ ὑπέστη παῖς, ὁ διὰ τῆς πραιτεριτζιόνος βλαπτόμενος. καὶ ταῦτα μὲν, ἡνίκα υἱός ἐστιν ὑπεξούσιος. εἰ δέ τις ἔχει θυγατέρα ὑπεξουσίαν, ἢ ἔγγονον, ἢ ἐγγόνην, ἢ προέγγονον, ἢ προεγγόνην, οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονόμους, οὐδὲ μὴν ἐξερεδάτους ἐποίησεν, ἀλλ' ὕβρισεν αὐτοὺς πραιτεριτζίονι, οὐκ ἄκυρος μὲν ἡ διαθήκη. οἱ δὲ πραιτεριτευθέντες τοῖς γε-

γρα

in poteſtate aut emãcipatum: quoniam hunc aut heredem ſcribere, aut nominatim exheredare neceſſe eſt. Quòd ſi eum ſilentio prætereat, ex ipſa ſcriptura & ordinatione ſui, non ſubſiſtet teſtamentum. Itaque & ſi filium ante patrem mori contingat, nihilominus irritum teſtamentum eſt, idque ex regula quæ dicit: ea, quę ab initio nõ ſubſiſtunt, ex poſtfacto non cõualeſcere. Neque poterunt ſcripti heredes hereditatem defuncti ſuſcipere, quãuis filius, qui præteritione læſus eſt, nõ ſuperſit. Et hæc quidem, cùm quis filiũ habet in poteſtate. Quòd ſi quis filiam habeat in poteſtate, aut nepotem vel neptem, aut pronepotem vel proneptem, neque eos heredes ſcribat, neque item exheredet, ſed tantùm ignominia præteritionis aſpergat, non eſt irritum huius teſtamentũ. Verum, qui præteriti

erant, scriptis heredibus adcrescunt. Est autem ius adcrescendi, veluti ius partis auferendæ. Sed si extranei sint heredes scripti, ius adcrescendi ad dimidiam vsque competit: sin verò sui, pro rata. Exempli gratia. Tres aliquis instituit heredes, filiã verò aut nepotem silentio præteriit. Si heredes scripti, extranei sunt: filia vel nepos vnum semissem accipiet, & alterum semissem tres illi heredes extranei. Sin verò sui, pro rata accipiunt, hoc est, quadrãtem siue tres vncias, quantum accepturi erant, si pater intestatus decessisset, hoc est, quartam partem hereditatis eius. Licebat autem hos non solùm nominatim, sed etiam inter ceteros, hoc est, ἀορίστως siue indefinitè exheredare, dicendo: CETERI EXHEREDES SVNTO. ¶Nominatim exheredatio hunc in modum fiebat: TITIVS

γραμμένοις κληρονόμοις προσαύξουσι. προσαύξησις δέ ἐστι, μέρους ἀφαίρεσις. ἀλλ' εἰ μὲν ἐξωτικοί εἰσιν οἱ γεγραμμένοι, εἰς τὸ ἥμισυ γίνεται ἡ προσαύξησις. εἰ δὲ σοῦοι, εἰς τὸ ἀνάλογον. οἷον τρεῖς ἐνεστήσατό τις κληρονόμους, τὴν θυγατέρα, ἢ τὸν ἔγγονον παραιτέρωτον καταλιπών. εἰ μὲν ἐξωτικοί εἰσιν οἱ γεγραμμένοι κληρονόμοι, ἡ μὲν θυγάτηρ ἤγουν ὁ ἔγγονος, λήψεται ἐξαούγκιον. οἱ δὲ τρεῖς ἐξωτικοὶ κληρονόμοι ἐξαούγκιον. εἰ δὲ σοῦοι, λαμβάνουσι τὸ ἀνάλογον, τουτέστι τρεῖς οὐγκίας, ὅσον ἤμελλε λαμβάνειν, εἴγε ἀδιάθετος ἐτελεύτησεν ὁ πατήρ, τουτέστι τὴν τετάρτην τῆς περιουσίας αὐτοῦ μοῖραν. ἐξῆν δὲ τούτοις, οὐ μόνον nominatim, ἀλλὰ καὶ inter ceteros, ἤτοι ἀορίστως ἐξερεδατεύειν, ἐν τῷ λέγειν, ΟΙ ΛΟΙΠΟΙ ΕΣΤΩΣΑΝ ΑΠΟΚΛΗΡΟΙ. ¶ Ἡ δὲ νομινάτιμ ἐξερεδατζίων, ἐγίνετο τοῦτον τὸν τρόπον. ΤΙΤΙΟΣ

θ. Nominatim.

Ὁ ΥἹΌΣ ΜΟΥ, ἜΣΤΩ ἘΞΕΡΈΔΑΤΟΣ. δύναται καὶ ἀπὸ ἐπιτηδεύματος, ὁ ΓΡΑΜΜΑΤΙΚῸΣ ἜΣΤΩ ἘΞΕΡΈΔΑΤΟΣ. καὶ ἀπὸ τέχνης, ὁ ΧΑΛΚΕΎΣ. καὶ ἀπὸ ἡλικίας, ὁ ΠΡΕΣΒΎΤΗΣ, Ἢ Ὁ ΝΕΏΤΕΡΟΣ. καὶ ἀπὸ χρώματος, ὁ ΛΕΥΚῸΣ ΚΑῚ Ὁ ΜΈΛΑΣ. καὶ ἁπλῶς πᾶσα φράσις σαφῶς δηλοῦσα τὸ ὑποκείμενον πρόσωπον, νομινάτιμ ἐξερεδατίωνα ἀποτελεῖ. ¶ Δεῖ δὲ τὸν διατιθέμενον οὐ μόνον τῶν ἐν φύσει, ἀλλὰ καὶ τῶν ποστούμων φροντίδα τίθεσθαι, καὶ γράφειν τούτους κληρονόμους, ἢ ἀποκλήρους ποιεῖν. ἐπείτοιγε πραιτεριτευθέντες, ἅμα τῷ τοκετῷ, ῥοῦπτον ποιοῦσι τὴν διαθήκην. καὶ οὐκ ἔστιν εὑρεῖν ἐν τούτῳ διαφορὰν, υἱοῦ, ἢ θυγατρὸς, ἢ ἐγγόνου, ἢ ἐγγόνης. πραιτεριτευθέντων μὲν γὰρ αὐτῶν, ἔρρωται ἡ διαθήκη

θ. Postumi.

FILIVS MEVS EXHERES ESTO. Sed & a studiis exheredari quis potest ita, GRAMMATICVS ILLE EXHERES ESTO. Et ab arte: EXCVSOR ILLE. Et ab ætate: SENEX ILLE AVT IVVENIS. Et à colore: ALBVS ILLE AVT NIGER. Et vt in vniuersum dicam, Sermo omnis & locutio, dilucidè explicãs personã de qua quis loquitur, exheredationem nominatim perficit. ¶ Oportet autem eum, qui testamẽtum condit, non liberorum tantùm, qui in rerum natura sunt, sed & postumorũ curam gerere, eósque vel heredes scribere, vel exheredare. Nam si præteriti sint, simul atque nati fuerint, testamentum rumpunt. Neque est hic vlla differẽtia inter filium aut filiã, aut nepotem vel neptẽ. Nam si preterẽatur, valet quidem testamentum ex scriptu-

sa

ra ſui, ſed poſthumo poſtea agnato aut poſthuma, rumpitur, & inutile redditur propter ipſorum ſci lic. præteritionem. Nō igitur ex ſeipſo & ſcriptura ſui irritum eſt, ſed per natiuitatem rumpitur. Vnde ſi cōtingat vt mulier ex qua poſtumus naſci ſperabatur, abortum faciat, nihil obſtabit quò minùs heredes ſcripti hereditatem adire poſſint. Et feminini quidem ſexus poſtumæ vel nominatim vel inter ceteros exheredantur. Nam ſi dixerit teſtator: ILLE MIHI HERES ESTO, CETERI EXHEREDES SVNTO: per verba hæc exheredari videtur poſtuma. Verumtamen ne turpiſſimo aduerſus ſcriptum heredē iudicio, vbi nata fuerit conſiſtat, dicens: non de me cogitauit teſtator, quippe qui & ignorauerit me: idcirco

ὕμα τῇ γραφῇ. ἐκ γὰρ τοῦ μετὰ ταῦτα τεχθῆναι τὸν ποστοῦμον, ἢ τὴν ποστοῦμαν, ῥήγνυται ἡ διαθήκη, καὶ πᾶσα ἀκυροῦται ἐντεῦθεν, δηλονότι τῇ πραιτερίτζιονι αὐτῶν. οὐκ ἐξ αὐτῆς ἀκυροῦται τῆς γραφῆς, ἀλλ' ἐκ τοῦ τοκετοῦ ὅτι εἰ συμβῇ τὴν γυναῖκα ἐξ ἧς ὁ ποστοῦμος ἠλπίζετο τίκτεσθαι ἀμβλωθῆναι, ἀνεμποδίστως οἱ σκρίπτοι κληρονόμοι ἀδιτεύουσι τὴν κληρονομίαν, ἀλλ' αἱ μὲν θήλειαι ποστοῦμαι, ἢ nominatim, ἢ inter ceteros ἐξερεδατεύονται. εἰ γὰρ εἴπῃ ὁ τεστάτωρ, ἜΣΤΩ ΜΟΙ Ὁ ΔΕῖΝΑ ΚΛΗΡΟΝΟΜΟΣ, ΟἹ ΔῈ ΛΟΙΠΟῚ ἜΣΤΩΣΑΝ ἈΠΟΚΛΗΡΟΙ, διὰ τούτων τῶν ῥημάτων, ἐξερεδατεύεσθαι δοκεῖ ἡ ποστοῦμα. πλὴν μέντοι, ἵνα μὴ μετὰ τὸ τεχθῆναι ἀναίσχυντον εἰσφέρηται δίκην πρὸς τὸν σκρίπτον κληρονόμον λέγουσα, ὅτι οὐκ ἐνεθυμήθη περὶ ἐμοῦ ὁ τεστάτωρ, ὁπότε καὶ ἠγνόει με. δεῖ λεγάτον αὐτῇ καταλιπεῖν.

πεῖν. ἵνα οὕτως εἴπῃ ὁ διατιθέμενος, ἘΣΤΩ ΜΟΥ Ὁ ΔΕῖΝΑ ΚΛΗΡΟΝΟΜΟΣ, ΟἹ ΔῈ ΛΟΙΠΟῚ ἜΣΤΩΣΑΝ ἈΠΟΚΛΗΡΟΙ, ΤΗ͂Ι ΔῈ ΤΙΚΤΟΜΈΝΗΙ ΜΟΙ ΠΟΣΤΟΎΜΑΙ, ΛΗΓΑΤΕΎΩ ἙΚΑΤῸΝ ΝΟΜΊΣΜΑΤΑ. τούτου γὰρ οὕτως ἔχοντος, λέγομεν αὐτῇ, ὅτι περὶ σοῦ τὴν inter ceteros ἔγραψε ἐξερεδατίωνα, ἀμέλει καὶ ληγάτον σοι κατέλιπε. τοὺς ἄῤῥενας δὲ ποστούμους, τουτέστιν υἱόν, ἔγγονον, προέγγονον, ἤρεσε, μὴ ἄλλως ἐξερεδατεύεσθαι, εἰ μὴ νομινάτιμ. καὶ ποῖον ὄνομα δυνατὸν εἰπεῖν, ἐπὶ τοῦ μήπω τεχθέντος; ἐροῦμεν, ὅτι τοῦτον δηλώσομεν τούτῳ τῷ τρόπῳ, ἵνα εἴπωμεν, ὍΣ ΤΙΣ ΔΗΠΟΤῈ ΜΟΙ ΠΑΙ͂Σ ΤΕΧΘΗ͂, ἈΠΌΚΛΗΡΟΣ ἜΣΤΩ. ἢ ἵνα εἴπω Ὁ ΜΈΛΛΩΝ ΤΊΚΤΕΣΘΑΙ, ἈΠῸ ΤΗ͂Σ ΔῈ ΤΗ͂Σ ἘΜΗ͂Σ ΓΑΜΕΤΗ͂Σ ἈΠΌΚΛΗ

& legata ei relinqui oportet. Vt ita scilicet dicat testator: ILLE MIHI HERES ESTO, CETERI EXHEREDES SVNTO, POSTVMAE VERO MEAE, SI QVA NASCETVR, CENTVM SOLIDOS LEGO. Hoc enim ita facto, dicemus ei testator de te inter ceteros exheredationẽ scripsit. itaque profectò & legatum tibi reliquit. Postumos verò masculini sexus vt filium, nepotem, pronepotẽ, non aliter exheredari placuit, quàm si nominatim id fiat. Et quomodo nomẽ eius dicere possumus, qui necdum natus est? Dicimus id hunc in modum declarari posse, vt dicamus: QVISQVIS MIHI FILIVS NATVS FVERIT, EXHERES ESTO: aut, QVI EX ILLA VXORE MEA NASCETVR, EX-

HERES ESTO.

¶ Sunt & alij quidam post humorum loco, qui suo herede priore in gradu, mortuo, sui fiunt. Vt in hac specie. Habebam filium in potestate, & ex eo nepotem vel neptem. Et filius quidē mihi suus erat, propterea quòd nemo eū præcederet: nepos verò vel neptis, in potestate quidem mea erant, sui mihi non erant: propterea ꝙ ante eos pater ipsorū esset. Si iam ego testamētum faciam, cuiusnam curā mentionémq; habere debeo? Et certum est, filij: eúmque aut heredem scribere aut exheredare. Non igitur nepotis aut neptis? Non. Hi ergo, cùm sui non sint, si prætereantur, neq; efficient, vt testamētum ipso iure non subsistat, neque scripto heredi adcrescere poterunt. Hæc enim suorum propria sunt. Et siquidē hic rerū habitus vsque ad finem seruetur, omnia illa rectè dicta

ΠΌΚΛΗΡΟΣ ἜΣΤΩ.

θ. Postumorum.

¶ Εἰσὶ δὲ ἕτεροι τοῖς ποστούμοις ἐοικότες, οἵτινες τὸν προλαμβάνοντα κατὰ βαθμὸν σοῦου τελευτήσαντος, σοῦοι γίνονται. ὡς ἐπὶ τούτου τοῦ θέματος. εἶχον υἱὸν ὑπεξούσιον, καὶ ἐκ τούτου ἔγγονον ἢ ἐγγόνην. ἀλλ' ὁ μὲν υἱὸς ἦν καὶ σοῦος, διὰ τὸ μὴ προλαμβάνεσθαι. ὁ δὲ ἔγγονος ἢ ἐγγόνη ὑπεξούσιοι μὲν ἦσαν, διὰ δὲ τὸ προλαμβάνεσθαι, ὑπὸ τοῦ οἰκείου πατρὸς, οὐκ εἶχον παρ' ἑαυτοῖς τὸ σοῦον. διατιθέμενος ἐγὼ τίνος ὀφείλω φροντίδα ποιήσασθαι; πρόδηλον ὅτι τοῦ υἱοῦ, καὶ τοῦτον γράφειν κληρονόμον ἢ ἐξερεδατεύειν. ἆρα δὲ τοῦ ἐγγόνου, ἢ τῆς ἐγγόνης; οὐδαμῶς. οὗτοι γὰρ οὐκ ὄντες σοῦοι, ἐὰν πραιτεριτευθῶσιν, οὔτε ipso iure, ἤγουν αὐτῷ τῷ δικαίῳ ἀνυπόστατον ποιοῦσι τὴν διαθήκην, οὔτε προσαύξειν δύνανται. ταῦτα γὰρ τῶν σούων ἴδια. ἀλλ' εἰ μὲν μέχρι τέλους ἐσώζετό μοι τὸ αὐτὸ σχῆμα, καλῶς

λῶς ἐλέγχει ταῦτα. ἐπειδὴ δὲ εἰκὸς ἐμοῦ ζῶντος τὸ μέσον πρόσωπον ἐξελθεῖν τῆς ὑπεξουσιότητος, ἢ τελευτῇ, ἢ ἐπειδὴ ἔτυχεν ἀξιώματος πατρικίου, εὑρίσκεται λοιπὸν ὁ ἔγγονος, ἢ ἡ ἐγγονή, σοῦος, ἢ σοῦα, ὥσπερ ἐπιτεχθέντες, μιμούμενοί τε κατὰ τοῦτο τοὺς ποστούμους. μὴ ὄντες γὰρ πάλαι σοῦοι, νῦν γίνονται σοῦοι. καὶ ὥσπερ οἱ ποστοῦμοι τῷ τοκετῷ, καὶ οὗτοι τῇ ἐπαναβάσει, ῥοῦπταν ποιοῦσιν τὴν διαθήκην. ἵνα μὴ οὖν καινὸς σοῦος ἐπαναβαίνων ὁ ἔγγονος, ῥοῦπταν ποιήσῃ τὴν διαθήκην, ὥσπερ αὐτὸν τὸν υἱὸν, οὕτω καὶ τὸν ἔγγονον, ἢ τὴν ἐγγόνην ὀφείλω γράφειν κληρονόμους, ἢ ἐξερεδάτους νομινάτιμ ποιεῖν. εἰ γὰρ πραιτεριτευθῶσι τῇ ἐπαναβάσει, ὅτε τὸ μέσον δηλονότι πρόσωπον ὑπεξέλθῃ, ὡς μὴ ἐννόμως ἠσφαλισμένην, ἀκυροῦτι τὴν διαθήκην. καὶ τοῦτο τῷ ἰουλίῳ βελλείῳ νόμῳ εἴρηται. ὅς τις νόμος κατὰ μίμη-

dicta sunt. Quòd si fortasse me adhuc viuēte, media illa persona, ex potestate mea abeat, vel morte vel per Patriciam fortè dignitatē: iam nepos neptisve velut agnatione quadam & instar postumorum, sui suáve inuenitur. Nā cùm ante sui nō fuerint, nunc sui fiunt. Et quemadmodum postumi per natiuitatem, ita & isti per successionem in locum prioris, testamēta rumpunt. Ne igitur nouus hic (vt ita dixerim) suus in locum prioris succedens, testamentum ruptum faciat: sicut filium ipsum, ita & nepotem neptémve, heredes scribere, aut nominatim exheredare debeo. Quòd si præteriti fuerint, media persona exēpta succedēdo in locum eius, testamentum vt non satis legibus firmum, irritū & inualidum efficiunt. Idque lege Iulia Velleia prouisum est. Quæ ad similitudinem postumorum exheredari

cos

eos docuit, hoc est, nepotem quidē nominatim: neptem verò vel inter ceteros, dum tamen hic legatum ei detur. ¶ Filium quis habebat, aut filiam emancipatos. Hic si testamentum faciat, quātum ad ius ciuile attinet heredes eos scribere, aut exheredare non cogitur. Nam eos propter capitis deminutionem, quā passi sunt, lex duodecim Tabularum ignorat. At prætor respectu ad naturalem cognationē habito, & filios hos nouit, & emancipatos quoq; heredes scribi iubet. Quòd si id testator nolit, masculi nominatim exheredentur, feminæ vel nominatim vel inter ceteros. Quòd si neq; heredes scripti, neque, vt dictū est, exheredati fuerint, bonorum possessionem eis Prætor contra tabulas dat. Per quam filius aut nepos totam defuncti hereditatem

σιν τῶν ποστούμων, ἐξερεδάτους
αὐτοὺς εἶπε γενέσθαι. τουτέστι τὸν
μὲν ἔγγονον νομινάτιμ, ἢ inter
cæteros. μετὰ δόσεως δὲ ληγά-
του, τὰς θυγατέρας, καὶ ἐγγό-
νους. ¶ Εἶχέ τις υἱὸν, ἢ θυγατέ-
ρα ἐμαγκιπάτους. διατιθέ- b. Emancipatos.
μενος οὗτος ὅσον κατὰ τὴν
πολιτικὴν νομοθεσίαν, οὐκ
ἀναγκάζεται γράφειν αὐτοὺς
κληρονόμους, ἢ ἀποκλήρους
ποιεῖν. ἄγνωστοι γάρ εἰσι τῷ
δωδεκαδέλτῳ, διὰ τὴν ὑπέστη-
σαν κάπιτις διμινουτζίωνα. ὁ
δὲ πραίτωρ πρὸς τὴν φυσι-
κὴν ὁρῶν συγγένειαν, οἶδε καὶ
τούτους παῖδας, καὶ κελεύει τού-
τους τοὺς ἐμαγκιπάτους γρά-
φεσθαι κληρονόμους, εἰ δὲ μὴ
βούλεται ὁ διατιθέμενος, οἱ
μὲν ἄῤῥενες νομινάτιμ ἐξερε-
δάτοι γενέσθωσαν· αἱ δὲ θήλειαι
καὶ νομινάτιμ, καὶ inter cete-
ros. εἰ δὲ μήτε γραφῶσι κλη-
ρονόμοι, μήτε καθὰ εἴρηται ἐξ-
ερεδάτοι γενῶσι, δίδωσιν αὐτοῖς
ὁ πραίτωρ τὴν κοντρατάβουλας. δι' ἧς ὁ μὲν υἱὸς,
ἤγουν ὁ ἔγγονος πᾶσαν λήψεται τὴν τοῦ τελευτή-

σωλος περιουσίαν. ἡ δὲ θυγάτηρ,
ἢ ἐγγονὴ, τοσοῦτον λαμβάνει
ὅσον ἐκέρδαινε διὰ τῆς προ-
σαυξήσεως οὖσα ὑπεξουσία.

§. Adoptiui ¶ Ἔχε ταῦτα ὡς ἐν προθεω-
ρίᾳ. ἐπειδὰν λάβω τινὰ εἰς υἱο
θεσίαν, οὗτος ἔσται μοι υἱὸς, καὶ
νόμῳ καὶ φύσει. νόμῳ μὲν διὰ
τὴν θέσιν αὐτήν. φύσει δὲ διὰ
τὸν νόμον. ὁ γὰρ νόμος κατέχει
παρ' ἑαυτῷ τὴν φύσιν, μέ-
χρι δὲ τοσούτου φύσει τοῦ παιδὸς
νομίζομαι εἶναι πατὴρ, ἐφ'
ὅσον ἀκμάζει τὰ τῆς θέσεως, εἰ
δὲ ποιήσω αὐτὸν ἐμαγκίπα-
τον, νόμιμος οὖσα ἡ πρᾶξις
διαλύει τὸν νόμον, τὸν διὰ τῆς
θέσεως συστάντα, τοῦ νόμου δὲ
μηκέτι σωζομένου συναφίσταται
καὶ ἡ φύσις, οὐκ ἔχουσα τὸν κα-
τέχοντα. ἐπειδὴ σοι ταῦτα
προτεθεώρηται, ὅρα λοιπὸν τὸ
προκείμενον. ἐκδέδωκά σοι
πρὸς γάμον τὴν ἐμὴν θυγα-
τέρα, ἐτέχθη παῖς, ὃν ὑπε-
ξούσιός σοι δηλονότι· αἰτη-
θεὶς παρ' ἐμοῦ δέδωκάς μοι
τοῦτον εἰς υἱοθεσίαν. ζητοῦμεν

accipiet: filia verò aut neptis, quantum si in potestate esset, lucraretur per ius adcrescendi ¶ Hæc habeto in modum præuiæ cuiusdã inspectionis. Si quem adoptauero in filiũ, hic mihi & lege & natura filius erit: lege quidem propter adoptionem ipsam: natura verò, propter legem. Naturã enim lex in sese cõtinet. Tantisper autem natura huius filij pater esse videor, dum causa adoptioni durat. Quòd si eum emancipauero: cùm hic sit actus legitimus, legem quæ ex adoptione constabat, dissoluit. Porrò lege iam extincta, simul discedit & natura, tãquam eo amisso, quo continebatur. His ita pro fundamento quodã inspectis, vide nunc cetera. Filiam tibi ego meam in vxorẽ dedi: natus est filius, & in tua scilicet erat potestate. Rogatus eum mihi dedisti in adoptionem. Quæstionis

ſtionis eſt vter noſtrum huius in teſtamento ſuo mentionem facere & curã gerere debeat? Et dicimus, quòd ego pater adoptiuus. Per adoptionem enim hic eiuſdẽ iuris habetur, cuius ſunt ex iuſtis nuptiis quæſiti. Quemadmodum igitur iuſtum filium meum, qui in poteſtate mea eſt, heredẽ cogor ſcribere, aut ſecundum ea, quę diximus exheredare, ita & hũc adoptiuũ. Tu verò pater naturalis, ſcribere eum heredem non cogeris. Nam neque lege tibi filius eſt, quoniam in poteſtate eũ non habes: Neq; natura, cùm ego per legẽ naturalis ei eſſe pater videar: nec fieri poſſit, vt duos patres naturales quis habeat. Quòd ſi ego eum emãcipauero, neq; iure ciuili, neq; eo iure quod ex edicto Prætoris venit, inter liberos connumerandus eſt. Quapropter neque ego eum ſcribere heredem cogor, neq; naturalis pater id face

τίς ἐξ ἡμῶν διατιθέμενος, ἀναγκάζεται φροντίδα τούτου τίθεσθαι. καὶ λέγομεν ὅτι ἐγὼ ὁ θετὸς πατήρ. διὰ γὰρ τῆς θέσεως, ἔοικεν οὗτος τοῖς ἀπὸ ἐννόμων γάμων τεχθεῖσί μοι. ὥς τε οὖν ὥσπερ τὸν νόμιμόν μου υἱὸν τὸν ὑπεξούσιον ἀναγκάζομαι γράφειν κληρονόμον, ἢ κατὰ τὰ προειρημένα ἐξερεδατεύειν, οὕτω καὶ τὸν θετόν. σὺ μέν τοι ὁ φυσικὸς πατὴρ οὐκ ἀναγκάζῃ αὐτὸν γράφειν κληρονόμον. οὐδὲ γὰρ νόμιμός σου υἱός ἐστιν, οὐδὲ γὰρ ἔχεις αὐτὸν ὑπεξούσιον. οὐδὲ φύσει, ἐπειδὴ διὰ τοῦ νόμου ἐγὼ ὁ θετὸς δοκῶ φυσικὸς εἶναι αὐτοῦ πατήρ. οὐδεὶς γὰρ δύο φυσικοὺς πατέρας ἔχειν δύναται. εἰ γὰρ ποιήσω αὐτὸν ἐμαγκίπατον, οὔτε κατὰ τὸ πολιτικὸν, οὔτε κατὰ τὸν πραίτωρα μεταξὺ τῶν παίδων συναριθμηθήσεται. οὐκοῦν, ἐγὼ μὲν οὐκ ἀναγκάζομαι γράφειν αὐτὸν κληρονόμον, οὐδὲ ὁ φυσικὸς πατὴρ ἀναγκασθήσεται τοῦτο

¶. Sed hæc quidem.

πράττειν. οὕτω γὰρ ἔσται οὗτος ὁ παῖς ὥσπερ εἰ ὑπὸ σοῦ τοῦ φυσικοῦ πατρὸς γέγονεν ἐμαγκίπατος. ¶ Ἀλλὰ ταῦτα μὲν κατὰ τὸ παλαιόν. διάταξις δὲ γέγονε τοῦ ἡμετέρου βασιλέως, μηδεμίαν εἶναι βουλομένη διαφορὰν ἐν διαθήκῃ ἀρρένων καὶ θηλειῶν. ἑκάτερον γὰρ πρόσωπον, πρὸς παίδων γέννησιν ἐπιτήδειον ὁμοίως ἡ φύσις παρήγαγε, κἀκεῖθεν δῆλον, μὴ εἶναί τινα μεταξὺ αὐτῶν διάκρισιν, ἐξ ὧν ὁ δωδεκάδελτος ἐξ ἀδιαθέτου ὁμοίως ἄρρενας καλεῖ καὶ θηλείας. καὶ ὁ πραίτωρ δὲ ἀκολουθήσας φαίνεται τῷ δωδεκαδέλτῳ, ἁπλοῦν τίνων, καὶ ὅμοιον εἰσηγήσατο νόμον, ἐπὶ υἱῶν καὶ θυγατέρων καὶ πάντων τῶν ἐξ ἀρρενογονίας καταγομένων, οὐ μόνον τεχθέντων ἤδη, ἀλλὰ καὶ κυοφορουμένων. καὶ οὐ μόνον ὑπεξουσίων ἀλλὰ καὶ ἐμαγκιπάτων. καὶ ἐκέλευσεν, εἴτε σοῦοι εἰσὶ παῖδες, εἴτε ἐμαγκίπατοι, εἰ μὴ γράφονται κληρονόμοι,

re cogeret. In ea enim causa filius hic erit, quasi à te naturali patre emancipatus fuisset. ¶ Sed hæc quidem olim obtinebant. Verùm Imperatoris nostri constitutio nullam esse in testamẽtis voluit differentiã inter masculos & feminas: propterea, ꝙ vt amque æquè personam ad procreationem liberorum idoneam natura produxerit. Sed & illinc apertũ est, nullum esse inter eos discrimen, ꝙ lex duodecim Tabularum mares iuxtà ac feminas ad successionem intestati vocauerit. Quin & Prætor legem duodecim Tabularum sequutus videtur, & ideo simplex ac simile ius, in filiis & filiabus & ceteris per virilem sexum descendentibus, non natis tantũ, sed etiã postumis, nec filiisfamilias modò, verùm & emancipatis introduxit: iussitque vt siue sui essent filij, siue emancipati, nisi heredes institue-

μοι.

ventur, nominatim exheredarentur. Etenim si prætereantur, æquè testamenta ex ipsa scriptura ipsorum reddūt inutilia & iniusta, siue sui sint, siue emancipati, siue in rerum natura, siue in vtero cōstituti postea nascantur. Porrò in adoptiuis specialem quandam obseruationem inuenit in alia quadam constitutione Imperator noster sanctissimus, quam de adoptiuis edidit. ¶ Miles in expeditione agens, testamentum fecit: liberos suos iam natos aut postumos, neque heredes scripsit, neque nominatim exheredauit sed contumelia præteritionis affecit. Quæsitum est, an valeat testamentum? Et dicimus: si liberos hos habere se sciuit, nec mentionem eorum habuit, præteritionem hanc pro exheredatione nominatim facta accipi (sicut Principum constitutionibus cautū est) & valere testamē

μοι, νομινάτιμ αὐτοὺς ἐξερεδᾶν τοὺς γονέας. πραιτεριτευθέντες γὰρ ὡσαύτως ἀκυροῦσιν ἐξ αὐτῆς τῆς γραφῆς τὴν διαθήκην, εἴτε σοῦοι εἰσίν, εἴτε ἐμαγκιπάτοι, εἴτε εἰσὶν ἐν φύσει, ἢ καὶ ποστοῦμοι ὄντες μετὰ ταῦτα τεχθῶσιν. ἐπὶ δὲ τοῖς θετοῖς παισὶν, ἰδιάζουσάν τινα ἐπενόησε παρατήρησιν ἐν ἑτέρᾳ αὐτοῦ διατάξει ὁ θειότατος ἡμῶν βασιλεὺς, ἣν τέθεικε περὶ τῶν υἱοθετουμένων.

¶ Στρατιώτης ἐν ἐξπεδίτῳ διάγων διέθετο. τοὺς οἰκείους παῖδας ὄντας ἐν φύσει, ἤγουν κυοφορουμένους οὔτε κληρονόμους ἔγραψε, οὔτε νομινάτιμ ἐξερεδάτευσεν. ἀλλ' ὕβρισεν αὐτοὺς πραιτεριτζίωνι. ζητοῦμεν εἰ ἔρρωται αὐτοῦ ἡ διαθήκη. καὶ φαμὲν ὅτι εἰ μὲν ἠπίστατο τούτους ὑπόντας, καὶ μνήμην αὐτῶν οὐκ ἐποιήσατο, ἡ σιωπὴ αὐτὴ νομινάτιμ ἐξερεδατζίωνος παραλαμβάνεται, ὡς βούλονται αἱ βασιλικαὶ διατάξεις, καὶ ἔρρωται αὐτοῦ

§. Sed si in expeditione.

ἡ διαθήκη. εἰ δὲ ἠγνόει, ipso iure ἀνυπόστατός ἐστιν αὐτοῦ ἡ διαθήκη. ¶ Μήτηρ ἤγουν πάππος πρὸς μητρὸς διατιθέμενοι, οὐκ ἀναγκάζονται τοὺς ἰδίους παῖδας γράφειν κληρονόμους, ἢ ἐξερεδατεύειν, ἀλλὰ δύνανται τούτους ἀποσιωπᾶν. ἡ γὰρ σιωπὴ τῆς μητρὸς καὶ τοῦ πάππου, τοσοῦτον ἰσχύουσιν, ὅσον ἡ τοῦ πατρὸς ἐξερεδατίων. οὐδὲ γὰρ μήτηρ τὸν υἱόν, ἢ τὴν θυγατέρα, οὐδὲ πάππος τὸν ἀπὸ θυγατρὸς ἔγγονον, ἢ ἐγγόνην, ἀναγκάζονται γράφειν κληρονόμους, ἢ ἐξερεδατεύειν, ἀμέλει πραιτέριτοι γενόμενοι, οὐδὲ ἀπὸ τῆς πολιτικῆς βοηθοῦνται νομοθεσίας, οὐδὲ ὁ πραίτωρ τὴν κοντρὰ ταβούλας αὐτοῖς ἐπαγγέλλεται διακατοχήν. ταῦτα γὰρ ἐπὶ τῶν σουῶν, οὐ μέντοι τῶν παυσαμένων εἶναι σουῶν πρακταίζεται, ἔστι δὲ αὐτοῖς ἑτέρα πρὸς τούτοις βοήθεια, ἣν ἐροῦμεν μικρὸν ὕστερον.

§. Mater.

tum eius. Quòd si nesciuit, ipso iure testamentum eius nõ subsistit. ¶ Mater vel auus maternus liberos suos heredes instituere aut exheredare necesse non habent, sed silẽtio præterire possunt. Matris enim aut aui materni silentium, non minùs potest, quàm patris exheredatio. Nam neque mater filium aut filiam, neque auus nepotem neptémve ex filia, heredes instituere coguntur aut exheredare. Itaque præteriti, neque auxilium à iure ciuili habẽt, neque rursum Prætor eis bonorũ possessionem contra tabulas pollicet. Hæc enim suis constituta sunt, nõ his, qui sui esse desierunt. Sed aliud eis adminiculum seruatur, quod paulò post dicemus.

DE

## DE HEREDIBVS INSTITVENDIS. Titul. XIIII.

POst traditā de institutione & exheredatione liberorum doctrinā, & illud dicere necesse est, quas alias psonas heredes scribere possimus. Heredes igitur instituere permissum est, tū liberos, tum seruos: nec nostros modò seruos, sed & alienos. Sed nostros quidem seruos olim secundùm plurium iurisconsultorum sententiam, haud aliter instituere licebat, quàm cum libertate. Hodie verò & sine libertate serui institutio valet ex constitutione Imperatoris nostri, quæ seruos & sine libertate institutos, ad hereditatem sine impedimēto admittit. Neque id per innouationem introductum est, sed ex sententia quorundā veterum. Nam & Atilicinus Iurisconsultus id sequutus est, vt seruus & sine libertate rectè insti-

ΜΕτὰ τὴν διδασκαλίαν, τὴν ἐπὶ τῇ ἐνστάσει, καὶ ἐξερεδατίζωνι τῶν παίδων ἐποιησάμεθα. ἀναγκαῖον εἰπεῖν, καὶ ὁπόσα ἄλλα πρόσωπα δυνάμεθα γράφειν κληρονόμους. γράφειν δὲ δυνάμεθα τοὺς μὲν οἰκέτας, τοὺς δὲ ἐλευθέρους. καὶ οὐ μόνον ἡμετέρους, ἀλλὰ καὶ ἀλλοτρίους οἰκέτας. ἀλλὰ τοὺς μὲν ἡμετέρους οἰκέτας, πάλαι μὲν κατὰ τὴν τῶν πλειόνων νομικῶν γνώμην, οὐχ ἑτέρως, εἰ μὴ cum libertate γράφειν ἐξῆν. σήμερον δὲ καὶ δίχα ἐλευθερίας, ἡ τοῦ οἰκέτου ἔνστασις ἔρρωται, ἐκ διατάξεως τοῦ ἡμετέρου βασιλέως, ἥτις καὶ sine libertate γραφέντας αὐτοὺς, ἀκωλύτως ἐπὶ τὴν κληρονομίαν καλεῖ. τοῦτο δὲ οὐ κατὰ καινισμόν τινα ἡ αὐτοῦ διάταξις εἰσήγαγεν, ἀλλὰ γνώμῃ νομικῶν ἀκολουθήσασα. Ἀτιλικῖνος γὰρ ὁ νομικὸς ἐδέξατο καὶ sine libertate τὴν τοῦ οἰκέτου

καλῶς ἔνστασιν γίνεσθαι. ὡς ἀναφέρει αὐτὸν Παῦλος ὁ σοφώτατος. τοῦτο μὲν ἐν τοῖς ἀδ Μασσούριον Σαβῖνον αὐτοῦ βιβλίοις, τοῦτο δὲ ἐν τοῖς ἀδ Πλαύτιον. ἡμέτερος δὲ οἰκέτης νοεῖται κἀκεῖνος, οὗ τὸν οὐσούφρουκτον ἑτέρῳ παραχωρήσαντες, γυμνὴν ἐπ' αὐτῷ προπριεταρίαν ἔχομεν.

ß. Est autē casus.

¶ Ἔστι δὲ εὑρεῖν ἐν παράδοξον θέμα, πότε Τίς τὸν οἰκέτην, οὐδὲ cum libertate γράφει κληρονόμον ἰσχυρῶς, καὶ τοῦτο διατάξει περιέχεται Σεβήρου καὶ Ἀντωνίνου τῶν θειοτάτων, ἥτις χώραν ἔχει ἐπὶ τοιούτου θέματος. ἀπέθετό τις κατηγορίαν κατὰ Τιτίας, λέγων αὐτὴν ὑπὸ Στίχου τοῦ ἰδίου οἰκέτου μοιχεύεσθαι. μήπω περαιωθέντος τοῦ δικαστηρίου, ἡ εἰρημένη Τιτία τελευτῶσα, τὸν εἰρημένον Στίχον cum libertate ἐνεστήσατο κληρονόμον. μετὰ τὴν ἐκείνης τελευτὴν ζήτησις γέγονεν, εἰ ἔρρωται τὰ τῆς ἐνστάσεως, καὶ οἱ εἰρημένοι θειότατοι βασιλεῖς ἀντέγραψαν,

tueretur: sicut prudentissimus Paulus, tũ in libris ad Masurium Sabinum, tũ in libris ad Plautiũ refert. Seruus autem noster & is intelligitur, cuius alij vsum fructũ concessimus, & nos in eo nudam proprietatem habemus. ¶ Inuenias autem mirabilem quẽdam casum, in quo nec cum libertate seruus vtiliter à domina heres instituitur, vt constitutione diuorum Seueri & Antonini compræhensum est, quæ locũ habet in hac specie. Quidam aduersus Titiam accusationem instituerat, dicens eam cum seruo proprio Sticho adulterium commisisse. Iudicio nondũ absoluto, dicta Titia moriens, dictũ Stichum cum libertate heredẽ instituit. Quæsitum est post mortem eius an heredis institutio valeret? Et quidem hi, quos diximus, Diui Principes rescripserunt, Seruum adulte

rij reum non vtiliter ante finem iudicij in testaméto manumitti ab ea domina, quæ eiusdem illius criminis rea postulatur. Hæc igitur in tali specie serui institutio nullius momenti est. ¶ Quoniã verò dictum est, & alienum seruum vtiliter à nobis hæredẽ scribi: sciendum est & eum alienum esse in quo testator vsufructum habebat.

¶ Quando autẽ seruum meum heredẽ instituo, siue cum libertate, siue sine libertate (neque enim interest, vt iam diximus) siquidẽ meus manserit, liber fiet, & necessarius mihi heres: sin verò eum, testaméto meo supstes, manumisero, voluntarius fiet heres, & liberum ei erit, aut adire aut nõ adire. Necessarius enim esse nõ potest, dum vtrumque ex domini testamento non habeat, heredi-

ψαι, τὸν οἰκέτην ἔνοχον ὄντα τῇ μοιχείᾳ, οὐκ ἰσχυρῶς ἐν τῇ διαθήκῃ ἐλευθεροῦσθαι πρὸ τοῦ πέρατος τῆς δικαστηρίας, ὑπ' ἐκείνης αὐτοῦ τῆς δεσποίνης, ἥτις ὡς ὑποπτευθεῖσα τῷ ἐγκλήματι κατηγορεῖται. ὥστε οὖν ἡ ἔνστασις ἡ ἐπὶ τῷ τοιούτῳ γινομένη δούλου, πάσης ἰσχύος ἐστὶν ἐκτός. ¶ Ἐπειδὴ δὲ εἰρήκαμεν καὶ τὸν ἀλλότριον οἰκέτην καλῶς γράφειν ἡμᾶς κληρονόμον, ὀφείλεις εἰδέναι, ὅτι ἀλλότριός ἐστι κἀκεῖνος, ἐφ' ᾧ ὁ τεστάτωρ οὐσούφρουκτον εἶχεν. ¶ Ἡνίκα δὲ τὸν ἐμὸν οἰκέτην γράψω κληρονόμον cum libertate, καὶ sine libertate, ἀδιάφορον γὰρ καθὰ λέλεκται, εἰ μὲν μένει τελῶν ὑπὸ τὴν ἐμὴν δεσποτείαν ἐλεύθερος γίνεται, καὶ νεκεσσάριός μοι κληρονόμος. εἰ δὲ ἐπιζήσας τῇ διαθήκῃ τοῦτον ἐλευθερώσω, βολουντάριος γίνεται κληρονόμος, ἐν παρρησίᾳ ἔχων τὸ ἀδιτεῦσαι, ἢ μή. νεκεσσάριος γὰρ οὐ δύναται εἶναι οἷα τὰ δύο ἐκ τοῦ τοῦ δεσπότου μὴ

Alienus.

Seruus autem à domino.

δυνάμενος ἔχειν διαθήκης. τουτέστι τὴν κληρονομίαν, καὶ τὴν ἐλευθερίαν. εἰ δὲ μὴ ἐλευθερώσω μὲν αὐτὸν, ἐκποιήσω δὲ, κελεύσει τοῦ νέου δεσπότου ἀδιτεύσας, ἐκείνῳ προσπορίζει τὴν κληρονομίαν. αὐτὸς γὰρ ἐκποιηθεὶς, καὶ μὴ μείνας ὑπὸ τὴν ἐμὴν δεσποτείαν, οὔτε ἐλεύθερος, οὔτε κληρονόμος εἶναι δύναται. εἰ καὶ cum lib rtate ἦν ἐνσταθεὶς, δοκεῖ γὰρ ὁ δεσπότης ἀφίστασθαι τῆς ἐπὶ τῇ ἐλευθερίᾳ δόσεως, καθότι αὐτὸν ἐξεποίησε. ¶ Ταῦτα μὲν ἐπὶ τοῦ ἡμετέρου δούλου. εἰ δὲ τὸν ἀλλότριον οἰκέτην ἐνστήσομαι κληρονόμον, εἰ μὲν μένει παρὰ τῷ αὐτῷ δεσπότῃ, κελεύσει αὐτοῦ τὴν κληρονομίαν ἀδιτεύων, αὐτῷ ταύτην προσπορίζει. εἰ δὲ ἐκποιηθῇ ζῶντος τοῦ διατιθεμένου, ἤγουν καὶ μετὰ τελευτὴν πρὶν ἀδιτεῦσαι κατὰ κέλευσιν αὐτοῦ, τηνικαῦτα προστάξει τοῦ καινοῦ δεσπότου, ἀδιτεύειν δυνήσεται. εἰ δὲ ζῶντος τοῦ τεστάτωρος ἔτυχεν ὑπὸ τοῦ ἰδίου δεσπότου ὁ δοῦλος ἐλευθερωθεὶς, ἢ καὶ μετὰ τελευτ-

¶. Alienus.

tatem scilicet & libertatem. Quòd si eum non manumisero, sed alienauero: noui domini iussu adiens, illi hereditatem adquirit. Alienatus enim & meus non permanens, neque liber, neque heres esse potest, etiã si cum libertate heres institutus fuerit, quoniam dominus à libertatis datione destitisse videt, propterea quod eum alienauerit. ¶ Et hæc quidem de seruo nostro. Alienus autem seruus heres institutus, si eiusdem domini permãserit: iussu illius hereditatẽ adiens, ipsi eam adquirit. Sin verò alienatus fuerit, aut viuo testatore, aut post mortẽ eius antequã domini iussu adiret, tunc noui domini iussu adire poterit. Quòd si viuo testatore à domino suo manumissus fuerit, aut

post mortē eius ante aditionem: suo arbitrio vtpote liber, adibit. ¶ Hæc habeto in modū cuiusdā præuiæ speculationis. Quos dominos heredes instituere possumus, horum possumus & seruos. Nā seruus cùm personam non habeat, à domino suo designationem accipit. Hæc est præuia speculatio: Vide nunc cetera. Titius seruū habebat, Stichū nomine. Hunc ego Stichum ita heredem scripsi, STICHVS POST MORTEM TITII DOMINI SVI, MIHI HERES ESTO. Quæsitum est, an testamentum non subsistat: Nam mortuo Titio, nemo est in rerum natura, ex cuius persona designationē seruus habeat. Sed tamen placuit, heredis institutionem valere. Etenim vt maximè dominus eius Titius non supersit, tamen in heredita-

τελευτὴν περὶ ἀδιτζίωνος, ὡς ἐλεύθερος γεγονὼς, κατὰ τὴν οἰκείαν ἐξουσίαν ἀδιτεύσει. ¶ Ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ. ὧν τοὺς δεσπότας δυνάμεθα γράφειν κληρονόμους, τούτων καὶ τοὺς οἰκέτας. ὁ γὰρ οἰκέτης ἀπρόσωπος ὢν, ἐκ τοῦ οἰκείου χαρακτηρίζεται δεσπότου. ταῦτα προθεωρήσας, ὅρα λοιπὸν τὸ προκείμενον. Τίτιος εἶχεν οἰκέτην λεγόμενον Στῖχον, συνεστησάμην ἐγὼ τὸν εἰρημένον Στῖχον κληρονόμον, οὕτως εἰπὼν, ἜΣΤΩ ΜΟΙ ΚΛΗΡΟΝΌΜΟΣ ΣΤΙ͂ΧΟΣ ΜΕΤᾺ ΤΕΛΕΥΤῊΝ ΤΙΤΊΟΥ ΤΟΥ͂ ὈΙΚΕΊΟΥ ΔΕΣΠΌΤΟΥ. ζητοῦμεν μή τι ἡ διαθήκη ἀνυπόστατός ἐστιν, ἐπειδὴ Τίτιος τελευτήσας οὐκ ἔστιν ἐν φύσει, ἵνα πρὸς αὐτὸν ὁ οἰκέτης χαρακτηρισθῇ. ἀλλ' ἤρεσεν ὥστε τὴν ἔνστασιν τῆς διαθήκης ἔρρωσθαι. εἰ καὶ τὰ μάλιστα γὰρ οὐ περίεστιν ὁ Τίτιος ὁ γεγονὼς αὐτοῦ δεσπότης, ἀλλ' οὖν ὑπὸ τὸ ἀσώματον τε-

¶ Seruus alienus.

λοῦ

λεῖ τῆς κληρονομίας, καὶ ἐρεδιτάριός ἐστιν ὁ οἰκέτης. μετὰ γὰρ τῶν ἐρεδιταρίων οἰκετῶν, ἔχομεν τεσταμέντου φακτίωνα. ἡ γὰρ κληρονομία, μήπω ἀδιτευθεῖσα, πρόσωπον ἐπέχειν δοκεῖ τοῦ τελευτήσαντος, οὐ τοῦ ἐσομένου κληρονόμου. ὅτι γὰρ τοῦτο ἀληθές ἐστι, δῆλον ἐντεῦθεν. ἐάν τις τελευτήσῃ παῖδα κυοφορούμενον καταλιπὼν, τὸν τοῦ τελευτήσαντος οἰκέτην καλῶς δύναμαι γράφειν κληρονόμον, καὶ μήπω τεχθέντος τοῦ ποστούμου. καί τοι τὸν ἀλλότριον ποστοῦμον. ἀλλότριος δέ ἐστιν ὃς τικτόμενος οὐκ ἔστι μοι σοῦος· οὐ συγχωροῦσί μοι γράφειν οἱ παλαιοὶ κληρονόμον. καί τοι, εἰ τὸ ἀπρόσωπον τῆς κληρονομίας, τὸ πρόσωπον ἐπεῖχε τοῦ ἐσομένου κληρονόμου, οὐκ ὀρθῶς ὁ ἐρεδιτάριος οἰκέτης ἐπὶ τοῦ παρόντος ἐγράφετο κληρονόμος θέματος.

6. Seruus autem plurium.

¶ Πολλοί τινες ἐδέσποζον οἰκέτου ἑνὸς, δύναμαι τοῦτον γράφειν κληρονόμον, καὶ ἐν ᾧ πρὸς πάντας ἔχω

te, & hereditarius est seruus. Porrò cum seruis hereditariis testamenti factionem habemus. Quoniam hereditas nondũ adita, personæ vicem sustinere videtur defuncti, non heredis futuri. Quod autem id verũ sit, vel hinc apparet, Si quis moriens postumum relinquat: nam etiam nondum nato postumo, defuncti seruũ vtiliter heredem instituere possum, quãuis alienum postumum (est autem alienus postumus, qui si nascatur, suus mihi non est futurus) veteres mihi heredem instituere non permittunt. Atqui si hereditas personã sustineret futuri heredis, non vtiliter in hac specie, hereditarium seruum, heredem instituissem.

¶ Complures, vnius erant serui domini. Seruum hunc ego heredem instituere possum. Et dummodò cum singulis eorum testamenti fa-

tionem habuerim, vnicuique dominorum pro parte dominica, hereditas mea adquiritur. ¶Possum autem & vnum & plures, & vsque ad infinitum heredes instituere. ¶Hereditas p'erum que in duodecim diuiditur vncias. Et vniuersa hæc hereditas as appellatur, habétque partes in sese, quæ ab vncia per propria nomina vsque ad assem appellantur. Sunt autem hæ: Vncia, duodecima pars hereditatis. Sextans, id est duæ vnciæ, sexta pars. Quadrans, quarta pars, hoc est, vnciæ tres. Triens, tertia: quæ vncias quattuor efficit. Quincūx, tertia pars & duodecima, hoc est, quinque vnciæ. Semis, dimidia: hoc est, vnciæ sex. Septunx, dimidia cum duodecima: hoc est, septem vnciæ. Bes, duæ partes è tribus (Græcè δίμοιρον.) siue octo

χω τεσσαράκοντα φακτίωνα, pro parte dominica, τουτέστι πρὸς τὰ μέρη τῆς δεσποτείας ἑνὶ ἑκάστῳ ἡ ἐμὴ προσπορισθήσεται κληρονομία. ¶Δύναμαι καὶ ἕνα, καὶ πολλοὺς, καὶ εἰς ἀπέραντον γράφειν κληρονόμους. ¶Ἡ κληρονομία ὡς ἐπὶ τὸ πλεῖστον, εἰς δυώδεκα διαιρεῖται οὐγκίας, καὶ αὕτη μὲν ἡ πᾶσα κληρονομία, ἄσσις προσαγορεύεται. ἔχει δὲ ἐν ἑαυτῇ ταῦτα τὰ μέρη, ἰδιαζούσας ἔχοντα προσηγορίας, ἀπὸ οὐγκίας μέχρι αὐτῆς τῆς λίτρας. ἔστι δὲ ταῦτα. Vncia τὸ δωδέκατον μέρος τῆς κληρονομίας. Sextans, τουτέστι τὸ δίουγκιον, ὅπερ ἐστὶν ἕκτον μέρος. Quadrans, τὸ τέταρτον, ὅπερ ἐστὶ τρεῖς οὐγκίαι. Triens, τὸ τρίτον, ὅπερ ποιεῖ τέσσαρας οὐγκίας. Quincunx, τρίτον δωδέκατον, ὃ ποιεῖ πέντε οὐγκίας. Semis, τὸ ἥμισυ, ὃ ποιεῖ ἓξ οὐγκίας. Septunx, τὸ ἥμισυ καὶ δωδέκατον, ὃ ποιεῖ ἑπτὰ οὐγκίας. Bes, τὸ δίμοιρον, ὃ ποιεῖ ὀκτὼ οὐγκίας.

θ. Et vnū.

θ. Hereditas.

Dodrans,

Dodrans, τὸ δίμοιρον καὶ δωδέκατον, ὃ ποιεῖ ἐννέα οὐγκίας. Dextans, δίμοιρον ἕκτον, ὃ ποιεῖ δέκα οὐγκίας. Deunx, τὸ δίμοιρον τέταρτον, ὃ ποιεῖ ἕνδεκα οὐγκίας. ἀὲς δυώδεκα οὐγκίαι. οὐ πάντως δὲ δυώδεκα οὐγκίας τὴν περιουσίαν εἶναι δεῖ, εἰς ἣν διατίθεται ὁ τεστάτωρ. τοσαῦται γὰρ οὐγκίαι τὴν λίτραν ἀποτελοῦσιν, ὅσας ἂν ὁ διαθέμενος βουληθῇ. εἰ δὲ ἕνα τις ἐνεστήσατο κληρονόμον, λόγου χάριν, εἰς ἓξ οὐγκίας, ἡ πᾶσα λίτρα ἐν ταῖς ἓξ οὐγκίαις ἐστίν. οὐδὲ γὰρ λέγομεν, ὅτι ὁ μὲν σκρίπτος τὰς ἓξ οὐγκίας λαμβάνει, οἱ δὲ ἐξ ἀδιαθέτου τὰς ἕξ. παγανὸς γὰρ κατὰ ταυτὸν ἐκ διαθήκης, καὶ ἐξ ἀδιαθέτου κληρονομεῖσθαι οὐ δύναται, στρατιώτης δὲ καὶ πάνυ. νόμος γὰρ αὐτοῖς ἐστὶν ἐν ταῖς διαθήκαις ἡ βούλησις, ὡς ἔχει. ἀμέλει, στρατιώτης διατιθέμενος, ἐὰν εἴπῃ, ΗΣΤΩ ΜΟΥ Ο ΔΕΙ͂ΝΑ ΚΛΗ-

vnciæ. Dodrans, due partes e tribus cum duodecima. Id valet vncias nouem. Dextans, duæ partes e tribus cum sexta, id est, vnciæ decem. Deunx, duæ partes e tribus, cum quarta: hoc est, vnciæ vndecim. As, vnciæ duodecim. Porrò non vtique semper patrimonium de quo testator testamentum condit, in duodecim vncias diuidi oportet: tot enim vnciæ assem absoluunt, quot testator voluerit. Si quis igiť, verbi gratia, vnum heredem scripserit in semissem, id est, in vncias sex, totus as in sex vnciis erit. Neque enim dicimus fore, vt heres scriptus semissem accipiat, & qui ab intestato veniet, alterum semissem. Quoniam paganus pro parte testatus, & pro parte intestatus decedere nõ potest: quamuis omnino miles possit, cuius voluntas, qualiscumque sit, in testamentis pro lege habetur. Itaq; si miles testamentum ordinans ita dixerit: ILLE MIHI EX QVADRANTE HERES

HERES SIT, dodrantem hi qui ab intestato veniũt, accepturi sunt. Porrò autem quemadmodum as à testatore in pauciores vncias cõtrahi potest, ita & in plures extẽdi potest. Exempli gratia, dicere potest: ILLE MIHI EX BESSE HERES ESTO, ET ILLE EX SEPTVNCE. ¶ Si plures instituã heredes, & ex æquis partibus esse eos heredes velim: sufficit eos sine partib⁹ institui. Ita, ILLE ET ILLE ET ILLE MIHI HEREDES SVNTO. quãuis enim ego vncias nõ nominẽ, tamen ex æquo succedent. Sin verò ex inæqualibus eos partibus esse velim heredes, tunc ex certa parte instituere, necesse est, & dicere: ILLE MIHI EX TRIENTE, ET ILLE EX SEMISSE HEREDES SVNTO.

ΡΟΝΌΜΟΣ ΕἸΣ ΤΡΕΙ͂Σ ΟΥ̓ΓΚΊΑΣ, τὰς ἐννέα οἱ ἐξ ἀδιαθέτου λαμβάνουσιν. δύναται δέ τις διατιθέμενος, ὥσπερ εἰς ἐλάττονας οὐγκίας συστέλλειν τὴν λίτραν, οὕτω καὶ εἰς πλείονας ἐκτείνειν αὐτήν. οἷον δύναται λέγειν Ὁ ΔΕΙ͂ΝΑ ἜΣΤΩ ΜΟΥ ΚΛΗΡΟΝΌΜΟΣ ΕἸΣ ὈΚΤῺ ΟΥ̓ΓΚΊΑΣ, ΚΑῚ Ὁ ΔΕΙ͂ΝΑ ΕἸΣ ἙΠΤΆ. ¶ Ἐὰν πολλοὺς γράψω κληρονόμους. θέλω δὲ αὐτοὺς ἐξ ἴσου τὴν ἐμὴν διαδέξασθαι περιουσίαν, ἀρκεῖ τὸ sine parte γράψαι αὐτοὺς, λέγοντα, Ὁ ΔΕΙ͂ΝΑ, ΚΑῚ Ὁ ΔΕΙ͂ΝΑ, ΚΑῚ Ὁ ΔΕΙ͂ΝΑ ἜΣΤΩΣΆΝ ΜΟΥ ΚΛΗΡΟΝΌΜΟΙ. οὐγκίας γάρ μου μὴ ὀνομάζοντος, τὸ ἴσον αὐτοῖς περιγενήσεται. εἰ δὲ θέλω ἐξ ἀνίσων μερῶν αὐτοὺς κληρονομῆσαι, τότε ex certa parte αὐτοὺς γράφειν χρή. καὶ λέγειν, Ὁ ΔΕΙ͂ΝΑ ΕἸΣ ΤΈΣΣΑΡΑΣ, Ὁ ΔΕΙ͂ΝΑ ΕἸΣ ἝΞ, ἜΣΤΩΣΑΝ ΚΛΗ-

ΡΟΝΌΜ

6. Si plures.

ΡΟΝΟΜΟΙ. τί δὲ ὅτι πολλοὺς γράψας κληρονόμους, ἐπὶ τινῶν μὲν ἐξεφώνησα τὸν ὀγκιασμὸν, ἐνεστησάμην δὲ ἕνα sine parte. ἄρα πόσον λήψεται ὁ sine parte; καὶ λέγομεν, ὅτι εἰ μὲν ὑπολιμπάνεταί τι τῇ λίτρᾳ, τυχὸν γὰρ Πρῖμον ἔγραψα κληρονόμον εἰς πέντε οὐγκίας, Σεκοῦνδον εἰς τρεῖς, Τέρτιον εἰς δύο. εἶπον δὲ, ΚΟΥΑΡΤΟΣ ΕΣΤΩ ΜΟΥ ΚΛΗΡΟΝΟΜΟΣ, ἢ οὕτως, ΚΟΥΑΡΤΟΣ ΚΑΙ ΚΟΥΙΝΤΟΣ, ΚΑΙ ΣΕΞΤΟΣ, ΕΣΤΩΣΑΝ ΜΟΙ ΚΛΗΡΟΝΟΜΟΙ. τότε λέγομεν, ὅτι εἰς τὸ διούγκιον ὁ εἷς, ἢ καὶ οἱ τρεῖς, οἱ sine parte γραφέντες παραχθήσονται. εἰ δὲ ἔφθασα τὴν λίτραν δαπανῆσαι εἰς τοὺς τρεῖς, τὸν μὲν εἰς ἕξ, τὸν δὲ εἰς τέσσαρας, τὸν δὲ εἰς δύο γράψας κληρονόμον, σίνε πάρτε δὲ ἐπήγαγον, ἕνα, ἢ καὶ πλείους, τότε ἐπειδὴ οὐκ ἔστι τι ὑπολιμπανόμενον τῆς λίτρας, εἰς

ὁ δύναν-

Quid ergo? si pluribus institutis heredibus, partes in quorundam personis expressi, & vnum aliquem sine parte institui, quantum accepturus est, qui sine parte institutus est? Et dicimus, siquidem aliqua desit assi pars, (fortè enim Primum institui ex quincunce, Secundũ ex quadrante, & Tertium ex sextante: & addidi, QVARTVS MIHI HERES ESTO: vel, QVARTVS ET QVINTVS ET SEXTVS HEREDES MIHI SVNTO:) tunc dicimus, vnum illũ, aut hosce tres, qui sine parte instituti sunt, ex duobus vnciis siue ex sextante heredes futuros. Quòd si in tres priores totum assem cõsumpserim, vno ex semisse, altero ex triente, tertióque ex sextante heredibus institutis: deinde vnum aliquẽ aut plures sine parte subiũxerim: tunc, quoniã nihil assi deest, in.

quod venire possint, qui sine parte instituti sunt: semis illi aut illis, qui sine parte instituti sunt, dabitur quasi videatur testator, ex viginti quattuor vnciis heredes instituisse. Qui igitur sine parte heres institutus est, aut partẽ quæ ad assem deest, aut semissem habebit. Neque vero interest, primus, an post omnes, an in medio institutus sit is, qui sine parte est. vbique enim eadem ratio & idem effectus est. ¶ Complures heredes institui, ex certis partibus: nec tamen assem in eos consumpsi, sed pars eius adhuc aliqua reliqua est. Pars igitur quæ vacat, ad quem spectabit? Et dicimus, quòd pars quæ reliqua est, tacitè scriptis heredib⁹ adcrescit. Verbi gratia. Tres externis vnciis heredes scripsi, vt iam quadrans vnus sit reliquus. Quadrans hic tacitè singulis heredibus pro parte hereditaria accrescet, & in effectu vnusquisque

ὃ δύναται ἐλθεῖν οἱ σίνε πάρτε γραφέντες, τὸ ἥμισυ δοθήσεται τῷ σίνε πάρτε, ἢ τοῖς sine parte. ὡς δοκεῖν τὸν τεστάτωρα, εἰς εἴκοσι καὶ τέσσαρας οὐγκίας διατίθεσθαι. ὥστε οὖν ὁ σίνε πάρτε, ἢ τὸ ἐλλεῖπον τῇ λίτρᾳ, ἢ τὸ ἥμισυ τῆς λίτρας λαμβάνει. καὶ οὐ διαφέρει μὲν πότερον πρῶτος ἐγέγραπτο ὁ σίνε πάρτε, ἢ μετὰ πάντας, ἢ ἐν μέσῳ πάντων. πανταχοῦ τὸ αὐτὸ ἔσται ἀποτέλεσμα.

¶ Πολλοὺς ἐνεστησάμην κληρονόμους ἐξ κέρτα πάρτε. οὐκ ἐδαπάνησα δὲ εἰς αὐτοὺς τὴν λίτραν, ἀλλ᾽ ἔτι ὑπολιμπάνεταί τι. ἄρα τὸ ὑπολειφθέν, εἰς τίνας παραγενήσεται; καὶ λέγομεν ὅτι σιωπηρῶς τοῖς γραφεῖσι προσαύξεται τὸ ὑπόλοιπον. οἷον τρεῖς ἐνεστησάμην κληρονόμους, ἀπὸ τριῶν οὐγκιῶν· ὡς ὑπολιμπάνεσθαι ἄλλο τριούγκιον. τὸ τριούγκιον τοῦτο σιωπηρῶς ἑκάστῳ τῶν σκρίπτων περὶ πάρτε ἐρεδιταρίᾳ προστεθήσεται, καὶ δύ- θ. videamus.

ω εἰς

εὑρίσκονται λοιπὸν ἐξ ἀποτελέσματος εἷς ἕκαστος, ἀνὰ τέσσαρας οὐγκίας γεγραμμένος, ὡσανεὶ ἑνὸς ἑκάστου εἰς τὸ τρίτον τῆς λίτρας ἐνσταθέντος. εἰ δὲ ἐκ τοῦ ἐναντίου πολλοὺς ἐνστήσομαι κληρονόμους ἐξ κέρτα πάρτε, καὶ ἐν τῇ ἐξ κέρτα πάρτε γραφῇ, ὑπερέβην τὰς δυόδεκα οὐγκίας, σιωπηρῶς ἑνὸς ἑκάστου τὸ περιττὸν ἀπομειοῦται. οἷον τέσσαρας ἐνεστησάμην κληρονόμους ἀπὸ τεσσάρων οὐγκιῶν. ὁ νόμος ἐξ ἑνὸς ἑκάστου σιωπηρῶς ἀφαιρεῖται ἀνὰ οὐγκίαν, καὶ ἐξ ἀποτελέσματος εὑρίσκονται ἀνὰ τρεῖς ἔχοντες οὐγκίας. ¶ Ἐνεστησάμην πολλοὺς κληρονόμους, ἐξ κέρτα πάρτε, καὶ ὑπερέβην τὰς δυόδεκα οὐγκίας. προσέθηκα δὲ καὶ ἄλλον σίνε πάρτε. ἆρα πόσον λήψεται ὁ σίνε πάρτε; καὶ φαμὲν, ὅτι ὅσον εἰς ἀναπλήρωσιν τῶν δύο λιτρῶν ὑπολιμπάνεται. οἷον εἶπον οὕτως· ΠΡΙΜΟΣ ἜΣΤΩ ΜΟΥ ΚΛΗΡΟΝΌΜΟΣ ΕἸΣ ΠΈΝΤΕ ΟΥ̓ΓΚΙΑΣ, ΣΕΚΟΥ͂ΝΔΟΣ ΕἸΣ

¶ Et si plures. 323.

eorum ex quattuor vnciis heres esse institutus inuenietur, perinde atque si singuli in singulos trientes instituti fuissent. Et ex diuerso, si plures ex certis partib. heredes scribam, & ex certa parte scribendo, duodecim vncias excedam: tacite cuique id decrescet, quod superest. Verbi gratia. Quatuor ex quaternis vnciis heredes scripsi. Lex tacite singulis singulas detrahit vncias, & in effectu singuli singulos habere quadrantes deprehenduntur. ¶ Item plures ex certis partib. heredes institui, & duodecim vncias egressus sum: deinde & alium sine parte adiunxi, quantum habebit is, qui sine parte est? Et diximus: quantum complendo alteri assi defuerit. Verbi gratia Sic dixi: PRIMVS MIHI EX QVINCVNCE HERES ESTO, SECVNDVS EX SEMISSE, TER-

ἝΞ

TIVS EX BESSE. PORRO ET QVARTVS MIHI HERES ESTO: Dicimus futurum, vt quartus reliquas quinque vncias habeat. Nouemdecim enim vnciæ his qui certas partes habent, relictæ sunt. Idémque est, si vtroque asse, hoc est dupondio, in tres illos consumpto alium postea sine parte adiungam. Nam & hic assem vnum habiturus est, vt ita triginta sex fiant vnciæ. Enim verò has viginti quatuor, aut triginta sex vncias, ad vnum assem reuocare reducere que possum. ¶ Heres & purè & sub cōditione institui potest. Purè ILLE MIHI HERES ESTO. Sub cōditione, ILLE MIHI HERES ESTO, SI NAVIS EX ASIA VENERIT. Ex certo autem tēpore, vel ad certum tempus institui nemo vtiliter potest. Verbi gratia, ILLE MIHI POST

ἕξ, ΤΕΡΤΙΟΣ ΕΙΣ ΟΚΤΩ. ΕΣΤΩ ΔΕ ΚΑΙ ΚΟΥΑΡΤΟΣ ΚΛΗΡΟΝΟΜΟΣ. λέγομεν γὰρ τὸν κουάρτον τὰς ὑπολοίπους πέντε οὐγκίας λαμβάνειν. ἐννεακαίδεκα γὰρ οὐγκίαι τοῖς ἐξ κέρτα πάρτε γραφεῖσι κατελείφθησαν. τὸ αὐτό ἐστιν, εἰ καὶ εἰς τοὺς τρεῖς ἐδαπάνησα τὰς δύο λίτρας, καὶ μετὰ ταῦτα ἐπήγαγόν τινα σίνε πάρτε, μίαν λήψεται λίτραν. ὡς εἶναι τὰς πάσας λς' οὐγκίας. καὶ τὰς κδ' γοῦν ἢ λς' οὐγκίας δυνάμεθα εἰς μίαν ἀνελκύσαι λίτραν. ¶ Κληρονόμον καὶ πούρως, καὶ ὑπὸ αἵρεσιν γράφειν δυνάμεθα. πούρως μὲν, ΕΣΤΩ ΜΟΙ Ο ΔΕΙΝΑ ΚΛΗΡΟΝΟΜΟΣ. ὑπὸ αἵρεσιν δὲ, ΕΣΤΩ ΜΟΙ Ο ΔΕΙΝΑ ΚΛΗΡΟΝΟΜΟΣ, SI NAVIS EX ASIA VENERIT. εἰ δὲ ad certum tēpus vel ex certo tempore, οὐκ ὀρθῶς γράφεταί τις κληρονόμος, οἷον, §. Heres.

ΕΣΤΩ ΜΟΙ Ὁ ΔΕΙ͂ΝΑ ΚΛΗΡΟΝΟΜΟΣ, ΜΕΤᾺ ΠΕΝΤΑΕΤΊΑΝ ΤΗ͂Σ ἘΜΗ͂Σ ΤΕΛΕΥΤΗ͂Σ. Ἢ ἈΠῸ ΚΑΛΑΝΔΩ͂Ν ἸΑΝΟΥΑΡΊΩΝ. ἢ ἐὰν εἴπῃ οὕτως, ἜΣΤΩ ΜΟΥ Ὁ ΔΕΙ͂ΝΑ ΚΛΗΡΟΝΟΜΟΣ, ἝΩΣ ΚΑΛΑΝΔΩ͂Ν ἸΑΝΟΥΑΡΊΩΝ. περιαιρεθέντος γὰρ τοῦ χρόνου, τοῦ ἀπὸ καλανδῶν ἢ μέχρι καλανδῶν, οὕτως ἔσται ἡ γραφὴ, ὡς πρώτως γεγενημένη. ¶ Ἐνεστησάμην τινὰ ὑπὸ ἀδύνατον αἵρεσιν κληρονόμον εἰπὼν, ἜΣΤΩ ΜΟΙ Ὁ ΔΕΙ͂ΝΑ ΚΛΗΡΟΝΟΜΟΣ, ἘᾺΝ ΠΊῌ ΤῊΝ ΘΆΛΑΣΣΑΝ. ἤγουν καὶ ληγάτον ὑπὸ τοιαύτην αἵρεσιν κατέλιπον τινὶ, ἤγουν φιδεϊκόμμισσον, ἢ ἐλευθερίαν οἰκέτῃ, περιαιρεῖται τῆς ἀδυνάτου αἱρέσεως, αὐτὴ μηδὲ γεγραμμένης παραλαμβάνεται, καὶ πρὸς ἀποτελεῖται τὰ καταλειφθέντα τῷ κληρονόμῳ.

ε. Impossibilis.

θ. Si plures

¶ Κληρονόμον ἐνεστησάμην τινὰ ὑπὸ πολλὰς αἱρέ-

QVINQVENNIVM QVAM MORIAR, HERES ESTO, vel A CALENDIS IANVARIIS. Aut si quis ita dixerit: ILLE MIHI HERES ESTO VSQVE AD CALENDAS IANVARIAS. Circumducto enim & pro superuacuo habito tēpore, quod vsque ad Calendas vel à Calendis est, perinde erit institutio, quasi purè fuisset facta. ¶ Quendā sub condicione impossibili heredē institui, dicens: ILLE MIHI HERES ESTO, SI MARE EBIBERIT: aut etiam legatum alicui, fideive commissum vel seruo libertatem reliqui Condicio hæc impossibilis aufertur, ac pro non scripta habetur, & purum efficitur, quod heredi relictū est. ¶ Heredem quendā sub pluribus condicio-

nibus institui. Quæritur, an expectandũ sit, donec omnes impletæ fuerint? Et dicimus: quòd si coniunctim adscriptæ sunt, (veluti si dixerim: ILLE MIHI HERES ESTO, SI CAPITOLIVM ASCENDERIT, ET SI NAVIS EX ASIA VENERIT, ET ILLE CONSVL FACTVS FVERIT:) omnium expectandus est eventus. Sin verò separatim & disiunctim eas adscripsi, dicens: ILLE MIHI HERES ESTO, SI CAPITOLIVM ASCENDERIT, AVT SI TITIO DEDERIT DECEM SOLIDOS: cuicumque volet parendo, heres fiet.
¶ Vtiliter & eos qs potest instituere heredes, quos nũquam viderit. Verbi gratia Fratrem aliquis habuit peregrè degentem, & is ibi liberos creauit. Filios eos quos nũquam vidit, heredes scribere po-

αἱρέσεις, ζητοῦμεν εἰ δεῖ περιμένειν ἕως οὗ πληρωθῶσιν αἱ πᾶσαι. καὶ λέγομεν, εἰ μὲν coniunctim ἐγράφησαν, εἶπον γὰρ ΕΣΤΩ Ο ΔΕΙΝΑ ΚΛΗΡΟΝΟΜΟΣ ΕΑΝ ΑΝΕΛΘῌ ΕΙΣ ΤΟ ΚΑΠΙΤΩΛΙΟΝ, ΚΑΙ ΕΙ Η ΝΑΥΣ ΕΛΘῌ ΑΠΟ ΑΣΙΑΣ, ΚΑΙ Ο ΔΕΙΝΑ ΓΕΝΗΤΑΙ ΥΠΑΤΟΣ, δεῖ πασῶν ἀναμένειν τὴν ἔκβασιν. εἰ δὲ separatim, καὶ διαζευκτικῶς ταύτας ἔγραψα εἰπών, ΕΣΤΩ Ο ΔΕΙΝΑ ΚΛΗΡΟΝΟΜΟΣ ΕΑΝ ΑΝΕΛΘῌ ΕΙΣ ΤΟ ΚΑΠΙΤΩΛΙΟΝ, Η ΕΑΝ Δῼ ΤΙΤΖΙῼ ι ΝΟΜΙΣΜΑΤΑ, οἵαν βούλεται ἐξ αὐτῶν ἀποπληρῶν, γίνεται κληρονόμος. ¶ Ἰσχυρῶς τις γράφει κληρονόμους καὶ ἐκείνους, οὓς αὐτὸς οὐδέποτε ἐθεάσατο. οἷον εἶχέ τις ἀδελφὸν ἐπὶ ξένης διάγοντα, ἐπαιδοποίησεν αὐτῷ, δύναται τοὺς παῖδας τοῦ ἀδελφοῦ, (ɵ. Hi quos.)

οὓς οὐκ ἐθεάσατο πώποτε, γράφειν ὀρθῶς κληρονόμους· ἡ γὰρ περὶ τὸν κληρονόμον ἄγνοια τοῦ διατιθεμένου, τὴν ἔνστασιν οὐκ ἀκυροῖ.

test. Ignorãtia enim testantis circa heredem, institutionem inutilem non facit.

---

## DE VVLGARI SVBSTITVTIONE.

### Titul. XV.

Ἀκώλυτόν ἐστι τῷ διατιθεμένῳ, καὶ ἔνστασιν ποιήσασθαι, καὶ ὑποκατάστασιν, καὶ ἁπλῶς πολλοὺς ποιήσασθαι βαθμοὺς κληρονόμων. βαθμὸς δὲ λέγεται κληρονόμων, ὁ ἔχων τὰς δώδεκα οὐγκίας. ἔξεστι γὰρ ἡμῖν οὕτω διατίθεσθαι. ἜΣΤΩ ΠΡῙΜΟΣ ΚΛΗΡΟΝΌΜΟΣ. ἘᾺΝ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ ΠΡῖΜΟΣ ΚΛΗΡΟΝΌΜΟΣ, ἜΣΤΩ ΣΕΚΟῦΝΔΟΣ, ΕἸ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ ΣΕΚΟῦΝΔΟΣ, ἜΣΤΩ ΤΈΡΤΙΟΣ. ΕἸ ΔῈ ΜῊ ΤΈΡΤΙΟΣ ἜΣΤΩ ΚΟΥΆΡΤΟΣ. καὶ εἰς ἀπέραντον ὑποκαθιστᾶν δυνάμεθα, καὶ ἐν τελευταίῳ τόπῳ, ἤτοι βαθμῷ, ὡς εἰς ἐσχάτην βοήθειαν οἰκέτην ἡμέτερον ἐνί-

Nihil prohibet, quo minus testator, & institutionem faciat, & substitutionẽ, aut denique (vt rem verbo absoluã) plures heredum gradus. Gradus autem heredũ dicitur, qui totũ assem, hoc est, duodecim habet vncias. Licet enim nobis ita testari: PRIMVS HERES ESTO. SI PRIMVS HERES NON ERIT, SECVNDVS HERES ESTO. SI NEC SECVNDVS HERES ERIT, TERTIVS HERES ESTO. QVOD SI TERTIVS NON ERIT, QVARTVS HERES ESTO: & ita deinceps in infinitũ substituere possumus. Et vltimo loco siue gradu, tamquam in extremum

subsidium, seruum nostrũ instituere possumus. Vt si contingat omnes recusare, seruus necessariò sit hæres. ¶ Possumus autem, & vni vnum, & vni plures, & pluribus vnum, & pluribus plures substituere. Vni vnum, vt PRIMVS MIHI HERES ESTO. SI PRIMVS NON ERIT, SECVNDVS HERES ESTO. Vni plures, sic: PRIMVS MIHI HERES ESTO SI PRIMVS NON ERIT, SECVNDVS ET TERTIVS MIHI HEREDES SVNTO. Pluribus vnũ, ita: PRIMVS ET SECVNDVS MIHI HEREDES SVNTO. SI HI NON ERVNT, TERTIVS MIHI HERES ESTO. Plures pluribus, vt: PRIMVS ET SECVNDVS MIHI HEREDES SVNTO. SI HI NON

στῶσι δυνάμεθα. ἵνα εἰ συμβῇ πάντας παραιτήσασθαι, ὁ οἰκέτης ἐξ ἀνάγκης κληρονομήσῃ. ¶ Δυνάμεθα δὲ ἑνὶ ἕνα ὑποκαταστῆσαι, καὶ ἑνὶ πολλοὺς, καὶ πολλοῖς ἕνα, καὶ πολλοῖς πολλούς. ἑνὶ ἕνα, οἷον, ἜΣΤΩ ΜΟΙ ΠΡῙΜΟΣ ΚΛΗΡΟΝΌΜΟΣ. ἘΙ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ ΠΡῖΜΟΣ ἜΣΤΩ ΣΕΚΟῦΝΔΟΣ. ἑνὶ πολλοὺς οὕτως. ἜΣΤΩ ΜΟΙ ΠΡῖΜΟΣ ΚΛΗΡΟΝΌΜΟΣ, ἘΙ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ, ΣΕΚΟῦΝΔΟΣ ΚΑῚ ΤΈΡΤΙΟΣ ἜΣΤΩΣΑΝ ΜΟΙ ΚΛΗΡΟΝΌΜΟΙ. πολλοῖς ἕνα ὑποκαταστῶμεν οὕτως, ΠΡῖΜΟΣ ΚΑῚ ΣΕΚΟῦΝΔΟΣ ἜΣΤΩΣΑΝ ΜΟΙ ΚΛΗΡΟΝΌΜΟΙ. ἘΙ ΔῈ ΜῊ ΓΈΝΩΝΤΑΙ, ἜΣΤΩ ΜΟΙ ΤΈΡΤΙΟΣ ΚΛΗΡΟΝΌΜΟΣ. καὶ πολλοὺς πολλοῖς, ΠΡῖΜΟΣ ΚΑῚ ΣΕΚΟῦΝΔΟΣ, ἜΣΤΩΣΑΝ ΜΟΙ ΚΛΗΡΟΝΌΜΟΙ, ἘΙ ΔῈ ΜῊ

b. Et plures

ΓΕΝΩΝΤΑΙ, ΤΕΡΤΙΟΣ ΚΑΙ ΚΟΥΑΡΤΟΣ ἘΣΤΩΣΑΝ ΜΟΙ ΚΛΗΡΟΝΟΜΟΙ. δυνάμεθα καὶ inuicem, τουτέστιν ἀμοιβαδὸν τοὺς κληρονόμους ἀλλήλοις ὑποκαταστῆσαι· οἷον, ἜΣΤΩ ΜΟΥ ΚΛΗΡΟΝΟΜΟΣ ΠΡΙΜΟΣ, ΕἸΣ ἝΞ ΟὐΓΚΙΑΣ, ΚΑῚ ΣΕΚΟΥΝΔΟΣ ΕἸΣ ἝΞ ΟὐΓΚΙΑΣ. ἘᾺΝ ΔῈ ΜῊ ΓΕΝΗΤΑΙ ΠΡΙΜΟΣ, ἜΣΤΩ ΣΕΚΟΥΝΔΟΣ ΚΑῚ ΕἸΣ ΤῸ ΑὐΤΟΥ ΜΕΡΟΣ. ΕἸ ΔῈ ΣΕΚΟΥΝΔΟΣ ΜῊ ἈΔΙΤΕΥΣΕΙ, ἜΣΤΩ ΠΡΙΜΟΣ ὙΠΟΚΑΤΑΣΤΑΤΟΣ ΕἸΣ ΤῸ ΣΕΚΟΥΝΔΟΥ ΜΕΡΟΣ. ¶ Εἰ δὲ καὶ ἐξ ἀνίσων μερῶν γράψας τινὰς κληρονόμους, οἷον, τὸν μὲν εἰς ἕξ, τὸν δὲ εἰς πέντε, inuicem αὐτοὺς ὑποκατέστησεν, οὐδεμίαν μνήμην ἐν τῇ ὑποκαταστάσει οὐγκιασμοῦ ποιησάμενος, τοσαύτας λήψεται ὁ ὑποκατάστατος, ὅσας ἤμελλε λαμβάνειν εἴγε ἠδίτευσεν ἐκεῖνος,

¶. Et si ex disparibus.

ERVNT, TERTIVS ET QVARTVS MIHI HEREDES SVNTO. Possumus adhæc & inuicem, heredes sibi substituere: vt, PRIMVS MIHI EX SEMISSE HERES ESTO, ET SECVNDVS ITEM EX SEMISSE. QVOD SI PRIMVS HERES NON FVERIT, HERES ESTO SECVNDVS ET IN PARTEM EIVS. SIN VERO SECVNDVS NON ADIERIT, PRIMVS IN SECVNDI PARTEM SVBSTITVTVS ESTO. ¶Et si quis heredes ex disparibus partibus scriptos, vt húc ex septunce, illum ex quincũce, inuicẽ substituerit, & nulli in substitutione partium mentionẽ habuerit: eas partes accepturus est substitutus, quas accepturus erat, si adiisset, is in cuius locum substi-

τ

ratus est. Nam si cōtingat, ut is, cui quincūx datus est, adeat, & is cui septunx, omittat: dicendū non est, Primū ex substitutione tātūm quincunce habiturum, sed septuncem. Hunc enim Secundus accepturus erat, si adiisset. ¶ Quidam heredes scripsit, Primum ex semisse, & Secūdum ex semisse. Deinde dixit: SI SECVNDVS HERES NON ERIT, PRIMVS ET EX PARTE SECVNDI HERES ESTO. QVOD SI PRIMVS HERES NON ERIT, TERTIVS HERES ESTO. Seuerus & Antoninus rescripserunt: sine distinctione Tertium heredē esse posse, siue Primus solus, siue Primus & Secūdus hereditatē omittant. ¶ Cùm seruum tuū patremfamilias esse putarem, heredem eum institui. Et adieci: SI IS MIHI

οὐ γέγονεν οὗτος ὑποκατάστατος. ἐὰν γὰρ συμβῇ ἀδιτεῦσαι τὸν εἰς πέντε οὐγκίας γεγραμμένον, παραιτήσασθαι δὲ τὸν εἰς ἑπτά, οὐ δεῖ λέγειν, ὅτι πέντε οὐγκίας λήψεται ὁ πρῖμος ἐκ τῆς ὑποκαταστάσεως, ἀλλ' ἑπτά. τοσαύτας γὰρ σεκοῦνδος ἀδιτεύων, ἤμελλε λαμβάνειν. ¶ Ἐνεστήσατό τις κληρονόμους πρῖμον εἰς ἓξ οὐγκίας, καὶ σεκοῦνδον εἰς ἕξ. εἶπε δὲ οὕτως. ἘΆΝ ΜῊ ΓΈΝΗΤΑΙ ΣΕΚΟΥ͂ΝΔΟΣ ΚΛΗΡΟΝΌΜΟΣ, ἜΣΤΩ ΠΡΙ͂ΜΟΣ ΚΛΗΡΟΝΌΜΟΣ, ΚΑῚ ΕἸΣ ΤῸ ΣΕΚΟΎΝΔΟΥ ΜΈΡΟΣ. ΕἸ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ ΠΡΙ͂ΜΟΣ, ἜΣΤΩ ΤΈΡΤΙΟΣ ΚΛΗΡΟΝΌΜΟΣ. σεβῆρος καὶ ἀντωνῖνος ἀντέγραψαν, τὸν τέρτιον, ἀδιαστίκτως δύνασθαι κληρονομεῖν. εἴτε πρῖμος μόνος, εἴτε πρῖμος καὶ σεκοῦνδος οὐκ ἐκληρονόμησαν. ¶ Τὸν σὸν οἰκέτην, νομίσας αὐτεξούσιον εἶναι, ἐνεστησάμην κληρονόμον. ἐπήγαγον δὲ

θ. Sed si instituto.

θ. Si seruū.

 οὕτως

οὕτως, ΕἸ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ ΜΟΙ ΚΛΗΡΟΝΌΜΟΣ, ἜΣΤΩ ΜΑΊΒΙΟΣ ΚΛΗΡΟΝΌΜΟΣ. μετὰ τὴν ἐμὴν τελευτὴν, ἐκέλευσας σὺ τὸν σὸν οἰκέτην, ὃν ἐνεστησάμην κληρονομίαν ἀδιτεῦσαι. ζητοῦμεν, εἰ χώρα γίνεται τῇ ὑποκαταστάσει; καὶ λέγομεν, ὅτι ὁ ὑποκατάστατος τὸ ἥμισυ λαμβάνει. ἀλλ' ἔχει τις εἰπεῖν ὅτι δεῖ τὸν ὑποκατάστατον τὸ ὅλον λαμβάνειν. ὁ γὰρ τεστάτωρ εἶπεν, ἜΣΤΩ ΜΟΥ Ὁ ΔΕΙ͂ΝΑ ΚΛΗΡΟΝΌΜΟΣ, ΕἸ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ ἜΣΤΩ ΜΑΊΒΙΟΣ, ἔοικεν ἐνταῦθα, ἐπειδὴ ὁ ἰνστιτοῦτος ἤγουν ὁ ἐνστατὸς οἰκέτης ὤν, οὐκ ἠδυνάτο γενέσθαι κληρονόμος, ἔδει τὸν ὑποκατάστατον εἰς ὁλόκληρον καλεῖσθαι. ἀλλὰ δεῖ πρὸς τοῦτο λέγειν, ὅτι τὰ ῥήματα ἐκεῖνα, SI HAERES NON ERIT, τουτέστιν ἐὰν κληρονόμος οὐ γένηται, εἰ μὴ ὑπεξούσιός ἐστιν ὁ ἰνστιτοῦτος, καὶ τοῦτο οἶδεν ὁ τεστάτωρ

HERES NON ERIT, MAEVIVS MIHI HERES ESTO. Mortuo me, seruus tuus quem heredem scripserā te iubente, hereditatem adiit. quaeritur, an locus sit substitutioni? Et dicimus, substitutum in partem dimidii admitti. Sed dicat aliquis, substitutum in totum assem admitti debere. Nam testator dixit: ILLE MIHI HERES ESTO: ET SI IS NON FUERIT, MAEVIVS ESTO. Cùm igitur heres institutus, heres esse non potuerit, vt qui seruus fuerit: necesse erat substitutum in vniuersum ius vocari. Sed huic respondendum est, verba haec, SI HERES NON ERIT: in eo quidem qui alieno iuri subiectus est, cùm testator id non nesciret, sic intelligi debe

re: Si neque ipse institutus heres erit, neque alium heredē fecerit, hoc est, alij adquisierit, vt tunc demū locus fiat substitutioni. In eo verò, quem patremfamilias esse putabat testator, hoc significare verba illa, SI HERES NON ERIT: Si neque sibi, neque ei, cuius iuri postea subiectus esse cœperit, hereditatem adquisierit: vt in totum, locum habeat substitutio. Hic autē, quia iam alieno iuri subiectus esset, qui paterfamilias esse putabatur, ideo substitutus dimidiam partem accipit. Idque & diuus Pius in persona Parthenij serui sui rescripsit. Fortè enim quispiam cùm Parthenium Cæsaris seruum, liberum esse arbitraretur, heredē eū scripsit, & deinde ita substitutū dedit, QVOD SI PARTHENIVS MIHI HERES NON

τωρ οὕτω νοεῖν ὀφείλομεν, τουτέστιν, εἰ μήτε αὐτὸς ὁ ἰνστιτοῦτος γένηται κληρονόμος, μήτε ἕτερον ποιήσει κληρονόμον, τουτέστι μὴ προσπορίσῃ ὥστε χώραν λαμβάνειν τότε τὴν ὑποκατάστασιν ἐπὶ δὲ τοῦ ἰνστιτούτου ἐκείνου, ὃν αὐτεξούσιον ὁ διαθέμενος ἐνόμιζεν εἶναι, τοῦτο σημαίνει, τὸ SI HAERES NON ERIT ῥῆμα, ἐὰν τὴν κληρονομίαν ἑαυτῷ ἤγουν ἐκείνῳ οὗ μετὰ ταῦτα ὑπεξούσιος εἶναι ἄρξεται μὴ προσπορίσῃ, ὥστε χώραν λαμβάνειν τὴν ὑποκατάστασιν εἰς ὁλόκληρον. ἐνταῦθα δὲ ἐπειδὴ ἤδη ὑπεξούσιος ἦν ὁ νομισθεὶς εἶναι αὐτεξούσιος, διὰ τοῦτο τὸ ἥμισυ ὁ ὑποκατάστατος λαμβάνει. καὶ τοῦτο ὁ θειότατος ἀντέγραψε Πῖος, ἐπὶ Παρθενίου τοῦ ἰδίου οἰκέτου. Παρθένιον γὰρ τινὰ τοῦ βασιλέως οἰκέτην νομίσας τις ἐλεύθερον εἶναι ἐνεστήσατο κληρονόμον, ὑποκαταστήσας δὲ εἰπών, ἘᾺΝ ΔῈ ΜῊ ΠΑΡΘΈΝΙΟΣ ΓΈΝΗΤΑΙ ΜΟΙ ΚΛΗΡΟΝΌΜΟΣ,

Νόμος, ἔστω Μαίβιος κληρονόμος. καὶ γέγονε τότε διάταξις, ὥς τε τὸ μὲν ἥμισυ τῆς κληρονομίας, διὰ τοῦ παρθενίου προσπορισθῆναι τῷ βασιλεῖ. εἰς δὲ τὸ ἕτερον ἥμισυ κληθῆναι μαίβιον τὸν ὑποκατάστατον.

ERIT, MAEVIVS HERES ESTO. Et tunc facta est constitutio, vt dimidia pars hereditatis per Parthenium Cæsari adquireretur, & in alteram dimidiam Mæuius substitutus vocaretur.

## DE PVPILLARI SVBSTITVTIONE. Titul. XVI.

Οὐ μόνον ἐξωτικοῖς γραφομένοις κληρονόμοις δυνάμεθα ὑποκαθιστᾷν, ἀλλὰ καὶ τοῖς ἡμετέροις παισὶ, λέγοντες οὕτως, Ὁ ΔΕΙ͂ΝΑ Ὁ ΥἹΌΣ ΜΟΥ ἔΣΤΩ ΚΛΗΡΟΝΌΜΟΣ, ΕἸ ΔΕ ΜΗ ΓΈΝΗΤΑΙ, ἔΣΤΩ Ὁ ΔΕΙ͂ΝΑ ΚΛΗΡΟΝΌΜΟΣ. καὶ λέγεται αὕτη βουλγαρία ὑποκατάστασις. ἁρμόζει γὰρ ἐπὶ παντὸς, τοῦ τε μὲν ἐξωτικοῦ, τοῦ τε δὲ καὶ παιδός. ἀλλ' ἐπὶ μὲν ἐξωτικοῦ, ἐν πολλοῖς θέμασι δύναται χώραν λαβεῖν ἡ ὑποκατάστασις. οἷον ἐὰν ὁ ἰνστιτοῦτος πρὸ

Non tantùm autem extraneis heredibus institutis, substitutum dare possumus, sed etiam liberis nostris, ita dicentes: FILIVS ILLE MEVS HERES MIHI ESTO, ET SI HERES NON ERIT, ILLE HERES ESTO. Et hæc vocatur vulgaris substitutio, quoniam apta idoneáque est, vt cuiuis fiat, tùm extraneo tum filio. Sed in extraneo quidem multis casibus accidit, vt substitutio locum habeat. Quod genus fuerit, Si institutus ante te-

stato-

statorem decedat: si repudiet aut omittat hereditatem: aut si sub conditione eo instituto, conditio non existat. In filio verò, vno dumtaxat casu locus fit substitutioni: *videlicet* si filiusfamilias ante patrem testatem decedat. Nam si ante filium decedat pater, substitutioni nō fit locus. Ille enim statim patri fit heres, neque abstinendo nomen heredis ponit. Nam heredis nomen semel alicui partum, difficulter ad alium transfertur. Est & alia substitutio, quæ in liberis nostris procedit, nec liberis tantùm, sed quos in potestate habemus: nec tantùm quos in potestate habemus, sed suis impuberibus. Vocatur autē ea pupillaris, ab ætate, de qua fieri solet. Substitutionem igitur pupillarem sic facere possumus. ILLE FILIVS MEVS

τελευτήσῃ τοῦ τεστάτωρος, ἢ ῥεπουδιατεύσῃ, ἤγουν παραιτήσηται τὴν κληρονομίαν, ἢ ὑπὸ αἵρεσιν γραφέντος αὐτοῦ ἀτονήσῃ ἡ αἵρεσις. ἐπὶ δὲ τοῦ υἱοῦ, ἐν ἑνὶ μόνῳ θέματι χώρα γίνεται τῇ ὑποκαταστάσει. οἷον ἐὰν τελευτήσῃ ὁ ὑπεξούσιος πρὸ τοῦ οἰκείου πατρὸς τοῦ διαθεμένου. εἰ γὰρ τελευτήσει ὁ πατὴρ πρὸ τοῦ παιδὸς, οὐ χώρα γίνεται τῇ ὑποκαταστάσει. αὐτοφαίνεται γὰρ εὐθέως κληρονόμος τῷ πατρὶ, καὶ οὐδὲ ἀβστινατεύει ἑαυτὸν, ἤγουν ἀποτίθεται τὸ αὐτόματον ὄνομα. τὸ αὐτόματον γὰρ ὄνομα τῆς κληρονομίας ἅπαξ ἐμπαγὲν τινὶ, δυσχερῶς ἐφ' ἕτερον μετέρχεται. ἔστι δὲ καὶ ἑτέρα ὑποκατάστασις, ἥ τις προβαίνει ἐπὶ τῶν ἡμετέρων παίδων, καὶ οὐ μόνον παίδων, ἀλλὰ καὶ ὑπεξουσίων, καὶ οὐ μόνον ὑπεξουσίων ἀλλὰ καὶ σῶν ἀνήβων. λέγεται δὲ πουπιλλαρία ἐκ τῆς ἡλικίας ἐφ' ἧ πρακτεύεται, καὶ δυνάμεθα τὴν πουπιλλαρίαν ὑποκατάστασιν οὕτω ποιεῖν. ΕΣΤΩ ΜΟΥ

Ὁ υἱὸς κληρονόμος, εἰ δὲ γενόμενος κληρονόμος ἄνηβος τελευτήσει, ἔστω αὐτῷ ὁ δεῖνα κληρονόμος. καὶ ἐὰν ὁ παῖς γενόμενος κληρονόμος ἄνηβος τελευτήσῃ, χώραν γίνεται τῇ ὑποκαταστάσει. ἔξεστι δὲ μίξαι τῇ πουπιλλαρίᾳ τὴν βουλγαρίαν καὶ ποιῆσαι τὴν λεγομένην βουλγαροπουπιλλαρίαν οὕτως. ἔστω μου ὁ υἱὸς κληρονόμος. ἐὰν δὲ μὴ γένηται, ὅπερ ἐστὶν ἴδιον βουλγαρίας, ἢ γενόμενος ἄνηβος τελευτήσῃ, ὅπερ ἐστὶν ἴδιον πουπιλλαρίας ὑποκαταστάσεως, ἔστω μου ὁ δεῖνα κληρονόμος. τί λέγεις; προετελεύτησεν ὁ παῖς τοῦ πατρὸς, ἐκ τῶν προτέρων ῥημάτων ὁ ὑποκατάστατος παραγίνεται, καὶ γίνεται κληρονόμος τοῦ πατρὸς, οὐ τοῦ τελευτήσαντος.

HERES MIHI ESTO, ET SI HERES FVERIT, AC IMPVBES MORIATVR, ILLE HERES ESTO. Et si filius heres factus fuerit, & ante pubertatem decesserit, locus fit substitutioni. Porrò pupillari substitutioni vulgarem licet coniungere, & facere substitutionẽ (vt ita dixerim) vulgaripupillarẽ: hunc in modum FILIVS MEVS HERES MIHI ESTO, ET SI HERES NON ERIT, (quod est proprium vulgaris) AVT HERES FACTVS, INTRA PVBERTATEM DECEDET, (quod est proprium pupillaris) ILLE HERES ESTO. Quid ais? Viuo patre mortuus est filius ex prioribus verbis, venit substitutus, & heres fit patris, non defuncti filij. Quòd si viuo fi-

lio, pater decesserit, & filius heres factus, ante pubertatē mortuus est: tunc ex verbis sequentibus substitutio locū habet, & heres fit substitutus, non patris sed defuncti filij. Porrò ius hoc pupillaris substitutionis, nulla propria lege inuentum sed moribus & iure non scripto introductū est. Etenim quum pupilli testamentum sibi facere non possent: iustum visum est, vt patres iis testamenta facerent. ¶ Hac ratione motus & Imperator noster sanctissimus, constitutionem emisit, quam & Codici suo voluit inseri: qua & tali casui cōsultū est. Ait enim: Si quis furiosos, ut dementes filios habeat, aut nepotes aut pronepotes, cuiuscumque sexus sint & cuiuscumque gradus, ius & potestas ei esto, etiam si puberes sint, ad simili-

τήσαντος παιδός. ἀλλ' εἰ ὁ πατὴρ προετελεύτησεν, ἀναφανεὶς δὲ κληρονόμος ὁ παῖς ἄνηβος ἐτελεύτησε, χώραν γίνεται τῇ πουπιλλαρίᾳ ὑποκαταστάσει ἀπὸ τῶν δευτέρων ῥημάτων, καὶ γίνεται κληρονόμος ὁ ὑποκατάστατος, οὐ τοῦ πατρὸς, ἀλλὰ τοῦ τελευτήσαντος παιδός. τοῦτο δὲ τὸ τῆς πουπιλλαρίας ὑποκαταστάσεως, οὐκ ἀπὸ ἰδίου νόμου ἐπινενόηται, ἀλλ' ἐξ ἀγράφου συνηθείας εἰσῆκται. ἐπειδὴ πουπίλλοι ὄντες οὐκ ἠδύναντο διατίθεσθαι, ὑπὲρ αὐτῶν τοὺς πατέρας δίκαιον ἐνομίσθη διατυποῦν τὰς διαθήκας. ¶ Ἐκ τοῦ τοιούτου κινηθεὶς λογισμοῦ ὁ θειότατος ἡμῶν βασιλεὺς, ἐξεφώνησε διάταξιν, ἣν καὶ ἐγγραφῆναι τῷ οἰκείῳ προσέταξε κώδικι. ἐν ᾗ πρόνοιαν, καὶ τοῦ τοιούτου θέματος ἐποιήσατο. φησὶ γὰρ, ἐάν τις μεμηνότας, ἤγουν παραφρονοῦντας ἔχῃ υἱοὺς, ἢ ἐγγόνους, ἢ προεγγόνους, οἵας δήποτε φύσεως, ἢ οἱουδήποτε βαθμοῦ, ἐξέστω αὐτῷ εἰ καὶ εἶεν ἔφηβοι

θ. Qua ratione.

προ-

πρὸς μίμησιν τῆς πουπιλλαρίας ὑποκαταστάσεως, ῥητὰ πρόσωπα ὑποκαθιστᾶν, εἴγε συμβῆ τοὺς υἱοὺς παῖδας ἐν τῷ τῆς παραφροσύνης τελευτῆσαι πάθει. εἰ δὲ ἀνανήψουσιν, ἀκυροῦσθαι τὴν ὑποκατάστασιν ἐκέλευσε. τοῦτο δὲ πρὸς ὁμοίωσιν τῆς πουπιλλαρίας ὑποκαταστάσεως εὗρεν. ἥτις ἅμα τῷ ἔφηβον γενέσθαι

§. Igitur. τὸν πουπίλλον ἀκυροῦται. ¶ Ἐν ᾧ δὲ κατὰ τὸν παραδεδομένον τύπον ἡ πουπιλλαρία ὑποκατάστασις διατυποῦται, δύο τρόπον τινὰ διαθῆκαί εἰσιν. ἡ μὲν ἀπὸ τοῦ πατρὸς εἰς τὸν παῖδα γινομένη. ἡ δὲ ἀπὸ τοῦ παιδὸς, εἰς τὸν ὑποκατάστατον, ὥσπερ εἰ αὐτὸς ὁ υἱὸς ἑαυτῷ κληρονόμον ἐνεστήσατο. ἢ μᾶλλον εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, μία μὲν ἐστι διαθήκη, δύο δὲ κληρονομίαι. ἡ μὲν ἀπὸ τοῦ πατρὸς, εἰς τὸν παῖδα καταφερομένη. ἡ δὲ ἀπὸ τοῦ παιδὸς, εἰς τὸν ὑποκατάστατον ἐρχομένη. πάντα γὰρ ὅσα διεδέξατο ὁ πουπίλλος, ἐκ τοῦ πατρὸς, ἢ καὶ αὐτὸς

tudinem substitutionis pupillaris, certas personas substituere, in casum quo ii dementiæ morbo adhuc manentes, decesserint. Quòd si resipuerint, substitutionem illam infirmari sanciuit. Id quod & ipsum ad exemplum pupillaris substitutionis inuenit, quæ postquàm pupillus adoleuerit, infirmatur. ¶ Pupillari igitur substitutione in præfatum modum ordinata, duo quodammodo testamenta sunt, alterum patris erga filium: alterum filij erga substitutum, quemadmodum si ipse filius herede sibi scripsisset. Quinimò, si verum dicere volumus, propius est, vt vnum sit testamētum, sed hereditates duæ, quarum altera ad filium à patre defertur, altera à filio ad substitutum vadit. Quęcumq; enim pupillus vel ex hereditate paterna habuerit, vel ipse sibi

ἐπι

adqsierit post mortem patris: ad substitutum transeunt. Porrò vnum esse testamentum, vel eo argumento ostenditur, quòd solùm septem testes adhibeãtur: cùm, si duo fuissent testaméta, quatuordecim adhibendi fuerint. ¶ Contingit sæpenumerò, vt qui filio suo pupillariter substitutum dederit: in summũ timoré veniat, ne qui pupillo substitutus est, vbi nouerit post mortem patris, se illi substitutum datũ, pupillo insidias cõparet: (est autẽ impubes ob ætatis breuia tépora, insidiis admodũ obnoxius.) Si quis ergo pater ita formidolosus est & formidinem hãc vitare vult: pupillo herede instituto, vulgarem substitutionẽ palàm sine timore post institutionem pupilli scribat. Sic enim pupillo insidiari sustitutus non poterit, neque viuo patre: quia tũc ignorat, quid in testamen

ἐπεκτήσατο, μετὰ τελευτὴν τοῦ πατρὸς ἐπὶ τὸν ὑποκατάστατον μετέρχεται. ὅτι γὰρ μία διαθήκη ἐστὶ, δῆλον, ἐξ ὧν ἑπτὰ μόνοι μάρτυρες παραλαμβάνονται, καίτοι εἰ δύο ἦσαν διαθῆκαι, ιδ' ἔδει παρεῖναι μάρτυρας. ¶ Συμβαίνει πολλάκις τινὰ πουπιλλαρίως ὑποκαθιστῶντα τῷ παιδὶ, εἰς ἔσχατον ἐμπίπτειν δέος, μήπως ὁ τοῦ πουπίλλου ὑποκαταστάτος, γνοὺς ἅμα τῇ τελευτῇ τοῦ πατρὸς ἑαυτὸν πουπίλλου ὑποκατάστατον, ἐπιβουλεύσῃ τῷ ἀνήβῳ. πρόχειρος γάρ ἐστι διὰ τὸ βραχὺ τῆς ἡλικίας ὁ πούπιλλος εἰς ἐπιβουλὴν, εἰ τοίνυν εὑρεθῇ δειλότατος ὁ πατὴρ, καὶ βούλεται τὸν ἐντεῦθεν ἐκκλῖναι φόβον, γράφων τὸν πούπιλλον κληρονόμον, τὸν μὲν βουλγάριον ὑποκατάστατον εὐθέως μετὰ τὴν ἔνστασιν τοῦ πουπίλλου ἀφόβως γραφέτω. οὕτως γὰρ ἐπιβουλεύειν οὐ δυνήσεται τῷ ἀνήβῳ, οὔτε ζῶντος τοῦ πατρός· ἀγνοεῖται γὰρ τὰ ἐν τῇ

§. Sin autem.

διαθήκῃ γεγραμμένα, οὔτε μετὰ τελευτὴν τοῦ διαθεμένου· ἤδη γὰρ ἀναφανεὶς ὁ παῖς τῷ πατρὶ κληρονόμος, οὐ δίδωσι χώραν τῷ βουλγαρίως ὑποκαταστάτῳ. οὐδεὶς δὲ ἀκερδῶς ἐπιβουλεύσει τῷ πουπίλλῳ. ταῦτα μὲν περὶ τῆς βουλγαρίας. τὴν δὲ πουπιλλαρίαν ὑποκατάστασιν· ἡνίκα τις βούλεται τυπῶσαι, λεγέτω οὕτως· ἜΣΤΩ ΜΟΥ Ὁ ΥἹῸΣ ΚΛΗΡΟΝΌΜΟΣ. ἘᾺΝ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ, ἜΣΤΩ ΜΟΥ Ὁ ΔΕῖΝΑ ΚΛΗΡΟΝΌΜΟΣ. καὶ μεθ' ὃ καταλείψει, ἐπιτρόπους, ληγάτα, φιδεϊκόμμισσα, ἐλευθερίας, ἐν τῷ κατωτέρῳ μέρει τῆς διαθήκης, τὰ ῥήματα γραφέτω οὕτως· ἘᾺΝ ΔῈ Ὁ ΠΑῖΣ ΓΕΝΌΜΕΝΟΣ ΚΛΗΡΟΝΌΜΟΣ, ἌΝΗΒΟΣ ΤΕΛΕΥΤΉΣῌ, ἜΣΤΩ ΑΥ̓ΤΩ͂Ι Ὁ ΔΕῖΝΑ ΚΛΗΡΟΝΌΜΟΣ, καὶ τοῦτο τὸ μέρος ἰδιάζοντι λίνῳ δεσμείτω, καὶ ἰδιάζοντι σφραγιζέτω κηρῷ. ἐν μέν τοι

τις

to scriptum sit, neque à morte testatoris: quia iam pupillus heres patri factus, locum vulgari substitutioni non facit: porrò nemo sine spe lucri, insidias pupillo molitur. Et id quidem de vulgari substitutione. Pupillarẽ autẽ substitutionẽ, cùm quis facere vult, dicat in hunc modum: FILIVS MEVS HERES MIHI ESTO, ET SI HERES NON ERIT, ILLE MIHI HERES ESTO. Et cùm tutores, legata, fideicommissa, & libertates dederit: in inferiore testamenti parte, hęc verba scribat: SIN VERO FILIVS MEVS HERES FACTVS ANTE PVBERTATEM MORTVVS FVERIT, ILLE EI HERES ESTO. Et hanc partem proprio lino colliget, & propria cera consignet. Sed & in prio

re parte testamenti, hæc verba scribat: NOLO INFERIOREM PARTEM TESTAMENTI VIVO FILIO MEO ET ADHVC IMPVBERE APERIRI Substitutione enim pupillari hunc in modum facta, tutus erit pupillus ab insidiis omnibus. Nam neque viuo patre quisquam ei insidiabitur, propterea quòd testamẽtũ omne adhuc clausum sit: neq; à morte patris, propterea quod tota substitutionis pupillaris ratio ignoretur. Quidam cum testamentum conderet, & filium heredem scriberet, statim substitutioné pupillarem subiunxit, valet nihilominus substitutio. Verùm is qui id cõsilij cepit, & ibi filio substitutum dedit, vbi filium heredem instituerit: cum magno filij discrimine testatus esse videtur

τοῖς κατωτέροις τῆς διαθήκης μέρεσι, τὰ ῥήματα γραφέτω ταῦτα· ΟΥ ΒΟΥΛΟΜΑΙ ΤΟ ΚΑΤΩΤΕΡΟΝ ΜΕΡΟΣ ΤΗΣ ΔΙΑΘΗΚΗΣ ΑΝΟΙΓΗΝΑΙ ΖΩΝΤΟΣ ΜΟΥ ΤΟΥ ΠΑΙΔΟΣ, ΚΑΙ ΕΤΙ ΑΝΗΒΟΥ ΟΝΤΟΣ. οὕτω γὰρ γινομένης τῆς πουπιλλαρίας ἕξει τὸ ἀνεπιβούλευτον ὁ παῖς. οὔτε γὰρ περιόντος αὐτοῦ τοῦ πατρὸς ἐπιβουλεύεται, διὰ τὸ πάντων κεκλεῖσθαι τὴν διαθήκην, οὔτε μετὰ τελευτὴν τοῦ πατρός, διὰ τὸ ἀγνοεῖσθαι τὰ ἐν τῇ πουπιλλαρίᾳ ὑποκαταστάσει γεγραμμένα. διατιθέμενός τις, καὶ γράψας τὸν ἄνηβον παῖδα κληρονόμον, εὐθέως ἐπήγαγε τὴν πουπιλλαρίαν ὑποκατάστασιν. ἔῤῥωται μὲν οὐδὲν ἧττον ἡ ὑποκατάστασις. πλὴν ὁ οὕτως βουλευσάμενος, κἀκεῖ γράψας τὴν ὑποκατάστασιν, ἔνθα ἑαυτοῦ ἐνεστήσατο κληρονόμον τὸν παῖδα, ἐπικινδύνως ὅσον πρὸς τὸν παῖδα δοκεῖ διαθέσθαι.

§. Non solum.

¶ Οὐ μόνον δὲ κληρονόμοις γραφεῖσι τοῖς ἀνήβοις παισὶ πουπιλλαρίως οἱ γονεῖς ὑποκαθιστᾶν δύνανται, ἀλλὰ καὶ ἐξερεδάτοις αὐτοῖς γινομένοις. ὥς τε οὖν διὰ τὴν ὑπεξουσιότητα, οὐκ ἐπειδὴ γράφονται κληρονόμοι, δέχονται πουπιλλαρίους ὑποκαταστάτους, διὸ καὶ ἐξερεδάτοις καλῶς ὑποκαθιστῶμεν τοῖς παισίν. ἀλλ' ἔχοι τις εἰπεῖν, καὶ τί λήψεται ὁ τοῦ ἐξερεδάτου πουπίλλου ὑποκατάστατος; ἐροῦμεν· ὅτι ἐάν τι συμβῇ τῷ πουπίλλῳ, ἀπὸ κληρονομίας, ἢ ληγάτων, ἢ δωρεῶν συγγενῶν, ἢ πατρῴων φίλων προσγενέσθαι, τοῦτο ἅπαν πρὸς τὸν ὑποκατάστατον ἐλεύσεται. τὰ εἰρημένα περὶ τῆς ὑποκαταστάσεως τῶν ἀνήβων παίδων γραφέντων κληρονόμων, ἢ ἐξερεδάτων γινομένων, τὰ αὐτὰ καὶ ἐπὶ ποστούμων ἕλκομεν. δυνάμεθα γὰρ τοῖς ποστούμοις βουλγαρίως ὑποκαθιστᾶν, οὕτως·

¶ Non solum autē heredibus institutis liberis impuberibus, pupillariter substituere parentes possunt, sed etiam exheredatis. Quemadmodum igitur propter patriam potestatem nō quia heredes scribuntur, pupillarem habent substitutionem: ita & exheredatis liberis vtiliter substituimus. Verùm dixerit aliquis, quid ergo accepturus est, is qui exheredato pupillo substituitur? Dicemus, si quid contingat pupillum ex hereditatibus, legatis, aut donationibus propinquorum vel amicorum paternorū adquirere, id omne ad substitutum transibit. Ea quæ dicta sunt, de substitutione liberorum impuberum institutorum vel exheredatorum: etiam ad postumos trahuntur. Postumis enim vulgariter substituere possumus, hunc in modum: POSTVMVS MIHI HERES E-

ΕΣΤΩ ΜΟΥ Ο ΠΟΣΤΟΥΜΟΣ ΚΛΗ-
ΡΟΝΟ

STO, ET SI NON FVERIT: ILLE HERES ESTO. Heres autem non est, si aut non nascatur, aut natus ante patrem decedat. Possumus & pupillariter: ita, POSTVMVS MIHI HERES ESTO: ET SI HERES FVERIT, ET IMPVBES DECESSERIT, ILLE HERES ESTO. Sed & illud his quæ dicimus, consequēs est, vt vulgaris pupillaris (quam vocant) substitutio in postumis procedat. ¶Habeto hæc pro quadam præuia inspectione. Pars testamēti, in qua pater sibi heredem instituit, dicitur principalis: ea verò in qua filio impuberi substituit, dicitur pupillaris. Pendet autem pupillaris ex principali, & ex illa vim suam accipit. Hoc ita pro præuiis quibusdam cognito, vide nunc

ΡΟΝΟΜΟΣ, ΕΑΝ ΔΕ ΜΗ ΓΕΝΗΤΑΙ, ΕΣΤΩ ΜΟΥ Ο ΔΕΙΝΑ ΚΛΗΡΟΝΟΜΟΣ. οὐ γίνεται δὲ ἐὰν μὴ τεχθῇ ἢ τεχθεὶς προτελευτήσῃ τοῦ πατρός. δυνατὸν δὲ καὶ πουπιλλαρίως οὕτως· ΕΣΤΩ ΜΟΥ Ο ΠΟΣΤΟΥΜΟΣ ΚΛΗΡΟΝΟΜΟΣ. ΕΑΝ ΔΕ ΓΕΝΟΜΕΝΟΣ ΑΝΗΒΟΣ ΤΕΛΕΥΤΗΣΗ, ΕΣΤΩ ΑΥΤΟΥ Ο ΔΕΙΝΑ ΚΛΗΡΟΝΟΜΟΣ. καὶ ἀκολούθως τοῖς προειρημένοις βουλγαροπουπιλλαρίαν ἐπὶ αὐτῷ ποιοῦμεν ὑποκατάστασιν. ¶ Ἐχέτω

§. Liberis.

ταῦτα ὡς ἐν προθεωρίᾳ, τὸ μέρος ἐκεῖνο τῆς διαθήκης ἔνθα ὁ πατὴρ ἑαυτῷ γράφει κληρονόμους, λέγεται πριγκιπαλία. τὸ δὲ μέρος ἐκεῖνο, ἐν ᾧ τῷ ἀνήβῳ παιδὶ ὑποκαθίστησι, λέγεται πουπιλλαρία. ἤρτηται δὲ ἐκ τῆς πριγκιπαλίας ἡ πουπιλλαρία, καὶ ἐξ ἐκείνης λαμβάνει τὴν ἰσχύν. ἐπειδὴ σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προ-

κείμενον. εἰρήκαμεν ὅτι τοῖς ἡμετέροις ἀνήβοις παισὶ δυνάμεθα ὑποκαθιστᾶν. ἀλλὰ τοῦτε νόει, ἡνίκα ἑαυτοῖς γράφομεν κληρονόμους, τουτέστιν ὅτε ποιήσομεν πριγκιπαλίαν. ταύτης γὰρ μὴ γινομένης, ἡ πουπιλλαρία οὐκ ἔχει ὅθεν ἑαυτῇ περιποιήσῃ τὸ ἰσχυρόν. μέρος γὰρ ὥσπερ καὶ παρακολούθημα τῆς πριγκιπαλίας ἐστὶν ἡ πουπιλλαρία. παρακολούθημα δὲ εὑρεῖν οὐ δυνατὸν μὴ ὑποκειμένου προτοτύπου. ἐπὶ τοσοῦτον δὲ ἐκεῖθεν δέχεται τὴν ἰσχὺν ἡ πουπιλλαρία, ὅτι τῆς πριγκιπαλίας μὴ ἐρρωμένης, οὐδὲ ἡ πουπιλλαρία ἰσχύει. ὑπόθου γὰρ οἰκείᾳ χειρὶ μὴ γεγραφέναι αὐτὸν ἐν τῇ πριγκιπαλίᾳ τὸ τοῦ κληρονόμου ὄνομα, ἐν δὲ τῇ πουπιλλαρίᾳ τοῦτο ποιῆσαι, οὐδὲν ὄφελος τῇ πουπιλλαρίᾳ τῆς πριγκιπαλίας ἀσθενούσης. ¶ Δυνάμεθα πολλοὺς ἀνήβους ἔχοντες παῖδας ἢ καὶ ἑκάστῳ πουπιλλαρίας ὑπο-

*Vel ſingulis.

reliqua. Diximus liberis noſtris impuberibus poſſe nos ſubſtituere. Id autē intellige: cùm nobis ipſis hæredes inſtituimus, hoc eſt, cùm principalem partem cōdimus. Hac enim non condita, pupillaris non habet, vnde ſibi robur adſumat. Nam pupillare teſtamentum veluti pars & ſequela eſt principalis teſtamēti. Atqui conſequens nemo inuenire poteſt, niſi & principale ſubſiſtat. Adeò autem vim ſuam omnem pupillare teſtamentum à principali accipit, vt ſi principale non valeat, nec pupillare valere poſsit. Finge enim exempli gratia: Teſtatorē in principali, nomē heredis ſua manu non ſcripſiſſe, & tamen in pupillari id feciſſe: nullius momenti erit pars pupillaris, quoniam pars principalis vitio laborat. ¶ Poſſumus autem, ſi plures nobis ſint liberi impuberes, vel ſingulis pupillariter ſubſtituere

substituere, vel ei, qui eorum nouissimus impubes morietur. Sed si neminẽ liberorum impuberum intestatum velim decedere: singulis propria substitutione substituo. Sin verò iura successionum ab intestato, salua & integra esse inter liberos malim, tunc ei, qui eorũ vltimus impubes morietur, alium quempiam extraneum substituo. Et si alij mortui fuerint, fratres superstites, ius legitimæ hereditatis ab intestato habebunt. Sin verò vnus ex eis nouissimus impubes obierit, tunc veniet substitutus. ¶ Præterea nominatim impuberi substituere possum, & dicere: SI FILIVS MEVS HERES MIHI FVERIT, ET IMPVBES DECESSERIT, TITIVS EI HERES ESTO. Possum autem & generaliter ei substituere. Verbi gratia, multos vnà cum filio meo heredes insti-

καταστῆσαι, ἤγουν καὶ τῷ τελευταίῳ ἀνήβῳ τελευτῶντι. ἀλλ᾽ εἰ μὲν μηδένα βούλομαι τῶν ἀνήβων παίδων ἀδιάθετον τελευτῆσαι, ἑνὶ ἑκάστῳ ἰδιαζόντως ὑποκαθιστῶ. εἰ δὲ τὴν ἐξ ἀδιαθέτου διαδοχὴν μεταξὺ τῶν παίδων ἀποσώζεσθαι βούλομαι, τότε τῷ τελευταίῳ ἀνήβῳ τελευτῶντι, ὑποκαθιστῶ ἄλλον τινὰ ξένον. καὶ εἰ μὲν οἱ ἄλλοι τελευτήσουσιν, οἱ περιόντες ἀδελφοὶ ἕξουσι ἐξ ἀδιαθέτου τὸν κλῆρον. εἰ δὲ ὁ εἷς ἐξ αὐτῶν τελευταῖος ἄνηβος ἀποθάνῃ, τότε ὁ ὑποκατάστατος παραγίνεται.

¶ Δυνάμεθα δὲ ὑποκαθιστᾶν τῷ ἀνήβῳ ὀνομαστὶ καὶ λέγειν· ἘΆΝ Ὁ ΥἹΌΣ ΜΟΥ ΓΕΝΌΜΕΝΟΣ ΚΛΗΡΟΝΌΜΟΣ, ἌΝΗΒΟΣ ΤΕΛΕΥΤΉΣΗι, ἜΣΤΩ ΑΥ̓ΤΟΥ͂ ΤΙΤΊΟΣ ΚΛΗΡΟΝΌΜΟΣ. δυνάμεθα δὲ καὶ γενικῶς αὐτῷ ὑποκαθιστᾶν. οἷον πολλοὺς ἐνστησάμενοι κληρονόμους μετὰ τοῦ παιδὸς A. Substitui-tur.

μου, ἢ πολλοὺς γράψας κληρονόμους, ἐξηρεδάτον ἐποίησα τὸν παῖδα. δύναμαι γενικῶς οὕτως ὑποκαθιστᾶν εἰπών, ΕἼ ΤΙΣ ἘΜΟῚ ΤΩ͂Ι ΠΑΤΡῚ ΓΈΝΗΤΑΙ ΚΛΗΡΟΝΌΜΟΣ, ἜΣΤΩ ὙΠΟΚΑΤΆΣΤΑΤΟΣ ἈΝΉΒΟΥ ΤΕΛΕΥΤΩ͂ΝΤΟΣ ΤΟΥ͂ ΠΑΙΔΌΣ ΜΟΥ. δι' ὧν ῥημάτων ἐκ τῆς ὑποκαταστάσεως, εἰς τὰ τοῦ ἀνήβου πράγματα παρελεύσονται, οἵτινες καὶ ἐγράφησαν κληρονόμοι, καὶ γεγόνασι. εἰ γὰρ γραφέντες παρῃτήσαντο τὴν πριγκιπαλίαν, οὐ λήψονται τὰ ἀπὸ τῆς πουπιλλαρίας ὑποκαταστάσεως. μερίζονται δὲ τὰ τοῦ πουπίλλου πράγματα pro parte hereditaria, τουτέστι καθόσον διεδέξαντο τὸν πατέρα.

§. Masculo. ¶ Καὶ τοῖς μὲν ἄρρεσι παισὶν, ἕως ιδ ἐνιαυτῶν ἔξεστιν ὑποκαθιστᾶν. ταῖς δὲ θηλείαις, μέχρι δωδεκάτου. ταύτην δὲ τὴν ἡλικίαν αὐτῶν ὑπερβάντων, ἡ

§. Extraneo ὑποκατάστασις ἀποσβέννυται. ¶ Τῷ ἐξωτικῷ δὲ,

tui, aut multis institutis heredibus, filiū exheredaui. Possum generaliter ita substituere, dicēs, QVIS QVIS MIHI PATRI HERES ERIT, IS ET FILIO MEO ANTE PVBERTATEM MORIENTI, SVBSTITVTVS ESTO. Per quæ verba, ex substitutione ad hereditatem impuberis venient, qui & scripti sunt heredes & extiterunt. Nam si instituti, hereditatē ex principali parte repudiauerint, ex pupillari substitutione nihil capient. Diuiditur autem inter eos pupilli hereditas pro portione hereditaria, id est, pro qua parte patri heredes facti sunt. ¶ Et masculis quidē vsq; ad annos quattuordecim licet substituere: feminis verò vsq; ad duodecim. Quam ætatem si excedāt, euanescit substitutio. ¶ Extraneo

autem vel filio puberi heredibus institutis, nemo ad similitudinem impuberum liberorum substituit, dicés: ILLE MIHI HERES ESTO: ET SI HERES MIHI FVERIT, ET INTRA TRIGESIMVM (exempli gratia) ANNVM DECESSERIT, ILLE EI HERES ESTO. Sed hoc solum permissum est, vt eum, quem heredem instituerimus, per fideicommissum possimus obligare, alij hereditatem nostrã vel totam vel pro parte restituere. Porrò ius fideicommissi quid & quale sit, suo loco tradetur.

δὲ, ἤγουν καὶ ἐφήβῳ παιδὶ γεγραφεῖσι κληρονόμοις, οὐδεὶς ὑποκαθιστᾷ πρὸς μίμησιν τῶν ἀνήβων παίδων λέγων, ὅτι ΕΣΤΩ ΜΟΙ Ο ΔΕΙ͂ΝΑ ΚΛΗΡΟΝΟΜΟΣ. ΕΙ ΔΕ ΓΕΝΟΜΕΝΟΣ ΚΛΗΡΟΝΟΜΟΣ, ΤΕΛΕΥΤΗΣΕΙ, λόγου χάριν, ΠΡΟ ΤΟΥ λ ΕΝΙΑΥΤΟΥ͂ ΕΣΤΩ ΑΥΤΟΥ͂ Ο ΔΕΙ͂ΝΑ ΚΛΗΡΟΝΟΜΟΣ. τοῦτο γὰρ μόνον ποιεῖν ἡμῖν ἐπιτέτραπται. γράφοντες γὰρ κληρονόμον τινὰ, δυνάμεθα διὰ φιδεϊκομμίσου ἔνοχον αὐτὸν ποιεῖν, ὥστε ἑτέρῳ τὴν κληρονομίαν ἀποκαταστῆσαι, ἢ πᾶσαν, ἢ μέρος. τὸ δὲ τοῦ φιδεϊκομμίσου, ὁποῖον ἔχει ἀποτέλεσμα, ἐν τῷ οἰκείῳ παραδοθήσεται τόπῳ.

---

## QVIBVS MODIS TESTAMENTA infirmantur. Titul. XVII.

Didicimus quẽadmodũ iure testamenta fiant. Sed si quid eorum, quæ ad solẽnitatem obseruationémque spectant, omissum fuerit, dici-

Ἔγνωμεν ὅπως γένονται νομίμως αἱ διαθῆκαι. ἀλλ' εἰ μὴ παραλείφθη τι τῶν τῆς ἀκριβείας ἐχομένων, λέγεται ἡ διαθήκη, non Iure Ciuili

 facta,

facta, ἤγουν οὐ δικαίῳ πολιτικῷ γεγενημένη. ἢ συντόμῳ λόγῳ iniusta, ἤτοι παράνομος. παρώφθη γὰρ τυχὸν ὁ λεγίτιμος τῶν μαρτύρων ἀριθμός, ἤγουν ὁ ὡρισμένος ἀπὸ νόμου, ἢ παρῆσαν μὲν οἱ ἑπτά, οὐ πάντες δὲ ὑπέγραψαν, ἢ ὑπέγραψαν μὲν πάντες, οὐκ ἐσφράγισαν δέ. ἢ ταῦτα μὲν ἐποίησαν, ὁ δὲ τεστάτωρ οἰκείᾳ χειρὶ τὴν τοῦ κληρονόμου προσηγορίαν οὐκ ἔγραψεν, οὐδὲ μὴν ἐπὶ τῶν μαρτύρων ὠνόμασεν τὸν ἐσόμενον αὐτοῦ διάδοχον. ἢ παῖδάς τις ἔχων σούους, οὐδὲ κληρονόμους, οὐδὲ ἐξηρεδάτους τούτους ἐποίησεν. ἐπὶ τούτων πάντων λέγεται ἡ διαθήκη, non Iure Ciuili facta. εἰ δὲ μηδὲν τούτων παρώφθη, οὐδὲ οὕτω πάντως μέχρι τέλους, τὸ ἰσχυρὸν παρέσται τῇ διαθήκῃ. ἢ γὰρ ῥούπτα γίνεται, ἢ ἔρριτος. ῥούπτα δὲ γίνεται τούτῳ τῷ τρόπῳ. διέθετό τις ἀνεπιλήπτως. μὴ μείναντος τοῦ τεστάτωρος ἐ-

tur testamentum nō iure ciuili factum, aut verbi cōpendio, iniustū. Forte enim legitimus, (id est, à lege statutus) testiū numerus omissus est: aut adfuerūt quidem septem testes, sed non omnes subscripserunt: aut subscripserunt quidem omnes, sed non consignauerunt: aut ipsi quidem omnia hæc fecerunt, sed testator manu sua nomen heredis nō scripsit, neq; coram testibus futurum successorē nominauit, aut aliquis qui liberos habebat suos, neque eos instituit, neque exheredauit. Omnibus his ex causis, testamentum dicitur non iure ciuili factum. Quòd si nihil eorum neglectū fuerit, non tamen sic omnino ad finē vsque, vim habet testamētum. Nam aut rumpitur, aut irritū fit. Et rumpitur quidem hunc in modū. Quidam sine vitio omni testamentum condidit. Sed cùm testator eodē in statu non māsisset, ins

testamenti

teſtaméti minutum eſt: forté enim poſt teſtamenti confectionem, adoptauit in filium, vel eum, qui ſui iuris eſſet, apud Imperatorem, vel eum qui alienus, apud Prætorem, ſecundum ea quæ conſtitutione quadam piiſsimi noſtri Principis cauentur: hoc eſt, cum auus eſt, qui adoptat: tunc enim adoptio naturá ſuá explicat: & teſtamentú eius rumpitur, per adiectioné noui huius ſui, perinde atq; per agnationé poſtumi. ¶ Sed & poſterius teſtamentum quod iure perfectú eſt, ſuperius rumpere poteſt, ſiue quis ex eo heres extitit, ſiue non, dum exiſtere potuerit. hoc enim ſolum ſpectamus, an aliquo caſu exiſtere potuerit. et qui fieri poteſt, vt qui exiſtere potuit, non extiterit tamen? Finge eú qui in ſecundo teſtamento heres inſtitutus eſt aut repudiaſſe, aut viuente teſta-

πὶ τῆς αὐτῆς καταστάσεως, τὸ τῆς διαθήκης δίκαιον ἠλαττώθη· εἰ γάρ τις μετὰ τὴν ποίησιν τῆς διαθήκης λάβῃ τινὰ εἰς υἱοθεσίαν, ἢ αὐτεξούσιον παρὰ βασιλεῖ, ἢ ὑπεξούσιον παρὰ τοῖς ἄρχουσι, κατὰ τὰ εἰρημένα τῇ διατάξει τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, τουτέστιν ἡνίκα πάππος ἐστὶν ὁ λαμβάνων, τότε γὰρ ἡ θέσις ἐπιδείκνυται τὰ ἑαυτῆς, ἡ γενομένη ῥήγνυται διαθήκη καινοῦ σοὺ ἐπιγενομένου ὥσπερ εἰ ποστοῦμος ἐτέχθη. ¶ Καὶ διαθήκη δευτέρα νομίμως πληρωθεῖσα, δύναται τὴν προτέραν ῥηγνύειν διαθήκην. εἴτε γέγονέ τις κληρονόμος ἐξ αὐτῆς, εἴτε μὴ γέγονεν, ἠδύνατο δὲ ὅλως κληρονομῆσαι. τοῦτο γὰρ μόνον σκοποῦμεν, εἰ ἔν τινι θέματι ἠδύνατο κληρονομῆσαι. καὶ πῶς δυνάμενός τις κληρονομῆσαι, οὐκ ἐκληρονόμησεν; ὑπόθου ὅτι ἐρεπουδιάτευσεν ὁ γραφεὶς ἐν τῇ δευτέρᾳ διαθήκῃ κληρονόμος, ἢ ζῶντος τοῦ τεστάτορος

b. Poſteriore.

ρος ἐτελεύτησεν. ἢ μετὰ τὴν τελευτὴν τοῦ διαθεμένου πρὸ τῆς ἀδιτίωνος, ἢ ὑπὸ αἵρεσιν ἐγράφη, καὶ ἡ αἵρεσις ἠπόρησε. καὶ ἐν τούτοις τοῖς θέμασι συμβαίνει τὸν τεστάτωρα δύο ποιήσαντα διαθήκας, ἀδιάθετον τελευτᾶν. τῆς μὲν προτέρας ῥηγνυμένης τῇ ποιήσει τῆς δευτέρας, τῆς δὲ μεταγενεστέρας ἀκυρουμένης, διὰ τὸ μηδένα ἐντεῦθεν γενέσθαι κληρονόμον.

6. Sed & si quis.

¶ Διαθέμενός τις, ἐνεστήσατο πρῖμον κληρονόμον. εἶτα μετὰ χρόνον τινὰ, ἦλθεν ἐπὶ ποίησιν δευτέρας διαθήκης, ἣν καὶ αὐτὴν νομίμως ἐπεραίωσε σεκοῦνδον ἐνστησάμενος κληρονόμον, οὕτως, ΕΣΤΩ ΣΕΚΟΥΝΔΟΣ ΚΛΗΡΟΝΟΜΟΣ ΕἸΣ ΤΟΔΕ, ΚΑΙ ΤΟΔΕ ΠΡΑΓΜΑ. οὐδὲν ἧττον καὶ οὕτως ἡ πρώτη ῥήγνυται διαθήκη. οὐδὲ γὰρ τὸ ex certa parte, ἤγουν εἰς δῆλα πράγματα γραφῆναι τὸν σεκοῦνδον ἐν τῇ δευτέρᾳ διαθήκῃ, ἀσίχυρον ποιεῖ τὴν ἔνστασιν. καὶ τοῦτο σεβῆρος

καὶ

tore, vel post mortē eius ante aditionē mortuum esse, aut condicionem, sub qua institutus erat, non extitisse. Et in his casibus contingit, vt is, qui duo testamenta fecerit, intestatus tamen moriatur, priore rupto per cōfectionem posterioris, & secundo irrito facto, quòd ex eo nemo heres extiterit. ¶ Quidam testamento condito heredem primum instituerat. Deinde post tēpus aliquod, aggressus est & secūdum testamentum facere, quod & iure perfecit, herede instituto Secūdo: hūc in modū: SECVNDVS MIHI EX ILLA ET ILLA RE HERES ESTO. Nihilominus & hoc modo prius testamentum rumpitur. Nec enim quod ex certa parte Secundus heres in secundo testamento institutus sit, id institutionem irritā facit. Ac ita D. Seue-

pius & Antoninus rescripserunt. Cuius constitutionis hæc verba sunt. (Neque enim referre absurdum est, quum aliud quiddam non inutile, ex ea discere posimus.) Quidam testamento cōdito, pluribúsque in eo institutis heredibus, in secundo testamento alium quēdam ex certis rebus heredē scripsit, hoc addito, se nihilo minus velle & prius testamentum valere. Decessit. Relata res est ad Seuerum & Antoninum, & ab his Cocceio Campano rescriptum est. Testamentum quidem secundo loco factum, licet in eo certarum rerum heres scriptus sit, nihilominus prius testamentum rūpit, perinde atque si institutio sine aliqua rerū mentione in secundo testamento facta esset. Verùm iusserunt eum, qui in secundo testamēto institutus erat, heredem quidem esse, sed tamen teneri heredibus in priore te-

καὶ Ἀντωνῖνος ἀντέγραψαν οἱ θειότατοι. τῆς δὲ τοιαύτης διατάξεως ἐστὶ τὰ ῥήματα ταῦτα. οὐκ ἄτοπον γὰρ αὐτῶν μνημονεῦσαι, διὰ τὸ καὶ ἕτερόν τι χρήσιμον ἐξ αὐτῶν δυνάμενον σημαίνεσθαι. διαθέμενός τις καὶ γράψας πολλοὺς κληρονόμους, ἐν δευτέρᾳ διαθήκῃ ἕτερον εἰς φανερὰ κληρονόμον ἐνεστήσατο, προσθεὶς οὐδὲν ἧττον βούλεσθαι τὴν προτέραν ἐρρῶσθαι διαθήκην. ἐτελεύτησεν. ἦλθεν ἐπὶ Σεβῆρον καὶ Ἀντωνῖνον τὸ πρᾶγμα, καὶ ἀντέγραψαν Κοκκείῳ καμπανῷ. ἡ μὲν κατὰ τὴν δευτέραν τάξιν γενομένη διαθήκη, εἰ καὶ ἐπὶ φανεροῖς πράγμασι γέγραπταί τις ἐν αὐτῇ κληρονόμος, ἀλλ' οὖν ἀνατρέπει τὴν προτέραν ὁμοίως, ὥσπερ εἰ δίχα μνήμης πραγμάτων ἡ ἐν τῇ δευτέρᾳ διαθήκῃ ἔνστασις ἐγεγόνει. ἐκέλευσε δὲ κληρονομεῖν μὲν τὸν ἐν τῇ δευτέρᾳ διαθήκῃ γεγραμμένον, κατέχεσθαι δὲ

τοῖς ἐνσταθεῖσι κληρονόμοις ἐν τῇ προτέρᾳ διαθήκῃ, ἐπὶ ἀποκατάστασιν τῆς κληρονομίας, ἀρκούμενον αὐτὸν τοῖς πράγμασι, εἰς ἃ καὶ γέγραπται κληρονόμος. εἰ καὶ μὴ ταῦτα τὰ ἐαθέντα αὐτῷ ποιεῖ τὸ φαλκίδιον, ὅμως δεῖ ἀναπληροῦσθαι αὐτῷ τὸ ἐλλεῖπον τῷ τετάρτῳ. τούτου δὲ αἰτία, τὰ ἐν τῇ δευτέρᾳ διαθήκῃ γεγραμμένα ῥήματα, ἐν οἷς εἶπε τὴν προτέραν ἐρρῶσθαι διαθήκην, τὸ μὲν οὖν τοῦ ῥυπτοῦ πάθος διὰ πολλῶν συμβαίνει τρόπων. ποστοῦμος γὰρ πρὸ τεχθεὶς τοκετὸς, καὶ καινὸς σουῦς ἐπιγινόμενος, καὶ ποίησις δευτέρας διαθήκης, ῥυπτὸν ποιεῖ τὴν διαθήκην. ἀλλὰ ταῦτα μὲν περὶ τοῦ πάθους τοῦ ῥυπτοῦ. ¶ Τὸ δὲ ἴρριτον καταλύει καὶ αὐτὸ, τὴν γινομένην διαθήκην. οἷον ἡνίκα ὁ διαθέμενος ὑποστῇ κάπιτις δεμινουτζίωνα. ποίοις δὲ τρόποις συμβαίνει, ἐν τῇ πρώτῃ διεξήλθομεν ἰνστιτουτζίωνι. ἐὰν γὰρ ὁ τεστάτωρ ὑποστῇ, ἢ τὴν μαξίμαν, καὶ γένηται δοῦλος,

¶ Alio.

stamento institutis, ad restitutionem hereditatis, his videlicet rebus contentū, ex quibus heres scriptus fuerat. Ita ut si ea, quæ ipsi relicta sunt, quadrantem legis Falcidiæ non faciunt: suppleri ei debeat, quod quadranti deest. Huius autē rei ratio in verbis est secūdo testamento insertis: quibus ut valeret prius testamentum expressum est. Rupti ergo testamenti vitium multis modis accidit: Nam & postumi natiuitas, & noui sui agnatio, & secundi testamenti confectio, testamentum rumpere solent. Et hæc de rupto. ¶ Porrò & irriti vitium testamenta soluit. Verbi gratia, cùm testator capitis diminutionē patitur. Quod quibus modis accidit, primo libro relatum est. Si enim testator aut maximam patiatur, & fiat ser-

nus: aut mediam, & ciuitatem amittat: aut minimam, & fiat alieni iuris, dando se in adrogationem: irritum fit testamentum. Quemadmodum igitur & iam dictum est, tria vitia sunt, quæ testamentis sunt molesta: non iure ciuili factum, ruptum, & irritum. Possumus autem & quod irritum est, ruptum vocare: & quod ruptum est, irritum: Sed & ea quæ nec initio iure facta sunt, irrita vocare possumus: & sine differentia, his nominibus vtimur. Sed ideo singula vitia, singulis appellationibus distinguere institutum est, vt ex proprio cuiusq; nomine cognitis vitiis facilius ea vitare possemus. ¶ Sed hæc tria dicta vitia, testamentum iure ciuili factum infirmant, verùm ad testamentum iure prætorio confectum non pertinent. Nam vitium non iure ciuili facti, stultum sit dicere in testamento, quod ad ius Prætorium pertinet, locum

λον, ἢ τὴν μέσην καὶ τῆς πολιτείας ἐκπέσῃ, ἢ τὴν ἐλαχίστην, καὶ γένηται ὑπεξούσιος, δοὺς ἑαυτὸν εἰς ἀδρογατίωνα, ἴρριτος γίνεται ἡ διαθήκη. ὥσπερ οὖν ὡς καὶ ἤδη εἴρηται, τρία πάθη παρενοχλεῖ ταῖς διαθήκαις, non Iure Ciuili factum, ruptum, irritum. δυνάμεθα δὲ καὶ τὸ ἴρριτον, ροῦπτον καλέσαι. καὶ τὸ ροῦπτον ἴρριτον, καὶ τὴν ἐξ ἀρχῆς μὴ νομίμως γινομένην διαθήκην, ἴρριτον δυνάμεθα καλεῖν, καὶ ἀδιαφόρως χρώμεθα τοῖς ὀνόμασι. διὰ τοῦτο δὲ ἰδιαζόντως ἑκάστῳ πάθει κυριότητα προσηγορίας ἐπενοήσαμεν, ἵνα ἐκ τῶν κυρίων ὀνομάτων γνόντες τὸ ὑποκείμενον πάθος, δυνηθῶμεν τοῦτο διαφυγεῖν. ¶ Ἀλλὰ τὰ μὲν εἰρημένα γ' πάθη, τὴν πολιτικὴν ἀνατρέπει διαθήκην. τῆς δὲ πραιτωρίας οὐχ ἅπτεται. τὸ μὲν γὰρ τοῦ non Iure Ciuili facti, πάθος καὶ μωρόν ἐστι λέγειν ἐπὶ τῆς πραιτωρίας,

θ. Non tamen.

οὐδὲ

οὐδὲ τὸ τοῦ ῥούπτου καταλύει αὐτήν· οὐδὲ μὴν τὸ τοῦ ἰρρίτου, ἐὰν συμβῇ τὸν τεστάτωρα διαφυγεῖν ἣν ὑπέστη κάπιτις δεμινουτζίωνα. ὁ γὰρ πραίτωρ τοὺς δύο καιροὺς ἐπιζητεῖ, τόν τε τῆς ποιήσεως τῆς διαθήκης, καὶ τὸν τῆς τελευτῆς. καὶ ἐὰν εὕρῃ ἐν ἑκατέρῳ καιρῷ ἔχοντα αὐτὸν τεσταμέντου φακτζίωνα, ἰσχυρὰν οἶδεν εἶναι τὴν διαθήκην αὐτοῦ, τὸν μέσον καιρὸν οὐ περιεργαζόμενος, εἴτε πολιτείαν, εἴτε τὴν ἐλευθερίαν ἀπώλεσεν. ὅλως γὰρ ἐν ᾧ ἑπτὰ μαρτύρων ἐπίκεινται σφραγῖδες, καὶ ἐν ἑκατέρῳ καιρῷ τεσταμέντου φακτζίωνα εἶχεν ὁ τελευτήσας, ἦν γὰρ καὶ ῥωμαῖος, καὶ αὐτεξούσιος, δίδωσι τῷ σκρίπτῳ κληρονόμῳ τὴν σεκοῦνδουμ ταβούλας διακατοχήν. εἰ μέντοι ἐτελεύτησεν ἐν τῇ κάπιτις δεμινουτζίωνι, δοὺς γὰρ ἑαυτὸν εἰς ἀδρογατζίωνα, ἐτελεύτησε πρὶν αὐτεξούσιος γενέσθαι, τότε καὶ αὐτὸς ὁ πραίτωρ οἶδεν ἴρριτον οὖ-

habere. Sed neq; vitium rupti, id dissoluit, neq; etiã irriti, si contingat, vt testator capitis deminutionem quam subierat, effugiat. Prætor enim duo tempora inquirit: nempe conditi testamẽti, & mortis: & si quem vtroque tempore inuenerit testamenti factionem habuisse, pro valido testamentum tuetur: nihil curiosiùs de medio tempore laborans, siue ciuitatem, siue libertatem amisit. Omnino enim si septem testiũ signis signatum sit, & defunctus vtroq; tempore, testamenti factionem habuerit, quoniam & ciuis Romanus & suę potestatis erat, heredi scripto dat bonorum possessionem secundum tabulas. Quòd si in capitis deminutione decesserit: cùm enim se adrogandum præbuisset, mortuus est, antequam potestatis suæ fieret: tunc & ipse Prætor irritum

σαν τὴν

esse nouit testamentum, neque heredi scripto bonorum possessionem secundùm tabulas pollicetur. ¶ Quidam testaméto condito superuixit, ac dixit, se nolle id testamentũ valere. Ex solis his verbis testamentum non infirmatur. Nã quæ iure confecta sunt, iure etiam subuerti tollique debent. Plus dico: etsi quis post prius testamentum, secundum facere aggressus sit, & aut mortalitate præuentus, aut quia eum eius rei pœnituit, id non perfecerit: diui Pertinacis constitutione cautũ est, vt prius testamẽtum firmũ ratũmq; sit. Ait enim, non aliter tabulas priores, quæ iure factæ sint, per sequẽtes irritas fieri, quàm si & sequentes iure ordinatæ & perfectæ fuerint. Nam imperfectum testamentum, sine dubio, nullum & infirmũ est. ¶ Eadem constitutione & illud expressum est, talem institutionem valere non de-

σαν τὴν διαθήκην, καὶ οὐκ ἐπαγγέλλεται τῷ σκρίπτῳ τὴν σεκοῦνδουμ ταβούλας διακατοχήν. ¶ Διαθέμενός τις, καὶ ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης εἶπεν, οὐ βούλομαι ταύτην ἰσχύειν. ἐκ τούτων μόνον τῶν ῥημάτων, ἀνίσχυρος οὐκ ἀποτελεῖται ἡ διαθήκη. τὰ γὰρ ἐννόμως γινόμενα, ἐννόμως ἀνατρέπεσθαι δεῖ. τὸ πλέον φημὶ εἰ καὶ μετὰ τὸ διαθέσθαι τις, ἦλθεν ἐπὶ ποίησιν δευτέρας διαθήκης, ἐν δὲ τῷ μεταξὺ τελευτήσας, ἢ καὶ μεταγνοὺς ταύτην οὐκ ἐπεραίωσε, κατὰ θειοτάτου περτινάκος γέγονε διάταξις, βεβαίαν εἶναι τὴν προτέραν διαθήκην κελεύουσα. φησὶ γὰρ μὴ ἑτέρως τὴν νομίμως γεγενημέναν προτέραν διαθήκην, ἐκ τῆς δευτέρας ἀκυροῦσθαι, εἰ μὴ ἐννόμως ἡ δευτέρα περαιωθῇ. ἡ γὰρ ἀτελὴς διαθήκη, ἀσθενὴς ἀμάχως ἐστί. ¶ Τῇ αὐτῇ διατάξει κἀκεῖνο περιέχεται, ὡς οὐ δεῖ τὴν τοιαύτην ἔνστασιν ἐρρῶσθαι, ἔνθα τίς διὰ τὸ δι-

θ Ex eo autem.

θ. Eadem.

κην ἔχων πρός τινα, τὸν βασιλέα κληρονόμον ἐνεστήσατο. οὐδὲ βεβαίας ἀποκαλεῖ τὰς τοιαύτας διαθήκας, οὐδὲ ἄγραφον εἰς βασιλέα γινομένην ἔνστασιν δέχεται, οὐδὲ λέγει αὐτὸν ἀνέχεσθαί τι λαβεῖν ἀπὸ γραφῆς ὡς ἐπὶ τελευταίᾳ βουλήσει, εἰ μὴ πρόσεστιν ἀνελλιπὴς αὐθεντία τοῦ νόμου. τῇ τοιαύτῃ διατάξει Σευῆρος καὶ Ἀντωνῖνος οἱ θειότατοι πολλάκις ἀκολουθήσαντες, ἀντέγραψαν, ὅτι εἰ καὶ τοῖς νόμοις οὐχ ὑποκείμεθα, ἀλλ' οὖν κατὰ τοὺς νόμους πολιτευόμεθα. Licet enim legibus soluti sumus, attamen secundũ leges viuere volumus. δεῖ γὰρ θαυμάζοντας τὴν οὕτω θείαν φωνὴν ἐπὶ στόματος ἔχειν.

bere, cùm quis litis causa, quam cum aliquo habet, Imperatorem heredem instituit, nec firma huiuscemodi testamenta vocat. Sed neque ex nuda voce, sinéque scriptis, heredis institutionem in Imperatorem collatã admittit, neque commissurũ se dicit, vt aliquid accipiat ex vlla scriptura tamquam ex vltima voluntate, nisi integra ei Iuris auctoritas adesset. Secundùm hanc cõstitutionem & D. Seuerus & Antoninus sæpe rescripserunt. Licet enim (inquiunt) legibus soluti simus, attamẽ secundùm leges viuimus. Quam vocẽ adeò diuinam magnificere oportet & sæpe in ore habere.

## DE INOFFICIOSO TESTAMENTO. Titul. XVIII.

Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσι, δύνασθαι τοὺς ἀνιόντας διατιθεμένους, μὴ γράφειν τοὺς κατιόντας κληρονόμους,

Diximus suprà posse parentes in condẽdis testamentis, liberos suos heredes nõ scribere, sed vel exheredare,

heredare, vel præteritionis ignominia adficere, in quibus scilicet præteritio, pro exheredatione accipitur. Sed quoniam parentes hinc arrepta potestate, filios suos grauiter lædebant, relinquentes eos in inopia: nam si quis ex ascendentibus per masculos, aliquem ex liberis exheredasset, neque ipso iure inualidum erat testamẽtum: neque ab intestato filius venire poterat: nam quomodo cùm testamentũ extaret? neq; Prætor bonorum possessionem contra tabulas dabat, præteritis enim non exheredatis ea dabatur. Quòd si mater erat testatrix, ne cogitare quidem poterãt hi, qui per matrẽ descendebant, de bonorum possessione contra tabulas. aduersus enim testamentũ feminæ liberis bonorum possessio contra tabulas non datur. In extremum igitur subsidium inductum est, vt liberi de inofficioso testa-

ἀλλ' ἐξερεδάτους ποιεῖν, ἢ πραιτεριτζίωνι ὑβρίζειν. ἐφ' ὧν ἡ πραιτεριτζίων, ἀντὶ ἐξερεδατζίωνος παραλαμβάνεται. ἀλλ' ἐπειδὴ ταύτης δραξάμενοι τῆς ἀδείας οἱ γονεῖς, τοὺς οἰκείους ἔβλαπτον παῖδας, καταλιμπάνοντες αὐτοὺς ἐν πενίᾳ· εἰ μὲν γὰρ ἦν τις τῶν κατὰ ἀρρενογονίαν αὐθέντων, ἐποίησε δὲ ἐξερεδάτον τὸν παῖδα, οὔτε ipso iure ἀνυπόστατος ἦν ἡ διαθήκη, οὔτε ἐξ ἀδιαθέτου ὁ παῖς ἠδύνατο παραγενέσθαι. πῶς γὰρ διαθήκης ὑποκειμένης; οὔτε ἀπὸ τοῦ πραίτωρος τὴν κόντρα ταβούλας εἶχεν, πραιτερίτοις γὰρ, οὐ μὴν ἐξερεδάτοις αὐτὴν παρεῖχεν. εἰ δὲ μήτηρ ἦν ἡ διαθεμένη, τοῖς κατὰ μητέρα κατιοῦσιν, οὐδὲ ἐνθυμηθῆναι περὶ τῆς κόντρα ταβούλας ἦν. κατὰ γὰρ διαθήκης θηλείας προσώπου, παισὶν οὐ δίδοται κόντρα ταβούλας. ἐν ἐσχάτῃ τοίνυν βοηθείᾳ, ἐπενοήθη τοῖς παισὶ de inofficioso μεμφομέ-

νοις καὶ λέγουσιν, ἀδίκως αὐτοὺς ἐξερεδάτους γίνεσθαι, ἢ γοῦν πραιτεριτευθῆναι, τοῦτο περιεχομένοις τὸ χρῶμα, ὡς ὅτι μεμηνὼς ἦν ὁ τελευτήσας, ἡνίκα τὴν διαθήκην διετύπου. τοῦτο δὲ λέγεται παρὰ τῶν παίδων οὐχ ὡς τῇ ἀληθείᾳ μανέντος τοῦ τελευτήσαντος, ἀλλ' ὅτι γεγένηται μὲν ἰσχυρῶς ἡ διαθήκη, οὐχ ὡς ἀπαιτεῖ δὲ τῆς εὐσεβείας ὁ λόγος. εἰ γὰρ ἐμαίνετο τῇ ἀληθείᾳ, οὐκ ἠδύνατο διατίθεσθαι, ἢ μᾶλλον ἐμεμήνει διὰ τοῦτο ἐπειδὴ τὴν φύσιν ἀλόγως ἐμίσησεν. οὐ μόνον δὲ τοῖς παισὶν ἐπιτέτραπται τῆς τῶν γονέων διαθήκης ὡς μὴ προσηκόντως γινομένης κατηγορεῖν, ἀλλὰ καὶ γονεῦσιν ἐστὶ παρρησία, τὴν τῶν παίδων διαβάλλειν διαθήκην. ἀδελφὴ δὲ καὶ ἀδελφὸς, ἀνατρέπουσι τηνικαῦτα τὴν τοῦ τελευτήσαντος διαθήκην, τῶν σκρίπτων προτιμώμενοι, ἡνίκα αἰσχρὸν ἐπέχουσιν οἱ γεγραμμένοι πρόσω-

mēto agere poſsint, qui queruntur aut dicunt, iniquè ſe exheredatos vel iniquè præteritos eſſe: huius coloris prætextu, quòd defunctus ſanæ mentis nō fuerit, quum teſtamentum ordinaret. Id autem dicitur à liberis non quaſi verè furioſus fuerit defunctus, ſed quòd rectè quidem fecerit, verum non vt ratio pietatis exigit. Nam ſi verè furioſus fuiſſet, teſtamentum facere non potuiſſet. Aut certè ideo inſaniiſſe exiſtimandus eſt quòd naturā ſine cauſa odiſſet. Non autem liberis tantùm permiſſum eſt, teſtamentū parentum vt inofficioſum accuſare: ſed etiam parentibus, vt liberorum teſtamenta impugnent. Porrò ſoror & frater tum demum teſtamentū defuncti ſubuertunt, quaſi ſcriptis heredibus à iure prælati, cùm heredes inſtituti turpes perſonas ſuſtinēt, vt

aurigæ,

aurigæ, mimi, arenarii, & hi, quorum familiaritas ex turpi consuetudine conflata est: sic enim id sacris cõstitutionibus expressum est. Parentes igitur ascendentes & liberi descendentes, cùm ingrati in defunctum non extiterunt aduersus quemuis scriptum heredem, querellam inofficiosi testamenti intentabunt: frater autem & soror solùm aduersus turpes personas. Cognati verò qui vltra fratrem & sororẽ sunt, nullum habent aditum ad querellam inofficiosi, & eam mouentes, succumbent. ¶Porrò de inofficioso testaméto agunt liberi, tum naturales, tum etiam adoptiui, secundùm ea, quæ constitutione Imperatoris nostri cauẽtur. Verùm tunc demum querellã inofficiosi vtiliter intentant, cùm omni auxilio destituti sunt: nam extremum subsidium est querella inofficiosi. Qui ergo aliud ius habet, quo ad here-

πον. οἷον ἡνίοχοι, μῖμοι, κυνηγοί, καὶ οἱ ἀπὸ αἰσχρᾶς μίξεως ἐγνωσμένοι. τοῦτο γὰρ ταῖς θείαις περιέχεται διατάξεσι. ὥστε οὖν ἀνιόντες καὶ κατιόντες, ἐν ᾧ μὴ γεγόνασιν ἀχάριστοι περὶ τὸν τελευτήσαντα, κατὰ παντὸς σκρίπτου κινήσουσι τὴν de inofficioso· ἀδελφὸς δὲ καὶ ἡ ἀδελφή, κατὰ μόνων αἰσχρῶν προσώπων. οἱ δὲ περαιτέρω τοῦ ἀδελφοῦ ἢ τῆς ἀδελφῆς συγγενεῖς, οὐδεμίαν πάροδον ἔχουσιν ἐπὶ τῇ de inofficioso. ἀλλὰ καὶ κινήσαντες ἡττηθήσονται.

¶ Παῖδες δὲ κινοῦσι τὴν de inofficioso, τοῦτο μὲν φυσικοί, τοῦτο δὲ καὶ θετοί, κατὰ τὰ εἰρημένα τῇ τοῦ ἡμετέρου βασιλέως διατάξει. τότε δὲ κινοῦντες τὴν de inofficioso ἰσχυρᾶς ταύτῃ χρήσονται, ἡνίκα πάσης ἐστέρηνται βοηθείας. ἐσχάτη γάρ ἐστιν ἡ ἀπὸ τῆς de inofficioso βοήθεια. ὁ γὰρ εὐπορῶν ἑτέρου δικαίου, δι' οὗ δυνήσεται τὴν πᾶσαν τοῦ

ϐ. Tam κα autem.

τελευτήσαντος λαβεῖν περιουσίαν, ἢ μέρος αὐτῆς, οὐκ ἔχει πάροδον ἐπὶ τὴν de inofficioso. τοῦτο δὲ οὐ μόνον περὶ τῶν ἐν φύσει παίδων, ἀλλὰ γὰρ καὶ ἐπὶ ποσθούμων νοεῖσθαι χρή.

§. Sed hæc ita.

¶ Ταῦτα δὲ οὕτω δεχόμεθα, εἰ μηδὲν αὐτοῖς παντελῶς ὑπὸ τοῦ τελευτήσαντος κατελείφθη. τοῦτο γὰρ καὶ ἐκ διατάξεως τοῦ θειοτάτου ἡμῶν βασιλέως ἐπινενόηται, τῇ φύσει τὴν προσήκουσαν ἀποσώζοντος αἰδῶ. πάλαι γὰρ, εἰ μὴ τὸ ὀφειλόμενον ἅπαν κατελείφθη, ἐδίδοτο χώρα τῇ de inofficioso. οἷον υ νομισμάτων εἶχέ τις περιουσίαν, ἔδει αὐτὸν πάντως ρ καταλιπεῖν. τουτέστι τὸ τέταρτον τῆς οὐσίας, ἵνα μὴ κινηθῇ ἡ de inofficioso. σήμερον δὲ εἰ καὶ ἓν νόμισμα τῷ ἐξερεδάτῳ, ἢ καὶ ὅσον δήποτε μέρος τῆς κληρονομίας κατελείφθη, ἤγουν καὶ πρᾶγμα οἷον δήποτε, ἡ ἐκ τῆς de inofficioso μέμψις ἀργεῖ, τῆς διατάξεως τὸ ἐλλεῖ-

ditatem defuncti totam vel partem eius venire possit, aditũ ad querellam inofficiosi non habet. Et hoc non solum de liberis qui in rerum natura sunt, sed etiã de postumis intelligi oportet. ¶ Sed & hæc omnia ita accipienda sunt, si nihil eis penitus à defuncto relictum est. Id enim & cõstitutione quadam sanctissimi Imperatoris, ad seruandam congruẽtem naturæ verecundiam introductum est. Nam olim, nisi tota debita pars relicta fuisset, locus querellæ de inofficioso fiebat: veluti, si quis quadringentos solidos in bonis haberet, necesse erat ei omnino centum relinquere, hoc est, quartam partem hereditatis, ne de inofficioso agi posset. Hodie verò & si vnus solidus tãtùm, vel quantacumque pars hereditatis, vel res qualiscumq; ei fuerit relicta, querella de inofficioso quiescit, constitutione id quod ei deest vsque

usque ad quartam partem legitimę partis quam ab intestato erant habituri, supplente: etiam si maximè testator propria manu non adscripsit, velle se, ut quod quartæ deesset, boni viri arbitratu compleretur. Id enim constitutio ipsa quamuis non adiectum, tamquam naturæ consentaneum admittit. ¶ Si quis patris voluntatē approbauerit, per querellam de inofficioso eam subuertere non potest. Vnde vide quid quæsitum sit, is quem ego in potestate habebam, pupilli cuiusdam tutor erat. Moriēs ego alium heredem scripsi, & filium meum exheredaui. Porrò pupillo, cuius is tutor erat, legatum dedi. Legatum filius meus, quod pupillo relictum erat, exegerat: postea de inofficioso vult agere, quòd se nihil ex paterna hereditate habere dicat: id ne ei licet, an nihil nocuit, quòd

πον τῷ τετάρτῳ τῆς ἐξ ἀδιαθέτου μοίρας ἀναπληρούσης. εἰ καὶ τὰ μάλιστα ὁ διαθέμενος οὐκ ἐνέγραψε τῇ οἰκείᾳ χειρὶ, ὅτι ἐάν τι εὑρεθῇ ἔλλειπον, βούλομαι αὐτὸ ἀναπληρωθῆναι, ἀνδρὸς ἀγαθοῦ μεσιτείᾳ. τοῦτο γὰρ καὶ μὴ προσκείμενον, ἡ αὐτὴ διάταξις φυσικῶς παραδέχεται. ἤγουν ὡς φύσει παρεπόμενον. ¶ Ἐάν τις ἀσπάσηται τὴν τοῦ πατρὸς βούλησιν, οὐ δύναται ταύτην ἀνατρέπειν διὰ τῆς de inofficioso. ὅθεν ὅρα οἷον ἐζητήθη. ὁ ἐμὸς ὑπεξούσιος ἐπετρόπευσε πουπίλλου τινός. τελευτῶν ἐγὼ καὶ γράψας ἕτερον κληρονόμον, τὸν ἐμὸν ὑπεξούσιον ἐξερεδάτευσα. κατέλειπον δὲ ληγάτον τῷ πουπίλλῳ, οὗ περ ἦν ἐπίτροπος. ἀπῄτησε τὸ ληγάτον ὁ ἐμὸς παῖς, τὸ καταλειφθὲν τῷ πουπίλλῳ. μετὰ ταῦτα βούλεται κινῆσαι τὴν de inofficioso, ὡς μηδὲν ἔχων ἐκ τῆς πατρῴας περιουσίας. ἆρα δύναται, ἢ μή τι βέβλαπται, ὡς ἐπιγνοὺς τὴν

θ. Si tutor

τοῦ τελευτήσαντος βούλησιν, αὐτῷ τούτῳ, ᾧ τὸ ληγάτον ἀπῄτησε; καὶ λέγομεν μηδὲν αὐτὸν ὑφίστασθαι πρόκριμα, ἐπειδὴ ἐπιτροπικὴν πράττων ὀφφίκιον, ἔλαβε τὸ ληγάτον, ὥστε οὖν ἀκωλύτως suo nomine, κινήσει τὴν de inofficioso. καὶ ἐκ τοῦ ἐναντίου δὲ τοῦτο ζητεῖται. εἶχον ἐγὼ ἄνηβον παῖδα ὑπεξούσιον. ἕτερον γράψας κληρονόμον, τὸν ἄνηβον ἐξερεδάτον ἐποίησα, μηδὲν αὐτῷ καταλιπών. ἐληγάτευσα δὲ νομισμάτων ἑκατὸν Τιτίῳ τινί, ὃν ἐγὼ κατέλιπον τεσταμενταρίον ἐπίτροπον τοῦ ἀνήβου. ἤγουν ὁ ἄρχων δέδωκε, ἢ καὶ ἴσως ἀπὸ νόμου ἐκλήθη. ἐκίνησεν ὁ Τίτιος ὀνόματι τοῦ ἀνήβου τὴν de inofficioso, καὶ ἡττήθη. εὐλόγως γὰρ ἴσως εὑρέθη ὁ ἄνηβος ἐξερεδατωθείς. μετὰ ταῦτα ὁ Τίτιος, χωρεῖ κατὰ τοῦ σκριπτοῦ κληρονόμου τὸ ληγάτον αὐτῷ ἀπαιτῶν ὅπερ αὐτῷ κατελείφθη, ἀμάχως λήψεται τοῦτο. ¶ Ἀποκλείει δὲ τὴν de

legato exacto, videtur voluntatem defuncti approbasse? Et dicimus, nihil eum pati præiudicij, quoniam pupilli nomine, & ex tutoris officio, legatum exegit. Nihil igitur prohibet, quò minùs suo nomine de inofficioso posit agere. Ex cōtrario quoque quæritur, impuberem ego filium in potestate habebam, alio quodam herede instituto, impuberem nihil ei relinquens exheredaui. Legaui autem Titio cuidam solidos centum, quem ego impuberi testamentarium tutorem dederam, aut Prætor dederat, aut fortasse lege ad tutelam vocabatur. Titius tutor nomine pupilli de inofficioso egit, & victus est: fortè enim meritò exheredatus fuit impubes. Postea his idem Titius legatum sibi relictum à scripto herede petiit, haud dubium est, quin id nō amittat. ¶ Querellam igi-

0. Igitur.

tur de inofficioso excludit relicta quarta ei, qui ab intestato ad hereditatem vocatur, siue per legatum relicta sit, siue per fideicommissum, siue per donationē causa mortis. Donatio autem inter viuos his non connumeratur, nisi in hoc donatum fuerit, vt in his casibus, quorū Imperatoris nostri sanctissimi constitutio quædā meminit: & aliis quibusdam modis, qui veteribus legibus & sacris constitutionibus comprehensi sunt. Si quarta igitur filio relinquatur, querella inofficiosi quiescit: & siquidem vnus est filius, quartam ei totius hereditatis relinqui oportet, sin autē duo sunt, aut etiam plures, quarta omnib⁹ relicta pro rata & ex æquo, efficit, vt querella sileat. Verbi gratia, duo sunt: Necesse est, vt his relinquam singulos sescunces. Quòd si tres sint, necesse est, vt singulas vncias his relinquā.

de inofficioso, τὸ τέταρτον καταλιμπανόμενον τῷ ἐξ ἀδιαθέτου κληρονόμῳ, ἢ ἐν ληγάτῳ, ἢ ἐν φιδεϊκομμίσσῳ, ἢ mortis causa δωρεᾷ. ἡ δὲ inter viuos δωρεὰ οὐ συναριθμεῖται, εἰ μήπωγε ἐπὶ τούτῳ ἐδόθη, ὡς ἐν ἐκείνοις τοῖς θέμασιν, ὧν ἡ διάταξις τοῦ θειοτάτου ἡμῶν βασιλέως μέμνηται· καὶ ἑτέροις τρόποις περιεχομένοις τοῖς παλαιοῖς νόμοις, καὶ ταῖς θείαις μέντοι διατάξεσιν, ἐὰν τὸ τέταρτον περιελθὸν ᾖ τῷ παιδὶ, ἡ δὲ ἰνοφφικιόσω σχολάζει. καὶ εἰ μὲν εἷς ἐστι παῖς, τὸ τέταρτον αὐτῷ δεῖ με καταλιμπάνειν τῆς οἰκείας περιουσίας. εἰ δὲ δύο εἰσὶν ἢ καὶ πλείονες, τὸ τέταρτον πᾶσι καταλειφθὲν, ἀναλόγως καὶ ἐξ ἴσου, ἡσυχάζειν ποιεῖ τὴν δὲ ἰνοφφικιόσω. οἷον δύο εἰσί. δεῖ αὐτοῖς καταλιμπάνειν, ἀνὰ μίαν ἥμισυ οὐγκίαν. εἰ δὲ τρεῖς εἰσι, δεῖ καταλιμπάνειν αὐτοῖς ἀνὰ μίαν οὐγκίαν.

## DE HEREDVM QVALITATE ET differentia. Titul. XIX.

Ὁ κληρονόμος, ὄνομά ἐστι γενικόν, διαιρεῖται δὲ εἰς τρία. τῶν γὰρ κληρονόμων, οἱ μὲν λέγονται νεκεσσάριοι, ἤγουν ἀναγκαῖοι. οἱ δὲ σοῦοι νεκεσσάριοι. οἱ δὲ ἐξτράνεοι, ἤγουν ἐξωτικοί. ¶Καὶ τίς ἐστι νεκεσσάριος; ὁ οἰκέτης ὁ γραφεὶς κληρονόμος, διὰ τοῦτο οὕτως ὀνομασθείς, ἐπειδὴ καὶ βουλόμενος καὶ ἄκων παντὶ τρόπῳ μετὰ τὴν τοῦ δεσπότου τελευτήν, εὐθέως ἐλεύθερος καὶ νεκεσσάριος γίνεται κληρονόμος. ἀμέλει, οἱ τινες ὑπόπτους ἔχουσι τὰς οἰκείας περιουσίας, καὶ λογίζονται, ὡς οὐδεὶς ἀνέξεται διὰ τὸ ἄπορον τὴν αὐτῶν καταδέξασθαι περιουσίαν, εἰώθασιν ἴδιον οἰκέτην, ἐν πρώτῳ, ἢ δευτέρῳ, ἢ ἐν τρίτῳ βαθμῷ, ἢ καὶ ἐπέκεινα γράφειν κληρονόμον. οἷον, ΣΤΙΧΟΣ, Ο ΕΜΟΣ ΟΙΚΕΤΗΣ, ΕΣΤΩ ΚΛΗΡΟΝΟΜΟΣ. ἰδοὺ ἐν τῷ πρώτῳ βαθμῷ. ἢ

§. Necessarius.

HEres nomen generale est, in tres autē species diuiditur. Nam heredum alij dicūtur Necessarij, Alij Sui & Necessarii, Quidam extranei ¶Et quisnam est Necessarius? Seruus, qui heres institutus est. Inde sic vocatus, quia volens nolens omni modo post domini mortē & liber statim & necessarius fit heres. Ita que, qui de facultatibus suis dubitant, & ratione subducta, verentur fore, vt nemo propter angustias rei familiaris ipsorum, pro herede se velit gerere: seruorum aliquem in primo, secundo, aut tertio gradu aut etiam inferius heredem instituere solent. veluti, STICHVS SERVVS MEVS HERES ESTO. Ecce in primo gradu. Aut

ἐν

In secũdo, sic: PRIMVS HERES ESTO. ET SI IS HERES NON ERIT, STICHVS SERVVS MEVS HERES ESTO: aut etiam vltra. Nemine igitur ad hereditatem accedere audente, ex necessitate veniet Stichus, & heres fiet. Ac nisi creditorum nomina, quæ defunctus contraxit, dissoluta fuerint, alitérve eis eo nomine satisfactum, nulla defuncti memoriæ ignominia inuritur, sed hereditas distrahitur: non iam illis dicentibus huius defuncti bona distrahi, sed Stichi heredis. Creditores igitur in bonorum possessioné missi, aut distrahũt illa, aut inter se diuidunt. Habet autem infamiæ huius mercedem seruus, Primò libertatem, qua nihil est præstabilius, neque pretiosius. Deinde & illud cõmodum ei præstatur, vt ea quæ post

ἐν δευτέρῳ οὕτως, ἜΣΤΩ ΠΡΙ͂ΜΟΣ ΚΛΗΡΟΝΌΜΟΣ. ΕἸ ΔῈ ΜῊ ΓΈΝΗΤΑΙ, ἜΣΤΩ ΣΤΙ͂ΧΟΣ Ὁ ἘΜῸΣ ΟἸΚΈΤΗΣ ΚΛΗΡΟΝΌΜΟΣ. ἢ καὶ ἐπέκεινα. λοιπὸν οὖν μηδενὸς αἰσχομένου προσελθεῖν τῇ κληρονομίᾳ, ἐξανάγκης ὁ Στῖχος ἐλεύσεται, καὶ γενήσεται κληρονόμος. καὶ ἐὰν μὴ καταβληθῇ τοῖς κρεδίτωρσι τὰ χρέα τοῦ τελευτήσαντος, μὴ δὲ τὸ ἱκανὸν αὐτοῖς γένηται ἐπὶ τοῖς ὀφλήμασι, μένει μὲν ἀνύβριστος ὁ τελευτήσας, ἡ δὲ κληρονομία διαπιπράσκεται, οὐκέτι λεγόντων ἐκείνων, ὅτι τὰ τοῦ δὲ τελευτήσαντος διαπιπράσκεται πράγματα, ἀλλὰ τὰ τοῦ Στίχου τοῦ κληρονόμου. γινόμενοι δὲ οἱ κρεδίτωρες ἐν νομῇ, ἢ διαπιπράσκουσι ταῦτα, ἢ μεταξὺ ἀλλήλων μερίζονται. μισθὸν δὲ τῆς τοιαύτης ὕβρεως ἕξει, πρῶτον μὲν τὴν ἐλευθερίαν, ἧς οὐδὲν τιμιώτερον. ἔπειτα κἀκεῖνο αὐτῷ περιγίνεται· ὅσα

γὰρ

γὰρ μετὰ τελευτὴν τοῦ οἰκείου πάτρωνος ἑαυτοῦ περιεποίησε ὁ Στῖχος ἐξ ἑτέρων αἰτιῶν, τουτέστιν οὐκ ἐκ προφάσεως τῆς κληρονομίας, αὐτῷ φυλαχθήσεται, καὶ οὐκ ἐνοχληθήσεται ὑπὸ τῶν κρεδιτώρων, εἰ καὶ τὰ μάλιστα ἡ τοῦ τελευτήσαντος περιουσία οὐκ ἐξήρκεσεν ἀποπληρῶσαι τὰ ἐποφληθέντα. καὶ οὗτοι μέν εἰσι νεκεσσάριοι. ¶ Σοῦοι δὲ νεκεσσάριοι τίνες εἰσὶ σκοπήσωμεν. σοῦοι νεκεσσάριοί εἰσιν, οἷον υἱὸς, θυγάτηρ, ἔγγονος, ἐγγόνη. οἱ ἀπὸ τοῦ υἱοῦ, καὶ ἐφεξῆς πάντες παῖδες, οἵτινές εἰσιν ἰν ποτεστάτε ἐν τῷ καιρῷ τῆς τελευτῆς. ἀλλ' ὁ μὲν υἱὸς, καὶ ἡ θυγάτηρ, ἔχουσι παρ' ἑαυτοῖς πάντως τὸ σοῦον. ὁ δὲ ἔγγονος, καὶ ἡ ἐγγόνη, οὐ μόνον ἐὰν ὦσιν ὑπεξούσιοι τοῦ πάππου τοῦ τελευτήσαντος ἔχουσι τὸ τοῦ σούου δίκαιον, ἀλλὰ γὰρ χρεία αὐτοῖς πρὸς τὸ κτήσασθαι τὸ σοῦον, τοῦ πιπτῶσαι τὸν αὐτῶν πατέρα ἐξ οὗ γεγόνασιν, ὑπεξούσιον εἶναι τοῦ οἰκείου πατρός. τελευτῇ τυχὸν ἢ

¶. Sui autē.

morte patroni, Stichus sibi ex aliis causis acquisierit, hoc est, non per occasionē hereditatis, ipsi reseruentur, neque in iis ei molesti sint creditores, quamuis maximè defuncti bona æri alieno non sufficiant. Et hi quidem sunt necessarij. ¶ Porrò, qui sui & necessarij sint, videamus. Sui & necessarij sunt, verbi gratia, filius, filia, nepos, & neptis ex filio, & deinceps liberi omnes, qui in potestate cuiusq; cùm is moreretur, fuerūt. Et filius quidē & filia ex sese omnino ius suorum heredum habent: verùm vt nepos neptisve sui heredes sint, nō sufficit eum eámve in potestate aui defuncti tēpore mortis fuisse, sed opus est ad hoc, vt sui heredes fiant, patrem ipsorum ex quo nati sunt, in potestate patris sui esse desiisse: per mortem for-

ue aut emancipationem, vel alios modos, quibus patria potestas soluitur. Tunc enim nepos aut neptis in locum patris sui succedit. Et Sui quidem ideo appellantur, quia domestici heredes sunt, hoc est, quia viuo etiãnum patre, domini quodã modo existimantur. Vnde & lex duodecim Tabularum primã eorum causam fecit, in intestatorum successionibus. Et sui quidem ob dictas causas vocitur. Necessarij verò ideò dicuntur, quia omni modo siue velint, siue nolint, tum ex testamento, tum ab intestato, heredes fiũt. Et iure quidem ciuili nulla est differentia inter Necessarium, & Suum necessarium. Sed Prætor respiciens quid natura æquum sit, permittit his, vt hereditate paterna, si suspectam illam habent, abstineant. Nam inter duos ingenuos, lõgè melius

ἐμαγκιπατζίωνι, ἢ ἑτέρῳ οἱῳδήποτε τρόπῳ ἐξεληλυθότος αὐτοῦ τῆς ὑπεξουσιότητος. τότε γὰρ ὁ ἔγγονος, ἢ ἡ ἐγγόνη, εἰς τὴν τοῦ οἰκείου πατρὸς ἐπάνεισι τάξιν. καὶ σοῦοι μὲν διὰ τοῦτο προσαγορεύονται, ἐπειδὴ οἰκειακοὶ κληρονόμοι εἰσί, τουτέστι καὶ ζῶντος τοῦ πατρὸς, τρόπον τινὰ δεσπόται νομίζονται. ὅθεν καὶ ὁ δυωδεκάδελτος πρώτην αὐτοῖς δέδωκε κλῆσιν, ταύτην τὰ ἐξ ἀδιαθέτου. καὶ σοῦοι μὲν κληρονόμοι διὰ τὰς εἰρημένας αἰτίας λέγονται. νεκεσσάριοι δὲ, ἐπειδὴ παντὶ τρόπῳ καὶ θέλοντες καὶ μὴ βουλόμενοι, ἐκ διαθήκης ἅμα καὶ ἐξ ἀδιαθέτου γίνονται κληρονόμοι. ἀλλὰ κατὰ μὲν τὸ πολιτικὸν, οὐδεμία διαφορὰ νεκεσσαρίου, καὶ σούου νεκεσσαρίου. ὁ δὲ πραίτωρ ὁρῶν πρὸς τὸ φύσει δίκαιον, δίδωσιν αὐτοῖς παρρησίαν τοῦ ἀβστινεύειν ἑαυτοὺς τῆς πατρῴας κληρονομίας, ἐν ᾧ ταύτην ὕποπτον ἡγοῦνται. ἐν δύο γὰρ εὐγενέσι, κάλλιον ὑβρίζεσθαι τὸν τελευτήσαν-

τα

τα, ἢ τὸν ζῶντα, τὸν καὶ αἰσθανόμενον τῆς ἐντεῦθεν ἀτιμίας. οὐ τοῦ τοίνυν ἀβστινατεύσαντος, τὰ πράγματα λήψονται οἱ κρεδίτωρες τοῦ τελευτήσαντος, οὐ μὴν ἐπ' ὀνόματι τοῦ παιδός. ¶ Ἐξστράνεοι δέ εἰσιν

§. ceteri. πάντες οἱ παρὰ τούτους ἁπλῶς, ὅσοι μὴ ὑπεβέβληνται τῇ τοῦ τελευτήσαντος ὑπεξουσιότητι. ἀμέλει καὶ οἱ ἡμέτεροι παῖδες ἐμαγκιπάτοι, ἐξστράνεοι κληθήσονται, καὶ ὁ παῖς τῇ μητρὶ ἐξστράνεος κληθήσεται, καὶ γενήσεται κληρονόμος. θήλεια γὰρ in potestate τοὺς παῖδας ἔχειν οὐ δύναται. διατιθέμενός τις, τὸν ἴδιον οἰκέτην ἐνέστησε κληρονόμον, ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης, βινδίκτα τοῦτον ἠλευθέρωσεν. ἐτελεύτησεν οὐκ ἀμείψας τὴν διαθήκην. ζητοῦμεν εἰ ὁ γραφεὶς κληρονόμος, πότερον νεκεσσάριός ἐστιν ἢ ἐξστράνεος; καὶ λέγομεν αὐτὸν ἐξστράνεον εἶναι. ἐπειδὴ μὴ τὰ δύο ἐκ τῆς τοῦ τελευτήσαντος διαθήκης αὐτῷ προσ-

est, defunctum contumelia affici, quam viuum, quippe qui & iniuriam sentiat. Vbi is ergo abstinuerit, bona defuncti à creditoribus possidebuntur, idq; non sub filij nomine. ¶ Extranei autē sunt omnes (vt rem verbo absoluam) præter hos iam dictos, q iuri defuncti subiecti non sunt. Itaque & liberi nostri emancipati, extranei vocabuntur. Sed & filiꝰ matri extraneus heres & est & vocatur. Nam femina liberos in potestate habere non potest. Quidam testamento condito seruum suum heredē instituit. Cùm testamento facto superuixisset, seruum vindicta manumisit. Et testamento non mutato mortuus est, quærimus, hic institutus heres, necessarius sit, an extraneꝰ? Et dicimus eum extraneum esse, quoniam vtrumque ex defuncti testamento consequutus nō est,

γίνε

libertatem scilicet & hereditatem.

¶ In extraneis heredibus illud obseruandum est, vt cùm eis sit testamenti factio, siue ipsi heredes instituantur, siue hi qui in potestate eorum sunt. Hanc autem testamenti factionem duobus temporibus exigimus: cùm testamentum condimus, vt tunc valeat institutio: & quum morimur, vt tunc institutio rectè facta, vtilem effectũ habeat. Quòd si quis accuratè singula inquirat & tertium inueniemus tẽpus, quo testamenti factionẽ eum habere oporteat, hoc est, cùm hereditatem adit. Neq; vlla est differentia, vtrùm purè an sub conditione heres sit institutus. Nã ipsum ius heredis, hoc est, an heres esse possit, eo maximè tempore spectatur, quo hereditatem adire debet. Medio autem

γίνεται, τουτέστι ἡ ἐλευθερία καὶ ἡ κληρονομία. ¶ Ἐπὶ δὲ τῶν ἐξτρανέων κληρονόμων, ἐκεῖνο δεῖ παραφυλάττειν, ὥς τε ἡμᾶς ἔχειν μετ᾽ αὐτῶν τεσταμέντι φακτζίωνα, εἴτε αὐτοὶ ἐγκάφησαν κληρονόμοι, εἴτε οἱ αὐτῶν ὑπεξούσιοι. ταύτην δὲ τὴν τεσταμέντι φακτζίωνα ἔχειν αὐτοὺς ἀπαιτοῦμεν ἐν δυσὶ καιροῖς. ἡνίκα διατιθέμεθα, ὥς τε πῶς ἐῤῥῶσθαι τὴν ἔνστασιν. καὶ ἡνίκα τελευτῶμεν, ὥς τε τὴν καλῶς γενομένην ἔνστασιν, χρηστὸν ἔχειν ἀποτέλεσμα. εἰ δέ τις ἀκριβῶς ἐξετάσει, καὶ τρίτον ἐπιζητοῦμεν καιρὸν, ἐν ᾧ δεῖ τὴν τεσταμέντι φακτζίωνα ἔχειν αὐτόν. τουτέστιν, ἡνίκα προσέρχεται τῇ κληρονομίᾳ. οὐδεμιᾶς οὔσης διαφορᾶς πότερον πούρως, ἢ ὑπὸ αἵρεσιν γέγραπται κληρονόμος. τὸ δὲ γὰρ δίκαιον τοῦ κληρονόμου, τουτέστιν εἰ δύναται κληρονομῆσαι, ἐν ἐκείνῳ μάλιστα σκοπεῖται τῷ καιρῷ, ἐν ᾧ δεῖ τὴν κληρονομίαν αἰτεῖσθαι. ἐν δὲ τῷ μέσῳ χρόνῳ, τῷ με-

θ. In extraneis.

μεταξὺ τῆς ποιήσεως τῆς διαθήκης, καὶ τῆς τοῦ τεστάτωρος τελευτῆς, ἤγουν τῆς ἐκβάσεως τῆς αἱρέσεώς ἐστιν, ἐν ᾧ αἱρετικῶς ἐγράφη τις κληρονόμος, τὸ τοῦ κληρονόμου δίκαιον ἐναλλαγὲν, οὐδεμίαν αὐτῷ φέρει βλάβην εἰς τὸ διαδέξασθαι. ὥστε οὖν εἰ συμβῇ τὸν ὑπ' ἐμοῦ γραφέντα κληρονόμον, εἶναι ῥωμαῖον, εἶτα μετὰ τὴν ποίησιν τῆς διαθήκης, ἐκπεσὼν τῆς πολιτείας ταύτην ἀνέλαβε πρὸ τῆς ἐμῆς τελευτῆς, ἤγουν ἐν ᾧ αἱρετικῶς ἐγέγραπτο κληρονόμος πρὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως, ἀκωλύτως κληρονομήσει. ὥστε οὖν, τοῦτο γάρ ἐστι τὸ συναγόμενον, ἤγουν τὸ ἀποτέλεσμα, τρεῖς ἐπιζητοῦμεν καιροὺς, ἐν οἷς τὸν κληρονόμον ἔχειν δεῖ τεσταμέντου φακτζίονα. τὴν ποίησιν τῆς διαθήκης, τὴν τελευτὴν τοῦ διαθεμένου, τὸν χρόνον τῆς ἀδιτζίωνος. μᾶλλον δὲ τὴν ποίησιν τῆς διαθήκης, καὶ τὴν ἀδιτζίωνα. ¶ Τεσταμέντου φακτζίονα

§. Testamē-

tempore, quod est inter factum testamentum & testatoris mortem aut conditionem institutionis existentem, si quis conditionaliter est institutus: ius heredis mutatum, nullum ipsi ad succedēdum, damnum affert. Vnde futurū est, vt si contingat eum ciuem Romanum esse, quem heredem institui, & is post factum testamētum, ciuitatem amiserit, & eam recuperauerit ante mortē meam, aut si condicionaliter institutus est, ante euentū conditionis: nihil eum prohibeat hereditatem adquirere. Sic igitur (vt rei totius effectum in vnum contraham) tria tempora inspicimus, quibus heredem testamenti factionem habere oportet, testamenti cōfectionem, mortem testatoris, & tempus aditionis. Et ex his maximè testamenti confectionem & aditionem. ¶ Testamenti factio

δὲ ἔχειν

nem habere intelligitur: non is tantũ, qui testamentum facere potest: sed etiã, qui ex alieno testamento capere potest, vel alij adquirere, licet hic testamentum facere nõ possit. Quapropter & furiosus, & mutus, & pupill⁹, & infans, & postumus, & filiusfamilias & alienus seruus, testamẽti factionem habere dicuntur. Vt enim maximè testamentũ facere non possint, tamen ex alieno testamento, vel sibi vel alij possunt adquirere. Nisi q in furioso ita speciem seu casum fingere oportet, vt à patre heres esse institutus intelligatur. Nam ab alio institutus, donec resipiscat, neque sibi neq; alij hereditatem adquirere potest. ¶Extranei autẽ heredes, dicuntur, & Voluntarij, quum liberum iis sit, vt heredes sint, aut non sint. Alij verò necessarij dicuntur, propterea quòd ex ne-

δὲ ἔχειν νοεῖται, οὐ μόνον ὁ δυνάμενος διατίθεσθαι, ἀλλὰ καὶ ὁ ἐξ ἀλλοτρίας διαθήκης δυνάμενος λαμβάνειν, ἤγουν ἑτέρῳ προσπορίζειν. εἰ καὶ τὰ μάλιστα οὗτος οὐ δύναται ποιεῖν διαθήκην. διὰ τοῦτο καὶ ὁ μαινόμενος καὶ ὁ ἄλαλος καὶ ὁ πούπιλλος καὶ ὁ ἴμφας καὶ ὁ ποστοῦμος καὶ ὁ υἱὸς ὁ ὑπεξούσιος, καὶ ὁ ἀλλότριος οἰκέτης ἔχειν λέγονται τεσταμέντι φακτίωνα. εἰ καὶ τὰ μάλιστα γὰρ οὐ δύνανται διατίθεσθαι, ἀλλ' οὖν ἐκ τῆς ἑτέρου διαθήκης, εἰ ἑαυτοῖς, εἰ ἑτέρῳ δύνανται προσπορίζειν. ἐπὶ δὲ τοῦ μεμηνότος, δεῖ θεματίζειν αὐτὸν ὑπὸ τοῦ πατρὸς γεγραμμένον κληρονόμον. ὑφ' ἑτέρου γὰρ γραφεὶς, μέχρις οὗ ἀνανήψῃ, οὐδὲ ἑαυτῷ, οὐδὲ ἑτέρῳ δυνήσεται προσπορίζειν κληρονομίαν. ¶ Οἱ δὲ ἐξτράνεοι κληρονόμοι λέγονται καὶ βολουντάριοι, ἐν προαιρέσει ἔχοντες τὸ κληρονομῆσαι, ἢ μή. οἱ δὲ ἕτεροι λέγονται νεκεσσάριοι, διὰ τὸ ἐξ ἀνάγκης

§. Extraneis.

αὐτοὺς καλεῖσθαι. καὶ οὐ μόνον ἐν τούτῳ ἐστὶν ἡ διαφορά, ἀλλὰ καὶ ἐν ἐκείνῳ, ὅτι τὸ καταδέξασθαι τὴν κληρονομίαν, ἐπὶ μὲν τοῦ ἐξτρανέου, λέγεται ἀδιτζίων, ἤτοι καταδοχή. ἐπὶ δὲ τῶν νεκεσσαρίων, immixtio, ἤτοι ἔμμιξις. καὶ τὸ ἀπώσασθαι τὴν κληρονομίαν, ἐπὶ μὲν τοῦ ἐξτρανέου, λέγεται ῥεπουδιατζίων, ἤτοι χωρισμός. ἐπὶ δὲ τοῦ νεκεσσαρίου ἀβστιναντζίων. ἀλλ' ὁ μὲν ἐξωτικὸς ῥεπουδιάζων, οὕτως ἐστὶν, ὡς μηδέποτε κληθεὶς ἐπὶ τὴν κληρονομίαν. ὁ δὲ σουῦς νεκεσσάριος ἀβστινατεύσας, ἐπειδὴ μετὰ τὴν τελευτὴν τοῦ πατρὸς εὐθέως ἀνεφάνη, οὐδὲν ἧττον ἔχει ἐν ἑαυτῷ τὸ ἀσώματον. καθάπερ εἴρηται πολλάκις, ὅτι τὸ ἀσώματον ὄνομα τῆς κληρονομίας ἅπαξ ἐμπαγὲν τινὶ, δυσχερῶς ἐφ' ἕτερον μεθίσταται· εἰ μὴ ὅτι ὁ πραίτωρ, ὁ τὴν ἀβστιναντζίωνα ἐπινοήσας, ἀπὸ τῶν δανειστῶν περιποιεῖ αὐτῷ τὸ ἀνενόχλητον. καὶ ἐν τούτοις μὲν αἱ διαφοραί. ἐν ἐκείνῳ δὲ ἡ

κοινω

ceſsitate ad hereditatem veniant. Neque in hoc ſolùm differentia eſt, verùm & in illo, quòd hereditatem adquirere, in extraneo dicatur aditio, in Neceſſariis, immixtio. Et quòd hereditatem nō admittere, in extraneo dicatur repudiatio, in neceſſario, abſtentio. Sed extraneus repudians, perinde eſt quaſi numquam ei hereditas delata fuiſſet. Suus autem & Neceſſarius quāuis abſtineat, tamen cùm à morte patris protinus heres factus ſit, nomen heredis nihilominus retinet. Nam id iam ſæpe dictum eſt, nomen heredis ſemel alicui partum, difficulter ad aliū transferri: niſi quòd Prætor (qui & ius abſtinendi inuênit) tutū eum præſtat, aduerſus moleſtias & negotia creditorū hereditariorum. Et in his quidē differunt, in illo autem conueniunt, quòd ſiue Ne

tutionibus, vt iam dicti nepotes, ad hereditates vocantur: aut quum personæ huiuscemodi extarent, hereditatem tamen defuncti amplexæ non sint: tunc lex duodecim Tabularum secundo loco proximum agnatũ ad hereditatem vocat. ¶ Sunt autem agnati, (vt primo quoque libro diximus) cognati per virilis sexus personas nobis cõiuncti, quasi à patre cognati. Sic igitur fratres eodem patre nati, agnati inter se sunt, & Latinè dicuntur consanguinei, Græcè ὅμαιμοι. Nec interest, ex eadem matre, an ex diuersis matribus nati sint. Sed & patruus meus, agnatus mihi est, & ego illi. Sic & qui ex duobus fratribus nati sunt, agnatorum iura inter se habẽt, qui dicuntur fratres patrueles: & per abu-

sionem etiam consobrini, quum consobrini propriè sint qui ex duobus sororibus nati sunt, quasi cōsororini: quam regulam si quis sequatur, & ad plures gradus posset peruenire, & dicere. Patrui mei filius & ex filio nepos, agnati sunt. Et (ut vno verbo rē concludam) quamdiu per feminæ personam, cognationē non scindi videbis: agnatos esse, qui nascuntur, pronuntiato. Porrò nō hi tantùm, qui viuo patre nati sunt, sed etiam hi qui post mortē eius iura consanguinitatis erga me habent. Non tamen omnes simul agnati, ad defuncti hereditatem vocantur à lege duodecim Tabularum: sed hi tantùm, qui tūc proximum gradum obtinebāt, cùm certum esse cœpit, intestatum aliquem decessisse. Quod quemadmodum intellegi debeat, infrà latiùs docebimur. Sic igitur, si & frater & pa-

καταχρηστικῶς δὲ κωνσοβρῖνοι. κωνσοβρῖνοι δὲ λέγονται κυρίως οἱ ἐκ θηλειῶν δύο ἀδελφῶν τεχθέντες, quasi cōsororini. τούτῳ χρώμενός τις τῷ κανόνι, δύναταί τις εἰς πολλοὺς βαθμοὺς παρεκτείνεσθαι, καὶ εἰπεῖν, ὅτι ὁ υἱὸς τοῦ θείου μου τοῦ πρὸς πατρὸς, καὶ ὁ ἐκ τούτου ἔγγονος, ἀδνάτοι εἰσίν. καὶ ἁπλῶς ἐφ' ὅσον ὁρᾷς θῆλυ πρόσωπον μὴ διακόπτον τὴν συγγένειαν, ἀδνάτους ἀποφαίνου τοὺς τικτομένους. οὐ μόνον δὲ οἱ ζῶντος τοῦ πατρὸς τεχθέντες, ἀλλὰ καὶ οἱ μετὰ τὴν ἐκείνου τελευτὴν, τὸ τῆς ὁμαιμότητος ἔχουσι πρὸς ἐμὲ δίκαιμα. οὐ πάντες δὲ ἅμα οἱ ἀδνάτοι εἰς τὴν τοῦ τελευτήσαντος καλοῦνται περιουσίαν, ὑπὸ τοῦ δωδεκαδέλτου νόμου, ἀλλ' οὗτοι οἵ τινες ἐγγύτερον ἐπεῖχον βαθμὸν, ὁπότε δῆλον γέγονε ἀδιάθετόν τινα τετελευτηκέναι. πῶς δὲ χρὴ τοῦτο νοεῖσθαι, προϊόντες μαθησόμεθα. ὥς τε οὖν ἐάν ἐστιν ἀδελφὸς

φος, ἐστὶ καὶ θεῖος, ἐπειδὴ ὁ μὲν ἀδελφὸς δευτέρου βαθμοῦ, ὁ δὲ θεῖος τρίτου ἐστὶ βαθμοῦ, ὁ ἀδελφὸς προτιμᾶται. οὐ μόνον δὲ γέννησις, ἀλλὰ καὶ θέσις, ἀδνατζίωνα συνίστησιν. οἷον ἐγὼ ἔχω φυσικὸν παῖδα, ἔλαβον καὶ θετὸν, καλέσουσιν οὗτοι ἀλλήλους οὐ μόνον ἀδνάτους, ἀλλὰ καὶ ὁμαίμους. εἰ δὲ ἕτερος ἀδνάτος, οἷον ὁ ἀδελφός μου, ἢ ὁ πρὸς πατρὸς θεῖος, ἢ καὶ ὁ υἱὸς, ἤγουν ὁ ἔγγονος τοῦ πρὸς πατρὸς θείου, εἰς θέσιν ἔλαβέ τινα, ἀδνατίων μεταξὺ ἡμῶν συνίσταται.

Ceterū. ¶ Ἡ κληρονομία μεταξὺ ἀῤῥένων, ἀδνατικῷ δικαίῳ καταφέρεται, εἰ καὶ μακροτέρου βαθμοῦ εἶεν πρὸς ἀλλήλους, ὁ τελευτήσας, καὶ ὁ τούτου διαδεχόμενος. καὶ ἔστι γὰρ τοῦ πρὸς πατρὸς θείου ἀπέγγονος διὰ πάντων προϊόντων ἀῤῥένων, ὃς ἐστιν ἑβδόμου βαθμοῦ. εἰ γὰρ ὁ θεῖος ἐστι γ̄ βαθμοῦ, τούτου ὁ υἱὸς δ̄, ὁ ἔγγονος ε̄, ὁ προέγγονος ϛ̄, ζ̄ εἰκότως ὁ ἀπέγ-

truus extat: quoniã frater secundo gradu est, patruus autẽ tertio: frater præfertur. Non tantùm autẽ per generationẽ, sed etiam per adoptionem, ius agnationis consistit, veluti: habeo naturalem filium, accepi & adoptiuum: hi sese mutuò nõ agnatos tantùm, sed etiam consanguineos vocabunt. Sed & si ex ceteris agnatis quispiam: veluti frater meus, aut patruus, patruive filius, vel ex filio nepos, in adoptionem aliquẽ acceperit, agnatio inter nos constituitur. ¶ Hereditas inter masculos iure agnationis defertur, etiam si longissimo inter se gradu sint defunctus & successor eius. Quoniam fieri potest, vt extet patrui abnepos: per omnes virilis sexus personas descẽdens: qui septimo gradu est: Nam patruus tertio gradu est: Filius, quarto: Nepos, quinto: Pronepos, sexto: vnde sequitur, vt abnepos sit septimo.

mo. Et hæc quidem inter masculos. Quod verò ad feminas attinet: si femina erat, quæ ad hereditatem aspirabat, tūc demum iure agnationis ad bona defuncti admittebatur, cùm soror esset consanguinea. Quòd si aut amita erat, aut fratris filia: vt agnata heres esse non poterat. Nam id in vniuersum sciēdum est, personam feminę, quæ gradum consanguinitatis excessit, iure agnationis ad hereditates non admitti. Sin verò femina erat, quæ decesserat, masculus autem ad hereditatem eius vocabatur: siue tertio, siue quarto, siue quinto gradu fuisset, heres fiebat. Qua de causa, si fratris mei vel patrui filia, aut amita mea decesserit, ego ad hereditatem eius vt agnatæ admittebar: sin autē ego decesseram, ipsæ iure agnationis ad hereditatem meam non veniebant. Hæc ideo sic erant constituta, quia commo

γένος. ταῦτα μὲν μεταξὺ ἀρρένων. εἰ δὲ θήλεια ἦν κληρονομοῦσα, τότε ἠδύνατο ἀδγνατικῷ δικαίῳ τὴν τοῦ τελευτήσαντος λαβεῖν περιουσίαν, ἡνίκα ὁμαίμος ἦν τέως ἡ ἀδελφή. εἰ δὲ ἦν θεία πρὸς πατρὸς, ἢ θυγάτηρ ἀδελφοῦ, οὐκ ἠδύνατο ὡς ἀδγνάτα κληρονομεῖν. καθόλου γὰρ ὀφείλεις εἰδέναι, ὅτι θῆλυ πρόσωπον ὑπερβὰν βαθμὸν ὁμαιμότητος, ἀδγνατικῷ δικαίῳ οὐ κληρονομεῖ. εἰ δὲ θήλεια μὲν ἦν ἡ τελευτήσασα, ἄρρεν δὲ πρόσωπον εἰς τὴν ταύτης ἐκαλεῖτο κληρονομίαν, εἴτε γ΄, εἴτε δ΄, εἴτε ε΄ ἦν βαθμοῦ, ἀδγνατικῷ δικαίῳ κληρονομεῖ, διό τοῦ ἐμοῦ ἀδελφοῦ, ἢ τοῦ θείου μου τοῦ πρὸς πατρός, ἡ θυγάτηρ, ἢ ἡ πρὸς μητρὸς θεία εἰ ἐτελεύτησεν, ὡς ἀδγνάτων ἐκληρονόμουν ἐγώ. εἰ δὲ ἐγὼ ἐτελεύτησα, αὗται ἀδγνατικῷ δικαίῳ ἐπὶ τὴν ἐμὴν οὐ παρεγίνονται κληρονομίαν. ταῦτα δὲ οὕτως ἔχει, ἐπειδὴ λυσιτε-

λέστε

λέστερον ἔδοξεν εἶναι, συνεχέστερον τοὺς ἄρρενας μᾶλλον ἐπὶ τὰς κληρονομίας καλεῖσθαι, ἢ τὰς θηλείας. ἐπειδὴ τῇ πολιτείᾳ χρειώδεις εἰσὶν οἱ ἄρρενες, πολεμοῦντες, λειτουργοῦντες, ἄρχοντες. ἀλλ' ἐπειδήπερ ἄτοπον ἐνομίσθη ἐξωθεῖσθαι αὐτὰς καθ' ὅλου τῆς τῶν τελευτησάντων διαδοχῆς ἐξωτικοὺς μιμουμένας, ὁ πραίτωρ αὐτοῖς πρὸς τὸ φύσει δίκαιον ἀφορῶν, τὴν οὖνδε κογνάτι διακατοχὴν ἐπηγγείλατο, ἐξ ἐκείνου τοῦ μέρους καλέσας αὐτὰς, ἐξ οὗ τοῖς κογνάτοις ἐφιλοτιμήσατο τὴν ἐπὶ τὴν ἐξ ἀδιαθέτου πρόσοδον, τουτέστιν ἡνίκα μηδεὶς ἀδνάτος, μηδὲ ἐγγύτερος κογνάτος εὑρίσκεται. τὸ δὲ εἰρημένον ἡμῖν, ὅτι αἱ θήλειαι ἀδνατικῷ δικαίῳ κληρονομοῦνται μὲν, οὐ κληρονομοῦσι δὲ βαθμὸν ὁμαιμότητος ὑπερβᾶσαι, οὐκ εὕρεσίς ἐστι τῆς δωδεκαδέλτου. ὁ γὰρ δωδεκάδελτος, τὴν τοῖς νόμοις συνί-

dius videbatur esse & vtilius, frequentiores ad masculos quàm ad feminas hereditates confluere: propterea quòd vtiliores se masculi præstent Reipublicæ, dũ aut bella gerũt, aut sacra faciũt, aut muneribus publicis funguntur. Verùm quoniam sanè iniquum erat, in vniuersum eas repelli à defunctorum successione, quasi extraneis similes: Prætor id quod natura æquũ est præ oculis habens, bonorum possessionem Vnde cognati eis pollicitus est: ex ea parte edicti vocans eas, qua cognatis aditum ad bona intestatorum dedit: hoc est, cùm neque agnatus vllus, neq; proximior cognatus inuenitur. Quod autem dictum est, feminas iure agnationis heredes habere, sed heredes non esse, vbi gradum consanguinitatis excedunt: nõ inuentum legis duodecim Tabularũ est. Nam lex duodecim Tabularum familiarem legibus simpli-

ctitatem amplexa, simili modo omnes tum agnatos tum agnatas, cuiuscumq; gradus essent, ad similitudinem suorũ, ad successiones defunctorũ vocabat. Verum Iurisconsulti, qui post legẽ duodecim Tabularũ venerunt, ea quidẽ posteriores, sed Principũ constitutionibus priores, subtilitate quadã adducti, prædictam differentiam commenti sunt, vt eas penitus ab agnatorum successione repellerent: donec (vt dictum est) Prætores asperitatẽ iuris ciuilis a prudentibus immistam, humaniore consilio corrigentes, vt cognatas eas ad successionem admiserũt, aut potius, quod deerat implentes (nam id eis familiare est) tertio ordine cognatorum inuento, vt cognatas eas vocarunt, bonorum possessionem, quæ Vnde cognati dicitur, illis pollicendo. At verò Imperator noster sanctissimus, æqualita-

τητι φιλῶν ἁπλότητα, ἅπαντας ὁμοίως ἀγνάτους καὶ ἀγνάτας, οἱουδήποτε εἶεν βαθμοῦ καθ' ὁμοιότητα τῶν σούων, ἐπὶ τὰ τοῦ τελευτήσαντος ἐκάλει πράγματα. ἀλλ' οἱ μετὰ τὴν δυωδεκάδελτον σοφοί, νεώτεροι μὲν ὄντες τῆς ἐκείνου νομοθεσίας, πρεσβύτεροι δὲ τῶν βασιλικῶν διατάξεων, ἀκριβείᾳ χαίροντες, τὴν εἰρημένην ἐμηχανήσαντο διαφοράν, ἐξωθοῦντες αὐτὰς καθόλου τῆς τῶν συγγενῶν διαδοχῆς. μέχρις οὗ καθὰ εἴρηται, οἱ πραίτωρες τὴν ὑπὸ τῶν σοφῶν εἰσενεχθεῖσαν τραχύτητα τῇ πολιτείᾳ, φιλανθρωποτέρᾳ διανοίᾳ διορθοῦντες ὡς κογνάτας ταύτας ἐκάλεσαν. ἢ καὶ τὸ ἐλλεῖπον ἀναπληροῦντες, τοῦτο γὰρ ἔθος αὐτοῖς, τρίτην τάξιν κογνατικὴν ἐπινοήσαντες, ὡς κογνάτας αὐτὰς ἐκάλεσαν, τὴν οὗνδε κογνάτοι διακατοχὴν αὐταῖς ἐπαγγειλάμενοι. ὁ δὲ θειότατος ἡμῶν βασιλεύς, τὴν

ἐπι

ἐπινοηθεῖσαν ἀπὸ τοῦ δυωδεκαδέλτου ἀρρένων τε καὶ θηλειῶν περὶ τὴν διαδοχὴν ἰσότητα φυλάττων, ἐπαινεῖ μὲν τῆς φιλανθρωπίας τοὺς πραίτωρας, μὴ καθάπαξ ἐκτὸς τοῦ διαδέχεσθαι τὰς θηλείας ἐάσαντας. φησὶ δὲ αὐτοὺς μὴ τελείως τὸ κατὰ τῶν θηλειῶν ἀδικίας εὑρεῖν ἴασιν. ἀτοπώτατον γὰρ εἶναι, ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ βαθμοῦ τὰς θηλείας τοῖς ἄρρεσιν συντρεχούσας, καὶ οὐ μόνον τὴν φυσικὴν ἐχούσας συγγένειαν, ἀλλὰ καὶ τὴν ἀδνατικὴν ἀποσωζούσας, μὴ κατὰ τὸν ὅμοιον τρόπον τοῖς ἄρρεσι διαδέχεσθαι, ἀλλὰ μόνας ἀδελφὰς ἀδνατικῷ δικαίῳ, ἐπὶ τὸν τοῦ τελευτήσαντος παραγίνεσθαι κλῆρον. τούτοις οὖν κινηθεὶς ὁ θειότατος ἡμῶν βασιλεὺς τοῖς λογισμοῖς, τὸ ἀρχαῖον ἀνεκαλέσατο δίκαιον, τὸ ἀπὸ τοῦ δυωδεκαδέλτου φημὶ, καὶ οἰκείᾳ διατάξει τὰ ἐξ ἀρρενογονίας συναπτόμενα τῷ τελευτήσαντι πρό-

tem inter masculos & feminas à lege duodecim Tabularum inuentam conseruans: laudat quidem Prætores humanitatis suæ, quòd nõ omnino feminas à successionibus passi sint excludi, sed negat perfectè ab eis remedium aduersus feminarum iniuriã inuentum esse. Absurdissimum enim esse, feminas quæ ex vno eodémque gradu cum maribus cõcurrant, neque solùm naturalem cognationẽ habeant, sed etiam agnatarũ nomen conseruent, non eodem modo, quo mares succedunt, ad successiones admitti, verùm solas sorores iure agnationis ad defuncti hereditatem venire. Atque his igitur rationibus motus Imperator noster sanctissimus vetera iura, ex lege (inquã) duodecim Tabularum reuocauit, & constitutione sua sanxit, vt personæ omnes, quæ per virilem sexũ defunctum contingunt, & in-

ue mares sint, siue feminæ, simili modo ad legitimæ successionis iura vocentur: quod tamen seruata vbique gradus prærogatiua fiat. Nam proximũ quẽque aut proximam his qui remotiore gradu sunt, præferri vult. Néve ideò minus iuris habeant, ꝗ gradum consanguinitatis egressæ sint: verùm vt si quis decedat, duos relinquens agnatos, eiusdem gradus: quorũ alter masculus, & altera sit femina, simul veniant: veluti verbi gratia, est filius patrui iam antea defuncti, est & filia patrui: quamuis ea & quarto in gradu sit, & consanguinitatẽ excesserit, nihilominus vnà cum fratre suo, succedet defuncto. ¶ His ita in dicta cõstitutione cautis, & illud insuper adiecit Imperator noster sanctissimus. Nam gradum vnum siue personam vnã, à iure cognationis in ordinem agnato-

σωπα, εἴτε ἄῤῥενα, εἴτε θήλεια ἴσῳ τρόπῳ εἰς τὴν λεγιτίμαν ἐκέλευσεν ἐξ ἀδιαθέτου καλεῖσθαι διαδοχήν, τῆς προτιμήσεως πανταχοῦ τοῦ βαθμοῦ σωζομένης. τὸν γὰρ ἐγγύτερον, ἢ τὴν ἐγγυτέραν, τοῦ ἐπέκεινα προτιμᾶσθαι βούλεται. καὶ μὴ διὰ τοῦτο ἐλάττονα αὐτὰς ἔχειν, ἐπειδὴ βαθμὸν ὑπερέβησαν ὁμαιμότητος. ἀλλ' ἐάν τις τελευτήσῃ, δύο συγγενεῖς καταλιπὼν τοῦ αὐτοῦ βαθμοῦ, ὧν ὁ μὲν ἄῤῥην, ἡ δὲ ἐστὶ θήλεια, ἅμα παραγινέσθωσαν. οἷον λόγου χάριν, ἔστιν υἱὸς θείου πρὸς πατρὸς προτελευτήσαντος, καὶ θυγάτηρ θείου, εἰ καὶ τοῦ δ' βαθμοῦ ἐστι, καὶ ἐξῆλθε τὴν ὁμαιμότητα, οὐδὲν ἧττον, ἅμα τῷ οἰκείῳ ἀδελφῷ τοῦ τελευτήσαντος διαδέχεται. ¶ Ταῦτα δὲ ὁ θειότατος ἡμῶν βασιλεὺς ἐν τῇ εἰρημένῃ διατάξει διατυπώσας, προστέθεικε κἀκεῖνο. βαθμὸν γὰρ ἕνα ἤτοι πρόσωπον, ἐκ τῆς κογνατικῆς τάξεως, εἰς

θ. Hoc etiã.

τὴν ἀδνατικὴν μετέθεικεν. ἐκέλευσε γὰρ ὡς ἀδνάτους, οὐ μόνον τὸν υἱὸν καὶ τὴν θυγατέρα τοῦ ἐμοῦ ἀδελφοῦ κατὰ τὰ ἤδη κεχρωῦται ἐπὶ τὴν ἐμὴν παραγίνεσθαι κληρονομίαν· ἀλλὰ καὶ τοὺς τῆς ἀδελφῆς παῖδας, εἴτε ὁμοπάτριοι εἶεν, εἴτε ὁμομήτριοι. οὐκοῦν ἐάν τις τελευτήσῃ, καταλιπὼν ἀδελφοῦ προτελευτήσαντος υἱὸν, ἢ θυγατέρα, καὶ ἀδελφῆς προτελευτησάσης, ὁμοπατρίας, ἤγουν ὁμομητρίας υἱὸν, ἢ θυγατέρα, παραγενήσονται ἐξ ἴσου καὶ διαδέξονται. οἱ μὲν ὡς θεῖον πρὸς πατρὸς, οἱ δὲ ὡς θεῖον πρὸς μητρὸς, ὥσπερ εἰ ἐξ ἀρρένων πάντες προῆλθον. ταῦτα δὲ ὡς ἤδη ἐθεματίσθη δεῖ νοεῖν, ἡνίκα οἱ ἀδελφοὶ, καὶ αἱ ἀδελφαὶ, ἐξ ὧν οὗτοι κατάγονται μὴ ζῶσι. τούτων γὰρ περιόντων, καὶ τὸν κλῆρον ἀσπαζομένων τοῦ τελευτήσαντος, οἱ ἐκ τῶν ἑπομένων βαθμῶν ἡσυχάσουσιν. εἰς δὲ τὰ εἰρημένα πρόσωπα ἐκ τῆς εἰρημένης

rum transtulit, iubens ac sanciens, non filium tantùm, aut filiam fratris mei, ad hereditatem meam, vt agnatos (sicut iã dictum est) venire: verum etiam & sororis filios, siue eiusdem patris simus, siue eiusdem matris. Siquis igitur decedat, relinquens fratris iam antè mortui filium aut filiã, & sororis quoque iam antè mortuæ (siue cõsanguinea sit, siue vterina) filium aut filiam: ex æquo venient omnes, & ex æquo succedent illi, vt patruo: hi, vt auunculo: perinde atque si per virilis sexus personas omnes cognati essent. Hæc autem ita, vt species ficta est, intellegere oportet: scilicet cùm fratres aut sorores, ex quibus hi descendunt, in viuis non sunt: Nam si illi supersint, & defuncti hereditatem amplectantur, hi, quisequentes gradus obtinent, quiescent. Porrò inter dictas personas, quas dicta constitutio inue

nit,

nit, hereditas defuncti nō in stirpes, sed in capita diuidetur. Quæ tamen exēplo aliquo explicanda sunt. Quidam excessit è viuis, relicta sorore vterina, id est, eadem matre nata, relicto & filio fratris iam tum mortui. Olim quidem filius fratris antè mortui, hæres fiebat, vt agnatus: & quamuis gradu vinceretur, nam ipse tertio erat gradu, soror secundo, tamen ordine (cùm potior is esset) vincebat. Verùm hodie ex his, quæ à Principe nostro inuenta sunt, ipsa filio fratris præferetur, ius agnatæ habens ex constitutione. Quod autem dicitur IN CAPITA, sic intellegendum est. Veluti, euênit vt intestatus morerer relictis fratris & sororis iam tunc mortuorū filiis: sed fratris quidem erāt tres aut quattuor, sororis autem vnus

διατάξεως ἐπινοηθέντα, ἡ τοῦ τελευτήσαντος παραγίνεται κληρονομία, εἰς κάπιτα μεριζομένη, καὶ οὐχὶ εἰς στίρπεις. δεῖ δὲ καὶ τὸ προειρημένον καὶ ἀρτίως λεχθὲν θεματισμῷ σαφηνίσαι. ἐτελεύτησέ τις ἀδελφὴν ὁμομήτριαν καταλιπὼν, καὶ υἱὸν ἀδελφοῦ προτελευτήσαντος. πάλαι μὲν ὁ τοῦ προτελευτήσαντος ἀδελφοῦ υἱὸς, ἐκληρονόμει ὡς ἀγνάτος. παρεγκλίνετο γὰρ ἀπὸ δυνατωτέρας τάξεως εἰ καὶ ἐπλεονεκτεῖτο τῷ βαθμῷ. αὐτὸς μὲν γὰρ τρίτου ἦν βαθμοῦ, ἡ δὲ ἀδελφὴ δευτέρου. ἀλλὰ σήμερον ἐκ τῶν ἐπινοηθέντων ὑπὸ τοῦ ἡμετέρου βασιλέως αὐτὴ προτιμηθήσεται τοῦ υἱοῦ τοῦ ἀδελφοῦ, ἀγνατικὰ κτησαμένη δίκαια ἐκ τῆς διατάξεως. τὸ δὲ ἐν κάπιτα οὕτως ἐστὶν νοεῖν. οἷον συνέβη ἐμὲ τελευτῆσαι ἀδιάθετον, καταλιπόντα ἀδελφοῦ προτελευτήσαντος, καὶ ἀδελφῆς προτελευτησάσης παῖδας. ἀλλὰ τοῦ μὲν ἀδελφοῦ ἦσαν γ ἢ δ, τῆς δὲ ἀδελφῆς

εἷς ἢ β. οὐ δεῖ λέγειν ὅτι οἱ ἀπὸ τῆς ἀδελφῆς τὸ ἥμισυ, καὶ οἱ ἀπὸ τοῦ ἀδελφοῦ τὸ ἥμισυ λαμβάνουσιν, ἀλλ' ἐν κάπιτα γίνεται ἡ διαίρεσις. καὶ οἱ μὲν ἀπὸ τοῦ ἀδελφοῦ τέσσαρες ὄντες, δ παραλαμβάνουσι μοίρας· οἱ δὲ ἀπὸ τῆς ἀδελφῆς ὄντες δύο, ἕξουσι β μέρη. ἐτελεύτησέ τις ἀδιάθετος, πολλῶν ὑπόντων ἀγνάτων διαφόρου βαθμοῦ, ὁ δυωδεκάδελτος τὸν ἐγγύτερον καλεῖ. ὥστε οὖν εἰ λόγου χάριν ὕπεστιν ἀδελφὸς τοῦ τελευτήσαντος, καὶ υἱὸς ἀδελφοῦ προτελευτήσαντος, ἢ γοῦν καὶ θεῖος πρὸς πατρὸς, ὁ ἀδελφὸς ἔσται καλλίων. ὁ μὲν γὰρ δευτέρου, ἐκεῖνοι δὲ τρίτου εἰσὶ βαθμοῦ.

l. Si plures ¶ Οὐ μόνον δὲ ἡνίκα εἷς ἐστιν ὁ ἐγγύτερος ἐπὶ τὴν κληρονομίαν καλεῖται τοῦ τελευτήσαντος, ἀλλ' εἰ καὶ πολλοὶ εἶεν ἐν τῷ πλησιάζοντι βαθμῷ πάντες ἅμα παραγίνονται. εἰ δὲ ἑνικῷ ἀριθμῷ ὁ δυωδεκάδελτος ἐχρήσατο εἰπών ἐπὶ τὸν πρόξιμον προτιμῶ. καὶ οὐκ εἶπεν ὅτι

aut duo. Non est dicendum filios sororis dimidiam partē, & filios fratris alteram dimidiam accepturos: verùm in capita fiet diuisio. Et fratris filij quū quattuor sint, quattuor partes habebunt: sororis autem, duas. Intestatus aliquis decessit, qui multos habebat agnatos, diuersis tamen gradibus: lex duodecim Tabularum proximum vocat. Itaque si, verbi gratia, & frater defuncti superest, & defuncti fratris filiu: aut etiam patruus: fratris causa potior est; hic enim in secundo, ceteri in tertio sunt gradu. ¶ Non solū autē, cum vnus proximus est, ad hereditatem defuncti vocatur, sed etiam si plures sint in proximo gradu, omnes simul veniēt, quamuis singulari numero lex duodecim Tabularum vsa sit, dicēdo: Proximum præfer-

ri, neque dixerit Proximos. Si defunctus igitur tres habeat fratres, & fratris iā antè mortui filium: tres illi fratres, heredes erūt victo fratris antè defuncti filio. Et rursus, quod lex duodecim Tabularum dicit Proximi, id propriè plurium graduum comparationem significat. Atqui quamuis id verbi significatio ostendat, attamen licet vnus tantùm extet gradus, locus est legi duodecim Tabularum proximum gradum vocāti, veluti, Decessit aliquis relicto patruo, nec vllos habens alios agnatos: patruus vt proximus succedit, etiam si non sit alius gradus, cuius comparatione is proximus fit. ¶Verùm enimuerò, si quis nullo facto testamento decesserit, ille vt proximus admittitur, qui eo tempore, quo is mortuus est, de cuius hereditate agitur, proximus ei erat. Quòd si quis testatus decesserit, tūc

τοὺς προξίμους. οὐκοῦν ἐὰν εἰσὶ τρεῖς ἀδελφοὶ τῷ τελευτήσαντι, καὶ παῖς ἑνὸς προτελευτήσαντος ἀδελφοῦ, οἱ γʹ ἀδελφοὶ κληρονομήσουσιν, τὸν τοῦ προτελευτήσαντος ἀδελφοῦ παῖδα νικῶντες. καὶ πάλιν τὸ εἰρημένον τῷ δωδεκαδέλτῳ πρόξιμοι, τοῦτο σημαίνει κυρίως πλειόνων βαθμῶν σύγκρισιν. τουτέστιν οἱ ἐγγύτεροι. πλὴν εἰ καὶ ἡ σημασία τοῦ ῥήματος ὑποφαίνει τοῦτο, ἀλλ' οὖν εἰ καὶ εἷς ὑπόκειται βαθμὸς. χώρα τῇ ἀπὸ τοῦ δωδεκαδέλτου κλήσει. οἷον ἐτελεύτησέ τις, θεῖον μόνον πρὸς πατρὸς καταλιπὼν, οὐκ ἔχων ἕτερον συγγενῆ, ὁ θεῖος ὡς πρόξιμος παραγίνεται, καίτοι οὐκ ὄντος ἑτέρου βαθμοῦ πρὸς ὃν οὗτος συγκρίνεται. ¶ Ἀλλ' εἰ μέν τις ἀδιάθετος τελευτήσῃ, ἐκεῖνος ὡς πρόξιμος παραγίνεται, ὃς κατὰ τὸν καιρὸν τῆς τελευτῆς ἦν ἐγγύτατος τῷ κληρονομουμένῳ. εἰ δὲ διαθέμενός §. Proxim⁹.

θέμενός τις τελευτήσῃ, ζητοῦμεν ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐν ᾧ δῆλον γέγονε, μηδένα ἐκ διαθήκης γενέσθαι τῷ τελευτήσαντι διάδοχον, τίς ἦν ἐγγύτερος. τότε γὰρ κυρίως λέγεται ἀδιάθετος τεθνάναι. τοῦτο δὲ ἔσθ' ὅτε διὰ πολλοῦ δηλοῦται χρόνου, ἐν ᾧ διαστήματι συμβαίνει πολλάκις, ὥς τε τὸν κατὰ τὸν καιρὸν τῆς τελευτῆς μακρότερον ὄντα βαθμοῦ, ἐγγύτερον γενόμενον κληρονομεῖν. οἷον ἐτελεύτησέ τις ἐξωτικὸν γράψας κληρονόμον, ὑπόντος ἀδελφοῦ, ὑπόντος δὲ καὶ θείου πρὸς πατρός. ὁ γραφεὶς κληρονόμος διεσκέπτετο εἰ δεῖ προσελθεῖν. ἐν τῷ μεταξὺ ἀπέθανεν ὁ ἀδελφὸς τοῦ διαθεμένου. ἐρεπουδιάτευσε μετὰ ταῦτα ὁ ἐξωτικὸς τὴν κληρονομίαν, παραγίνεται ὁ θεῖος ὡς ἐγγύτερος. νῦν γὰρ ὁ τελευτήσας ἀπεδείχθη ἀδιάθετος. διὰ γὰρ τὸ μηδένα ἐκ τῆς γραφῆς ἐπὶ τὴν κληρονομίαν παραγενέσθαι,

quis proximus fuerit eo tempore, quo certum factum est, neminem defuncto heredem ex testamento extaturum, quærimus. Nam tūc propriè dicitur quisqs intestatus decessisse. Id autem longo pòst tempore aliquando certum fit. In quo tēporis interualio nō nunquam accidit, vt qui mortis tempore remotiore erat gradu, iam proximum gradum obtinens, ad hereditatē vocetur, veluti, Decessit aliquis extraneo herede instituto: extante fratre, extante & patruo. Heres scriptus deliberabat, num adeunda sibi esset hereditas: & medio tempore frater defuncti diem obiit. Extraneus deinde hereditatem repudiauit: patruus, vt proximus vocatur. Quoniam nunc demum certū factum est, defunctū intestatū esse. Cùm enim nemo ex testamento ad hereditatem venerit, proxi-

mus

mus inuentus est patruus: quamuis alius mortis tempore eũ præcederet: propterea, quòd tunc frater defuncti extabat. ¶In hoc autem genere percipiendarũ iure agnationis hereditatum, lex duodecim Tabularum successionem non nouit: id est, negamus eo, q proximus est, vel hereditatem repudiante, vel antequam adiret mortuo: eum, qui sequẽti gradu est, legitimo iure admitti ad hereditatem. Veluti: Decessit aliquis intestatus, extãte fratre, extante & patruo. Frater vocabatur, nimirum vt proximus: si modo contingat vt frater, aut antequam adeat, decedat: aut hereditatem repudiet, patruus aut agnatus venire non poterit: propterea quòd lex duodecim Tabularum Successionem nesciat. At Prætor erratum legis duodecim Tabularum corrigens, non perfectũ quidem ille, auxiliũ tamẽ aliquod tulit: quoniam patruum

ἐγγύτερος εὑρέθη ὁ θεῖος, καί τοι περιλαμβανόμενος κατὰ τὸν καιρὸν τῆς τελευτῆς, διὰ τὸ ἀδελφὸν ὑπεῖναι τότε τῷ τελευτήσαντι. ¶Ἐπὶ τῆς ἀδελφικῆς διαδοχῆς, οὐκ οἶδεν ὁ δυωδεκάδελτος συγκεσσίωνα. τουτέστιν οὐ λέγομεν ὅτι τοῦ ἐγγυτέρου, ἢ πρὸ τῆς ἀδιτζίωνος τελευτήσαντος, ἢ ῥεπουδιατεύσαντος τὴν κληρονομίαν, ὁ τοῦ ἑπομένου βαθμοῦ λεγίτιμος κληρονομεῖ, οἷον ἐτελεύτησέ τις ἀδιάθετος ὑπόντος ἀδελφοῦ, ὑπόντος δὲ καὶ θείου πρὸς πατρός. ὁ ἀδελφὸς ἐκαλεῖτο, δηλονότι ὡς ἐγγύτερος, ἐὰν συμβῇ τὸν ἀδελφὸν πρὸ ἀδιτζίωνος τελευτῆσαι, ἢ ῥεπουδιατεῦσαι τὴν κληρονομίαν, ὡς ἀδύνατος ὁ θεῖος οὐ παραγγυήσεται, διὰ τὸ ἀγνοεῖν συγκεσσίωνα τὸν δυωδεκάδελτον. ἀλλ' ὁ πραίτωρ τὸ πταῖσμα τοῦ δυωδεκαδέλτου διορθῶν, ἀτελῶς μὲν, πλὴν ἐπενόησέ τινα βοήθειαν. τὸν γὰρ θεῖον ἐκάλεσεν ἐν

θ. Placebat.

τῆς κογνατικῆς τάξεως, διὰ τὸ ἀσθενῆσαι τὰ ἀδνατικὰ δίκαια, ἐκ τοῦ μὴ εἶναι συκκεσσίονα. ὁ δὲ θειότατος ἡμῶν βασιλεὺς, διὰ πάντων τελείας τὰς νομοθεσίας εἶναι σπουδάζων, τέθεικε διάταξιν, ἐν ᾗ περὶ τῶν πατρωνικῶν διελέχθη δικαίων. καὶ φιλανθρώπῳ διανοίᾳ τοῦτο σκοπήσας ἐκέλευσεν, ὥστε συκκεσσίονα ἐπὶ τῶν ἀδνατικῶν εἶναι κληρονόμων. ἀνόητον γὰρ ἐνόμισεν εἶναι, ὅπερ τοῖς κογνάτοις ὁ πραίτωρ ἐφιλοτιμήσατο· ἔστι γὰρ ἐπ' αὐτῶν συκκεσσίων· τοῦτο μὴ προσεῖναι τοῖς ἀδνάτοις, καὶ μάλιστα ὁπότε περὶ τὸ βάρος τῆς ἐπιτροπῆς ἐστι ſucceſſio. εἰ γάρ τις ἄνηβος ἐστὶ, καὶ δύο ὑπάρχουσιν ἀδνάτοι, ἀδελφὸς, καὶ θεῖος, ὁ ἀδελφὸς κληθήσεται ὡς ἐγγύτερος ἐπὶ τὴν ἐπιτροπήν. εἰ δὲ καὶ τελευτήσει, καὶ τούτῳ τῷ τρόπῳ ὁ δεύτερος ἀπογένηται βαθμὸς, χώρα γίνεται τῇ ſucceſſioni, καὶ λεγίτιμος ὁ θεῖος ἐπίτροπος γενήσεται. ὅπερ τοίνυν ἐπὶ τοῦ βάρους τῆς

ex cognatorum ordine vocauit: vtpote agnationis iure nihil hic valente, cùm ſucceſsio locum nõ habeat. Imperator verò noster ſanctiſſimus, in omnibus perfecta eſſe iura cupiens: constitutionẽ emiſit, in qua de iure patronatus diſſeruit: & humanitate ſuggerente ſanciuit, vt & in agnatorũ hereditatibus eſſet ſucceſsio. Abſurdum enim putauit eſſe, quod cognatis à Prętore cõceſſum eſſet (eſt enim inter eos ſucceſsio) id agnatis non adeſſe: quum præſertim onus tutelæ ſucceſsionem habeat. Nam ſi quis impubes ſit, & duo ſuperſint agnati, frater & patruus: frater vt proximus ad tutelam vocabitur. Si verò & is decedat, quoniam hoc modo ſecundus gradus deficit, locus fiet ſucceſsioni, & patruus legitimus erit tutor. Quod igitur in

ἐπι-

onere tutelæ obtinebat, absurdum erat, in lucro hereditatis non obtinere.

¶ Ex ordine legitimorũ, ad filij hereditatẽ & defuncti pater vocatur, qui specialiter contracta fiducia, filium filiámve, nepotẽ neptémve, ac deinceps emãcipauit. Hodie verò ex cõstitutione Imperatoris nostri, superuacuum est, specialiter contracta fiducia emancipare: quoniam id præsumptum vult esse dicta constitutio, & tacitè sequi, vt in emancipando contracta esse fiducia intellegatur.

ἐπιτροπῆς ἐκράτει, ἄτοπον ἦν, μὴ καὶ ἐπὶ τοῦ κέρδους τῆς κληρονομίας κρατεῖν. ¶ Ἐκ τῆς τάξεως τῶν λεγιτίμων, ἐπὶ τὰ πράγματα τοῦ υἱοῦ, ὁ τοῦ τελευτήσαντος καλεῖται πατήρ, ὅς τις ἰδικῶς contracta fiducia, τὸν υἱὸν ἢ τὴν θυγατέρα, ἢ ἔγγονον, ἢ ἐγγόνην, καὶ τοὺς μετὰ ταῦτα ἐμαγκιπάτους ἐποίησε. σήμερον δὲ ἐκ τῆς τοῦ ἡμετέρου βασιλέως διατάξεως περιττὸν τὸ ἰδικῶς cõtracta fiducia ποιεῖν ἐμαγκίπατον. περιλήψει γὰρ καὶ σιωπηρῶς ἐνεῖναι τοῦτο βούλεται ταῖς ἐμαγκιπατζίωσιν ἡ εἰρημένη διάταξις.

8. Ad legitimam.

---

## DE S.C. TERTVLLIANO.
### Titul. III.

Ex his quæ suprà dicta sunt, satis cognosci possunt legis duodecim Tabularum sollemnitates, & angustiæ circa hereditates. Nam & emancipatos, à parentum suorum successione reiecit, veluti quæ

Ἐκ τῶν εἰρημένων ἐν τοῖς προλαβοῦσιν ἔγνωμεν τὴν τοῦ δωδεκαδέλτου ἀκρίβειαν, καὶ στενότητα περὶ τῆς κληρονομίας. ἐξέβαλε μὲν γὰρ τοὺς ἐμαγκιπάτους τῆς τῶν πατέρων διαδοχῆς, οὐκ ἔτι γινώσκων

αὐτοὺς, διὰ τὴν συμβᾶσαν κάπιτις δεμινουτζίωνα. προετίμα δὲ καὶ τοὺς ἐξ ἀρρενογενείας τῶν ἐκ θηλειῶν προελθόντων, οὐκ ἐπιτρεπόμενος ἐπὶ τοσοῦτον, ὅτι οὐδὲ μήτηρ τὸν υἱὸν, ἢ τὴν θυγατέρα ἀδιαθέτους τελευτῶντας διεδέχετο, οὐδὲ μὴν ὑπ' αὐτῶν ἐκληρονομεῖτο. ἀλλ' ὁ πραίτωρ θάλπων πανταχοῦ τὴν φύσιν, ἐκ τῆς κογνατικῆς τάξεως, εἰς τὴν ἀλλήλων διαδοχὴν τούτους ἐκάλει, τὴν ὕνδε κογνάτι διδοὺς αὐτοῖς διακατοχήν. αὕτη δὲ ἡ τοῦ νόμου στενότης, ἔτυχε μετὰ ταῦτα διορθώσεως. καὶ πρῶτον μὲν ὁ θειότατος κλαύδιος τῇ μητρὶ πρὸς παραμυθίαν τῶν τελευτησάντων παίδων λεγίτιμαν δέδωκε διακατοχήν. χρόνῳ δὲ ὕστερον δόγμα γέγονε τερτυλιάνειον, ἐπὶ τῆς ἀδριανοῦ βασιλείας, τελειότερον περὶ τούτου νομοθετοῦν. καὶ θρηνούσῃ τῇ μητρὶ τὴν τῶν παίδων ἀποβολὴν, λεγίτιμαν ἐχαρίσατο διαδο-

eos non agnosceret, ob sequutam capitis deminutionē: & eos, qui per virilis sexus personas coniunguntur, his qui ex feminis descēdunt, prætulit quasi ignotis, adeò vt nec mater filio filiæve intestatò mortuis succederet, nec eius rursus hereditas ad ipsos deuolueretur. Prætor autem vbique fouens naturam, ex cognatorum proximitate, vltrò citróque bonorum possessionis petendæ, per caput, Vnde cognati, ius ipsis dabat. sed hæ iuris angustiæ postea emendationem consequutæ sunt. Et primò quidem D. Claudius matri in solatium amissorum liberorum, legitimam eorum dedit hereditatem. Post tempus aliquod factum est S. C. Tertullianum, regnante Hadriano, quo perfectiùs huic rei perspectum est, & matri amissos liberos lugenti, legitima eorum hereditas data est: quod tamen

meauit concessum non est. Dixit enim: si filius decedat relicta matre, eam, si ingenua sit, & ius trium liberorum habeat, aut libertina, & quattuor liberorum ius habeat, vt agnatam ad bona liberorum (siue masculi sint siue feminæ) intestatò mortuorum admitti, nō solùm cùm sui iuris est mater, sed etiam cùm in parentis sui potestate est: sic tamen vt iussu eius adeant, cuius iuri subiectæ sunt. ¶ Præferuntur autem matri, liberi eius qui defunctus est. Nam si quis decedat, & matrem relinquens & liberos: liberi vocantur, siue sui sint, siue loco suorum: quod genus sunt emancipati: siue primi gradus sint, siue secundi, siue infra secundum. Sed & femina defuncta, liberi defunctæ auiam suam ab hereditate excludit. Masculus aliquis aut etiam fe

χλὼν, τῇ μάμμῃ τοῦτο μὴ φιλοτιμησάμενος. εἶπε γὰρ ἐὰν τελευτήσῃ παῖς, μητέρα καταλιπὼν, εἰ μὲν εἴη εὐγενὴς, καὶ τριῶν παίδων ἔχει δίκαιον, εἰ δὲ ἀπελευθέρα τεσσάρων, ὡς ἀγνάταν ἐπὶ τὰ τῶν παίδων ἀρρένων τε καὶ θηλειῶν ἀδιαθέτων τελευτώντων παραγίνεσθαι πράγματα. οὐ μόνον ἐὰν αὐτεξούσιος ἐστὶν ἡ μητὴρ, ἀλλ᾽ εἰ καὶ τελεῖ ὑπὸ τὴν τοῦ ἰδίου πατρὸς ὑπεξουσιότητα, οὕτω μέν τοι ὥστε κατὰ κέλευσιν τοῦ πατρὸς ἀδιτεύειν αὐτάς.

¶ Προτιμῶνται δὲ τῆς μητρὸς ἐν τῇ κληρονομίᾳ, τοῦ τελευτήσαντος οἱ παῖδες. εἰ γάρ τις παῖδας καὶ μητέρα καταλείψας τελευτήσει, οἱ παῖδες παραγίνονται, εἴτε σοῦοι εἰσὶν, εἴτε ἐν τάξει τῶν σούων, ὁποῖοι εἰσὶν οἱ ἐμαγκιπάτοι, εἴτε πρώτου βαθμοῦ, εἴτε δευτέρου, εἴτε ἐπέκεινα. εἰ δὲ θήλεια ἐστὶν ἡ τελευτήσασα, οἱ τῆς τελευτησάσης παῖδες οὐκ ἐῶσι κληρονομῆσαι τὴν ἰδίαν μάμμην. ἄρρην, ἢ καὶ θήλεια ἐπελευ-

¶. Præferuntur.

ἐτελεύτησε. ὑπῆν δὲ πατὴρ ᾧ οὐκ ἦσαν ὑπεξούσιοι, ὑπῆν δὲ καὶ μήτηρ, ὁ πατὴρ προτιμηθήσεται. εἰ δὲ πάππος ὑπῆν, ἢ πρόπαππος ᾧ οὐκ ἦσαν ὑπεξούσιοι, τότε ἡ μήτηρ προτιμᾶται, πρὸς αὐτοὺς μόνη ἀγωνιζομένη περὶ τοῦ κλήρου. καὶ ἀδελφὸς δὲ ὁμαίμος τοῦ τελευτήσαντος, ἢ τῆς τελευτησάσης, τὴν αὐτῶν προτιμᾶται μητρός. εἰ γὰρ εἴη ὁμαίμος ἀδελφὴ συναναπέμπεται. τουτέστιν ἐξ ἴσου κληρονομεῖ. εἰ δὲ ὑπῆσαν ἀδελφὸς καὶ ἀδελφὴ, καὶ μήτηρ, ὁ μὲν ἀδελφὸς προετιμᾶτο τῆς μητρός, καὶ ταῦτα ἐχούσης δίκαιον παίδων. κοινὴ δὲ ἡ κληρονομία μεταξὺ τῶν ἀδελφῶν καὶ τῆς ἀδελφῆς ἐγίνετο. ὥστε εἰ ὑπῆν μόνος ἀδελφὸς τῷ τελευτήσαντι, ἢ καὶ ἀδελφὸς, καὶ ἀδελφὴ, καὶ μήτηρ, ἀπεκλείετο ἡ μήτηρ. εἰ δὲ ἀδελφὸς μὲν οὐκ ὑπῆν, ἀδελφὴ δὲ μόνη καὶ μήτηρ, τότε ἐξαούγκιον μὲν ἡ μήτηρ, ἐξαούγκιον δὲ ἡ ἀδελ-

mina decessit: extabat autem pater, in cuius potestate non erant, extabat & mater: pater præfertur. Sin autem auus vel proauus extabat cuius iuri non erant subiecti, tunc mater præfertur, scilicet cùm inter eos solos de hereditate agitur. Frater quoque consanguineus defuncti fratris, aut defunctæ sororis, matrem eorum excludit. Soror verò consanguinea pariter cum matre admittitur: id est, ex æquis partibus heredes fiunt. Quòd si & frater & soror & mater extabat, frater matri quamuis ius liberorum habenti, præferebatur. Et cõmunis erat hereditas ex æquis partibus inter fratres & sorores. Sic igitur si aut solus frater defuncto extabat, siue & frater & soror & mater, excludebatur mater. Sin autem frater non extabat, sed sola soror & mater, tunc & mater semissem & semissem soror habebat.

¶ Sed

¶ Sed hæc quidem olim. Verùm edita est Imperatoris nostri constitutio, quę & Codici eius inserta est, qua constituit tū ad naturā ipsam, tum ad puerperiorum discrimé, quod interdum & morté adducit, respiciens, vt matri auxilium prestaretur. Impium enim esse duxit, ea quę forte fortuna, nec ex volūtate matris accidunt, in detrimentum eius conuerti. Etenim si non contigisset, vt ingenua mater tres liberos: aut libertina, quattuor pareret, nullo suo merito à successione defuncti repellebatur. Quod enim peccatum eis imputabatur, quòd non tres aut quattuor peperissent, per quos legitimo iure ad hereditates admitti poterant, sed eum tantùm aut eam, qui quæ've nunc fato functus functáve est? ¶ Sed & quum Principum quorundam, qui paucis abhinc annis regnarunt, cōstitutiones de legitima successione tra-

φὴ λήψεται. ¶ Ἀλλὰ ταῦτα μὲν τὸ παλαιόν. διάταξις δὲ γέγονε τοῦ ἡμετέρου βασιλέως, ἥτις καὶ τῷ οἰκείῳ αὐτοῦ ἐμφέρεται κώδικι, δι᾽ ἧς παρεκελεύσατο πρὸς τὴν φύσιν ὁρῶν, καὶ πρὸς τὸν τῆς λοχείας κίνδυνον, ὃς ἔσθ᾽ ὅτε καὶ τελευτὴν ἐπάγει, βοηθεῖσθαι τὴν μητέρα, ἀσεβέστατον εἶναι νομίσας, ζημίαν αὐτῇ προσφέρειν τὸ ἐκ τύχης, καὶ μὴ κατὰ γνώμην συμβαῖνον. εἰ γὰρ μὴ συμβῇ τὴν εὐγενῆ μητέρα τρεῖς, τὴν δὲ ἀπελευθέραν δ̄ τεκεῖν παῖδας, οὐ δικαίως τῆς τοῦ τελευτήσαντος ἐξωθεῖτο διαδοχῆς. ποῖον γὰρ αὐταῖς ἐνομίζετο πταῖσμα, εἰ μὴ γ̄ ἢ δ̄ τέτοκε, δι᾽ ὧν ἠδύνατο λεγιτίμῳ δικαίῳ κληρονομεῖν, ἀλλὰ τὸν τελευτήσαντα, ἢ τὴν τελευτήσασαν μόνους; ¶ Ὁπότε δὲ αἱ τῶν πρὸ βραχέως βεβασιλευκότων διατάξεις, περὶ λεγιτίμου διαδοχῆς διαλεγόμεναι ποτὲ ἐβοήθουν τῇ μητρί, ποτὲ

δὲ

θ. Sed nos.

θ. Sed cum antea.

δὲ ταύτην ἐβάρυνον, οὐκ εἰς ὁλόκληρον αὐτῇ τὴν τῶν παίδων φιλοτιμησάμενοι διαδοχήν, ἀλλ' ἔν τισιν θέμασιν, οἷον ἡνίκα δίκαιον εἶχε παίδων, τὸ τρίτον αὐτῆς ἀφαιρούμενοι, ῥητοῖς παρεῖχον προσώποις. λεγιτίμου δὲ αὐτὴν ἀπορούσαν δικαίου, ἐκ τοῦ ἐναντίου, φανερᾷ παρεμυθοῦντο μοίρᾳ τῆς κληρονομίας. ἵνα δὲ σαφέστερον ᾖ τὸ λεχθέν, ὡς ἐπὶ θέματος ἀναγκαῖον εἰπεῖν. εἰ συνέβη τελευτῆσαι τινὰ ἔχοντα μητέρα δικαίῳ παίδων κεκοσμημένην, ὑπῆν δὲ θεῖος λεγίτιμος, ἢ τούτου υἱὸς θείου, ὀκτὼ μὲν οὐγκίας ἐλάμβανεν ἡ μήτηρ. ὁ δὲ θεῖος, ἢ τούτου ὁ τοῦ θείου υἱὸς τέσσαρας. εἰ δὲ ἐκ τοῦ ἐναντίου οὐκ εἶχε δίκαιον παίδων ἡ μήτηρ, ὁ μὲν θεῖος, ἢ τούτου ὁ τοῦ θείου υἱὸς, ἐλάμβανεν ὀκτὼ οὐγκίας ἡ δὲ μήτηρ τέσσαρας. ὁ δὲ θειότατος ἡμῶν βασιλεὺς ἐξ εὐθείας καὶ ἁπλουστάτης ὁδοῦ, τὴν μητέρα πάντων προε-

ctantes, aliàs matrē iuuarent, aliàs premerent, non insolidum eam ad hereditatem liberûm vocã tes, sed quibusdam in casibus, (veluti quum ius liberorũ habebat) tertiã partem ei ablatam certis personis darent. Porrò in aliis, quum legitimo iure non poterât admitti, certa portione consolarentur. Quod vt melius apertiúsque intellegatur, exemplo siue specie ad rem confictam, ostendendum est. Si contigisset, vt quis decederet relinquens matrem iure liberorũ cohonestatam, superesset autẽ & patruus qui est legitimus, aut patrui filius: mater octo capiebat vncias siue bessem hereditatis, patruus autem aut eius filius trientem, hoc est, quattuor vncias. Quòd si ex contrario ius liberorum mater nõ habuisset, tunc patruus aut filius eius bessem hereditatis capiebat, at mater trientem solum.

Ideo imperator noster sanctissimus re-

cti

ta simplicique via, matrẽ omnibus personis legitimis anteposuit, & sine deminutione vlla, liberorum suorum eis successionem præbuit, excepta fratris & sororis persona, siue cōsanguinei sint defunctis, siue sola cognationis iura cum eis habeant. Nam quemadmodũ eam toti alij ordini legitimorum Imperator anteposuit: ita quemuis fratrem & quamuis sororem, etiam si legitimi nō sint, ad hereditates vnà cum ipsa vocauit. Sic tamen, vt si solę sorores (siue agnationis siue cognationis iura habeant) & mater defuncti vel defunctæ supersint, dimidiam quidem mater defuncti vel defunctæ, alteram verò dimidiam, omnes sorores habeant: veluti, Decessit aliquis relinquens matrem, relinquẽs & duas aut tres sorores: semissem quidem mater, semissem verò oẽs sorores habebunt. Quòd si defunctæ

τίμησε τῶν λεγιτίμων, ἀμείωτον τὴν τῶν τελευτησάντων παίδων αὐτῇ παρέχων διαδοχὴν, ἐξῃρημένου ἀδελφοῦ καὶ ἀδελφῆς, εἴτε εἶεν ὁμαίμιοι τοῖς τελευτήσασιν, εἴτε κογνατικὰ πρὸς αὐτοὺς ἔχοιεν δίκαια. ὥσπερ γὰρ πάντων τῶν λοιπῶν λεγιτίμων αὐτὴν προετίμησεν ὁ βασιλεὺς, οὕτω πάντα ἀδελφὸν, καὶ πᾶσαν ἀδελφὴν, εἰ καὶ μὴ εἶεν λεγίτιμοι, ἅμα αὐτῇ ἐπὶ τὴν κληρονομίαν ἐκάλεσεν. οὕτω μέντοι, ἵνα εἰ μὲν μόναι εἴησαν ἀδελφαὶ, ἀδνατικὰ ἢ καὶ κογνατικὰ ἔχουσαι δίκαια, καὶ μήτηρ τοῦ τελευτήσαντος ἢ τῆς τελευτησάσης· τὸ μὲν ἥμισυ, ἡ μήτηρ τοῦ τελευτήσαντος, ἢ τῆς τελευτησάσης, τὸ δὲ ἕτερον ἥμισυ, πᾶσαι λάβοιεν αἱ ἀδελφαί. οἷον ἐτελεύτησέ τις ὑπαρχούσης τῆς μητρὸς, ὑπαρχουσῶν δὲ καὶ δύο ἢ τριῶν ἀδελφῶν θηλειῶν, ἑξαύγκιον μὲν ἡ μήτηρ, ἑξαύγκιον δὲ αἱ πᾶσαι ἀδελφαὶ λήψονται. εἰ δὲ περίεσιν

ἀδελ

ἀδελφὸς τῷ τελευτήσαντι προσώπῳ, ἢ γοῦν ἀδελφή, ἢ ἀναμὶξ ἀδελφοὶ καὶ ἀδελφαὶ κογνατικὰ περιεχόμενοι ἢ περιεχόμεναι δίκαια, ἐν κάπιτα ἡ κληρονομία διαιρείσθω. ὥστε οὖν ἀδελφοῦ μὲν μὴ ὑπόντος, ἡ μήτηρ τὸ ἥμισυ πάντως λήψεται. αἱ δὲ ἀδελφαὶ ὅσαι δήποτε εἰσίν, ἀντὶ μιᾶς παραλαμβάνονται. ἀδελφοῦ δὲ ὑποκειμένου, οὐκ ἔτι αἱ πολλαὶ ἀδελφαὶ τάξιν ὑπέχουσι μιᾶς.

¶. Sed quē admodum.

¶ Ὥσπερ δὲ τῆς μητρὸς ἐποιήσατο πρόνοιαν ὁ θειότατος ἡμῶν βασιλεύς, οὕτω κελεύει καὶ αὐτὴν τῶν οἰκείων φροντίδα ποιεῖσθαι παίδων. παρεγγυᾷ γὰρ αὐταῖς ἀνήβοις οὖσι τοῖς παισί, καὶ κηδεμόνος ἀποροῦσιν, ἡνίκα μὴ ἐστὶν ἐπίτροπος τὴν ἀρχήν, ἢ χειροτονηθείς τις ἐξκουσατζίονι ἐχρήσατο, ἢ ὡς σούσπεκτος ἀπεκινήθη, ὥστε αἰτεῖν ἐπίτροπον, καὶ μὴ ἀπρονοήτους αὐτοὺς καταλιμπάνειν. δέδωκε δὲ αὐτῇ χρόνου ἐντός, ἔχειν παρρησίαν τοῖς παισὶ

persone frater super est, aut fratres, vel vna & fratres & sorores: quamuis tantùm cognationis iura habentes, in capita distribuenda est hereditas. Sic igitur fratre non extante, mater dimidiā prorsus partem accipit, & sorores quotcumque sint, pro vna tātùm habētur: fratre verò superstite, non item sorores locum vnius obtinent.

¶ Porrò autem quēadmodum & matri consultum prospectúmque est per Imperatorem nostrum sanctissimum: sic & eam curā liberorū suorum gerere iubet. Hortatur enim eas, si impuberes habeant liberos, qui rectore egeant, cùm neque initio vllus tutor datus est, aut qui decretus est, vel excusatione est vsus, vel vt suspectus remotus, vt tutorem petant, neque eos sine gubernatore relinquant. Datum est autem his tempus,

intra quod liberis tutorem petere possint, nempe vnius anni. Quòd si matres liberis suis pupillis tutores intra annũ petere neglexerint, & hi impuberes decesserint: hereditates eorum matres non capient. Absurdum enim est, eam quę liberos suos auxilio destitutos non adiuuit, eorũ successione frui. ¶Vocatur autem mater ad bona filij ex S. C. Tertulliano, etiam si ex meretricio concubitu defunctum filiũ conceperit.

παισὶ αἰτεῖν ἐπίτροπον, τουτέστιν εἴσω ἐνιαυτοῦ. εἰ δὲ ῥαθυμήσουσιν αἱ μητέρες εἴσω τοῦ ἐνιαυτοῦ ἐπίτροπον αἰτῆσαι τοῖς πουπίλλοις, ἄνηβοι δὲ ἄχρι τελευτήσουσιν, οὐ κληρονομήσουσιν αὐτοὺς αἱ μητέρες. ἄτοπον γάρ ἐστιν ἀβοηθήτους καταλιποῦσαν τὸν παῖδα, τῆς τούτου διαδοχῆς ἀπολαύειν. ¶Καλεῖται δὲ εἰς τὰ τοῦ παιδὸς πράγματα, ἀπὸ τερτυλλιανείου δόγματος, εἰ καὶ ἀπὸ πορνείας ἔσχε τὸν τελευτήσαντα παῖδα. θ. Licet.

---

## DE S. C. ORFITIANO. Titul. IIII.

Diximus suprà, neque matrẽ ad bona liberorum, neq; liberos ad bona matris, ex lege duodecim Tabularum vocari solitos. Sed à Pretore eis vltrò citròque ex proximitate cognatorum ius petẽdę bonorũ possessionis datũ fuisse. Diximus itẽ successu temporis factum esse S. C. Tertullianum, quod ma

Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν, ὡς ὁ δωδεκάδελτος, οὐδὲ μητέρα εἰς τὰ τῶν παίδων, οὐδὲ παῖδας εἰς τὰ τῆς μητρὸς ἐκάλει πράγματα. ἀλλ' ὁ πραίτωρ ἐπενόησεν αὐτοῖς τὴν κογνατικὴν διαδοχήν. εἰρήκαμεν δὲ ὅτι προϊόντος τοῦ χρόνου, δόγμα τερτυλλιάνειον ἐγένετο, τὸ παρέχον τῇ μητρὶ λεγίτιμα δίκαια,

ἐπὶ τῇ τῶν παίδων διαδοχῇ. ὅπερ καὶ τελείαν ἐδέξατο διόρθωσιν, ἐκ διατάξεως τοῦ ἡμετέρου βασιλέως, ὡς ὁ προλαβὼν ἐδίδαξε τίτλος. κατὰ μίμησιν δὲ τοῦ τερτυλλιανείου, γέγονε δόγμα τὸ λεγόμενον ὀρφιτιάνειον, ἐπὶ ὀρφιτίου καὶ ῥούφου τῶν ὑπάτων ἐκφωνηθὲν, μάρκου βασιλεύοντος. δι' οὗ δέδοται, τοῦτο μὲν υἱῷ, τοῦτο δὲ θυγατρὶ, λεγίτιμα δίκαια, εἰς τὴν μητρῴαν διαδοχὴν, εἰ καὶ εἶεν ὑπεξούσιοι. προτιμῶνται δὲ καὶ τῶν ὁμαίμων αὐτῆς ἀδελφῶν, καὶ τῶν λοιπῶν ἀδνάτων. τοῦτο δὲ τὸ δόγμα ἐγγόνοις οὐ βοηθεῖ. ὥσπερ γὰρ οὐκ ἔχει ἡ μάμμη τὸ τερτυλλιάνειον, οὕτως οὐδὲ οἱ ἔγγονοι τὸ ὀρφιτιάνειον. ἀλλὰ ἔτυχε διορθώσεως τὸ ὀρφιτιάνειον ἐκ τῶν βασιλικῶν διατάξεων. αὗται γὰρ παρακελεύονται, κατὰ μίμησιν υἱοῦ καὶ θυγατρὸς, καὶ ἔγγονον καὶ ἐγγόνην ἐπὶ τὰ τῆς μάμμης παραγίνεσθαι πράγματα. ¶ Τοῦ-

8. Sciendū

ti in liberorum hereditatibus legitimę successiõis iura preberet. Quę res tandē perfectam ex constitutione Imperatoris nostri emendationē accepit, sicut precedens titulus docuit. Porrò ad similitudinem S. C. Tertulliani, factū est & S. C. quod Orfitianū vocatur, imperante D. Marco, Orfitio & Rufo Coss. p quod & filio & tum filię in materna successione datum est ius legitimę hereditatis etiam si alieno iuri subiecti sint. Preferūtur autem & consanguineis fratribus, & ceteris agnatis defunctę matris. Verū S. C. hoc nepotibus opem non fert. Quē admodū enim auia ex Tertulliano non vocatur, ita nec nepos ex Orfitiano. Sed tamen ex Principum constitutionibus emendationem S. C. Orfitianum accepit. His enim cautum est, vt ad similitudinem filij filięque, & nepos neptisque vocetur. ¶ Illud autem

tem notandum est, capitis deminutiōe, iura hæc legitimæ successionis, quę ex S. C. Orfitiano aut Tertulliano data sunt, non tolli: idq; propter illam regulam qua dicimus, legitimas hereditates ex nouo iure inuentas capitis deminutione nō perire, sed eas tantùm, quarum inuentum ad legem duodecim Tabularū refertur. ¶ Ex S. C. quoq; Orfitiano admitti debent & liberi vulgò quęsiti, siue ex meretricio concubitu nati. ¶ Si quis decedat, multis relictis legitimis personis eiusdem gradus: & alij hereditatem adeant, vnus autem aliquis aut repudiet, aut heres esse prohibeatur vel morte, vel alia quauis causa, (nam multi per constitutiones Principum ab hereditatibus arceantur) tunc pars eius, reliquis qui adierint, adcrescit. Veluti cùm quatuor essent, tres adierunt, vnus adire non potuit, vel quòd repudiasset, vel quòd

τὸ δὲ σημειώσασθαι χρὴ, ὅτι κάπιτις διμινουτζιὼν, τὰ ἐπὶ τοῦ ὀρφιτιανείου, ἢ τερτυλλιανείου δεδομένα λεγίτιμα δίκαια οὐκ ἀναιρεῖ, διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι αἱ ἀπὸ καινοτομίας ἐπινενοημέναι λεγίτιμαι κληρονομίαι, οὐ φθείρονται τῇ κάπιτις διμινουτζίωνι, ἀλλ᾽ ἐκεῖναι μόναι, ὅσαι τὸν δωδεκάδελτον εὑρετὴν ἐπιγράφονται. ¶ Ἔξεισι δὲ τὸ ὀρφιτιανείον καὶ οἱ ἀπὸ πορνείας τεχθέντες παῖδες. ¶ Ἐάν τις τελευτήσῃ πολλῶν ὑποκειμένων λεγιτίμων προσώπων τοῦ αὐτοῦ βαθμοῦ, καὶ οἱ μὲν ἄλλοι ἀδιτεύουσι, εἷς δὲ ῥεπουδιατεύσει ἢ κωλυθῇ κληρονομῆσαι ἀπὸ τελευτῆς, ἢ γοῦν δι᾽ ἑτέρας αἰτίας οὐ κληρονομήσει· εἰσὶ γὰρ πολλοὶ ὑπὸ τῶν διατάξεων εἰργόμενοι κληρονομεῖν· τότε τὸ τούτου μέρος προσαύξει τοῖς ἀδιτεύσασιν. οἷον τεσσάρων ὄντων, οἱ τρεῖς ἠδίτευσαν, ὁ εἷς ἠθέτησε ῥεπουδιατεύσας, ἢ τε-

θ. Nouissime.

θ. Si ex pluribus.

λευτήσας, ἢ ὑπὸ νόμου κωλυθεὶς διαδέξασθαι. τὸ τούτου μέρος τοῖς λοιποῖς ἐξ ἴσου προσαύξει, εἴτε ζῶσιν οἱ ἀδιτεύσαντες, εἴτε καὶ τελευτῆσαι αὐτοὺς συνέβη.

mortuus esset, vel quòd lege prohiberetur: pars huius reliquis tribus pro equis partibus adcrescit, siue hi qui adierunt superſint, siue euenit vt morerentur.

---

## DE SVCCESSIONE COGNATORUM. Titul. V.

Ἐπὶ τὴν τοῦ ἀδιαθέτου τελευτήσαντος κληρονομίαν εἰρήκαμεν καλεῖσθαι τοὺς σούους, καὶ τοὺς τούτοις συναριθμουμένους ὑπὸ τοῦ πραίτωρος, οἷον τοὺς ἐμαγκιπάτους, καὶ τοὺς ἐκ τῶν διατάξεων αὐτοῖς συζευχθέντας, οἷον τοὺς ἐν βουλευτηρίοις ἐπιδοθέντας, καὶ τοὺς τεχθέντας ἀπὸ γυναικὸς, πρὸς ἣν οὐκ ἦν γαμικὴ διάθεσις, ποιησάντων δὲ προικῴων τὰ τῶν σούων κτησαμένους δίκαια. μετὰ δὲ τούτους, ἡ ἐξ ἀδιαθέτου κλῆσις, ἔχει τοὺς ἀδνάτους, καὶ οἷς ἀδνατικὰ δίκαια παρέχει τὸ τερτυλλιανεῖον φημὶ, καὶ τὸ ὀρφιτιανεῖον δόγμα ταῖς μητράσι καὶ παισὶν αὐτῶν, ἢ τὰ δίκαια τῶν διαδόχων.

AD hereditatē eius, qui intestatò mortuus est, diximus vocari suos: & quos eorum numero Prætor habet, vt emancipatos: & quos deinde constitutiones his adiunxerunt: vt eos qui curiis oblati sunt, aut qui ex ea muliere nati sunt quicū maritalis affectio non erat, & deinde confectis dotalibus instrumentis ius suorum adepti sunt. Post hos, vocātur ab intestato agnati, & quibus ius agnatorum tribuit aut S.C. Tertullianū vel Orfitianum, nēpe matres & liberi earum: aut constitu-

tio Imperatoris nostri sanctissimi, nempe hi qui ex sorore nascuntur. Post oẽs igitur iam dictos & tertium ordinẽ inuẽnit Prętor, quo cognatos vocauit. Quos natura quidẽ nouit, sed angustię iuris, quod ex lege duodecim Tabularum descendit, nesciuerunt. Hi autem sunt, qui capitis deminutionem passi sunt, aut ex his nati. Quos cùm odio lex duodecim Tabularum prosequeretur, Prætor eos ex tertio ordine vocauit. Hæc autem dico, solis exceptis fratribus & sororibus emancipatis: non tamen liberis eorum. Extat enim constitutio D. Anastasij, qua cautũ est, vt si quis decedat relicto fratre integri iuris, hoc est, qui nondum capitis deminutionem subiit, relicto & fratre capite deminuto, vterque quidem ad fratris defuncti he-

χῶν. καὶ ἡ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως διάταξις, τοῖς ἀπὸ θηλειῶν ἀδελφῶν τεχθεῖσιν, ἐδίδου τὰ λεγίτιμα δίκαια. μετὰ τοίνυν τοὺς εἰρημένους πάντας ὁ πραίτωρ ἐπενόησε τρίτην τάξιν, ἐξ ἧς τοὺς κογνάτους ἐκάλεσε, τοὺς τῇ φύσει γινωσκομένους. οὓς ἠγνόησεν ἡ τῆς δυωδεκαδέλτου στενοτάτη νομοθεσία. εἰσὶ δὲ οὗτοι οἱ ὑποστάντες κάπιτις διμινουτζίωνα, καὶ οἱ ἐκ τούτων τεχθέντες. μισηθέντας γὰρ αὐτοὺς ὑπὸ τῆς δυωδεκαδέλτου, διὰ τὴν κάπιτις διμινουτζίωνα, ἐκ τρίτης ὁ πραίτωρ ἐκάλεσε τάξεως. ταῦτα λέγω ἐξῃρημένων μόνων ἀδελφῶν, ἀῤῥένων φημὶ καὶ θηλειῶν ἐμανκιπάτων. οὐκέτι μέντοι τῶν ἐξ αὐτῶν τεχθέντων. γέγονε γὰρ διάταξις τοῦ τῆς θείας λήξεως ἀναστασίου λέγουσα, ἵνα ἐάν τις τελευτήσῃ καταλιπὼν ἀδελφὸν ἴντεγερ ἴουρις, τουτέστι μὴ ὑποστάντα κάπιτις διμινουτζίωνα, καὶ ἕτερον κάπιτε διμινοῦτον, ὥστε τοὺς δύο καλεῖσθαι, ἐπὶ τὴν τοῦ τελευ-

τήπαντος ἀδελφοῦ, ἢ τῆς τελευτησάσης ἀδελφῆς κληρονομίαν, οὐκ ἐξ ἴσων μερῶν, ἀλλ' ὥς τε πλέον τι ἔχειν τὸν λεγίτιμον. τουτέστι τὸν μὲν κάπιτε διμινοῦτον λαβεῖν δ' οὐγκίας, τὸν δὲ ἰντέγρι ἰούρις τὸ διπλοῦν. τουτέστιν η' οὐγκίας. πᾶν γὰρ τὸ περὶ τούτου νόμιμον ἔξεστι μαθεῖν, τὴν εἰρημένην ἀναγνοῦντα διάταξιν. ὁ οὖν κάπιτε διμινοῦτος ἀδελφὸς, καλεῖται μὲν, ἅμα τῷ ἔχοντι ἀκέραια τὰ λεγίτιμα δίκαια, ἥττονα δὲ κομίζεται μοῖραν καθὰ εἴρηται. τῶν δὲ ἄλλων συγγενῶν εἰ καὶ μὴ ὑπέστη κάπιτις διμινουτζίωνα, εἰς ὁλόκληρον προτιμᾶται, πολλῷ δὲ πλέον τῶν κογνάτων. ἐὰν γὰρ ἐγὼ τελευτήσω καταλιπὼν ἀδελφὸν κάπιτε διμινοῦτον, καὶ θεῖον πρὸς πατρὸς, ὁ ἀδελφὸς προτιμηθήσεται. οὐδεὶς οὖν ὑποστὰς κάπιτις διμινουτζίωνα καλεῖται ἀπὸ ἀδνατικῆς τάξεως, εἰ μὴ ἀδελφὸς καὶ ἀδελφὴ μόνον. οὐ μὴν παῖδες ἀδελφοῦ. οὗτοι γὰρ ὑποστάντες

reditatem vocetur, non tamen ex equis partibus: sed vt plus habeat legitim', hoc est, vt capite deminutus habeat quattuor vncias: & frater integri iuris duplum, id est, octo vncias. Sed totam eiusce iuris seriem clarius cognoscet, qui dictam constitutionem legerit. Frater igitur capite deminutus vocatur quidem vnà cum fratre integri ius legitimi habéte, minorem tamen portionem accipit, vt dictum est. Aliis verò agnatis etiam si capitis deminutionem passus sit, anteponitur in solidum, ac multo etiam magis cognatis. Nam si ego decedam relicto fratre capite minuto, relicto etiã patruo, frater præferetur. Nemo igitur capite minutus ex ordine agnatorum vocatur preter fratrem & sororem tantùm, non etiã liberos fratris. Hi enim capite mi-

nuti, in cognatorum ordinem incidunt. ¶ Eos quoque qui per feminini sexus personas descendũt, sicut & capite minutos, legi duodecim Tabularũ ignotos, Pretor ex tertio ordine vocauit. Habebit autem & tertius ordo filium in adoptionẽ datum, cùm ad naturalis patris hereditatem admitti postulabit. ¶ Mulier ex meretriciis cõcubitibus liberos habuit, nullos hi agnatos habebunt. Agnatio enim per patrẽ cognoscitur, hi verò patrem non habere intellegitur. Sic igitur, neque inter se erunt consanguinei. Quoniã consanguinitas species est agnationis. Cognationis verò iura inter se habent filij ex meretrice matre nati: sicut & erga quemuis qui per matrem eis cõiunctus est, cognatũ. Igitur & hi ex tertio ordine succedent. Itaq; tertius hic à Praeto-

τες κάπιτις διμινουτζίωνα εἰς τὴν κογνάτων καταπίπτουσι τάξιν. ¶ Καὶ τοὺς ἀπὸ θηλυγενείας καταγομένους, ὥσπερ τοὺς κάπιτε διμινούτους ἀγνοουμένους ὑπὸ τοῦ δωδεκαδέλτου ὁ πραίτωρ ἀπὸ τῆς τρίτης ἐκάλεσε τάξεως. ἕξει δὲ ἡ τρίτη τάξις, καὶ τὸν εἰς θέσιν δεδομένον παῖδα, ἡνίκα βούλεται ἐπὶ τὴν τοῦ φυσικοῦ πατρὸς παραγίνεσθαι κληρονομίαν. ¶ Γυνή τις πορνευθεῖσα, παῖδας ἔσχεν. οὐχ ἕξουσιν οὗτοι πρός τινα λεγίτιμα δίκαια. ἡ γὰρ ἀδνατζίων, ἀπὸ τοῦ πατρὸς γνωρίζεται. οὗτοι δὲ πατέρα ἔχειν οὐ νοοῦνται. ὥστε οὖν οὗτοι οὐδὲ ἀλλήλοις εἰσὶν ὁμαίμιοι. ἡ γὰρ ὁμαιμότης εἶδος ἐστὶν ἀδνατζίωνος. κογνατικὰ δὲ οἱ ἐκ πόρνης μητρὸς τεχθέντες ἀδελφοὶ περιβάλλονται πρὸς ἀλλήλους δίκαια. ὥσπερ καὶ πρὸς πάντα τὸν ἀπὸ μητρὸς αὐτοῖς γινωσκόμενον συγγενῆ. οὗτοι τοίνυν ἐκ τῆς τρίτης παραγίνονται τάξεως. οὐκοῦν ἡ ἀπὸ τοῦ πραί-

t. Eos etiã.

t. vulgò.



τωρος

τωρ⊙ ἐπινενοημένη τρίτη τάξις, ἔχει τοὺς ἀποσάντας ἀδνάτους κἄπιτις διμινουτζίωνα, ἐξῃρημένων ἀδελφῶν, καὶ τοὺς ἐκ τούτων τεχθέντας. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἀπὸ θηλυγενίας ἡμῖν ἐγνωσμένους. καὶ παῖδα ὄντα μὲν ἐν τῇ θετῇ φαμιλίᾳ, τὸν δὲ φυσικὸν πατέρα κληρονομεῖν σπουδάζοντα. καὶ τοὺς ἀπὸ πορνείας τεχθέντας. οἷς πᾶσι proximitatis nomine, τὴν vnde cognati διακατοχὴν ἐπαγγέλλεται. τουτέστιν οὐ πάντας ἅμα καλῶν, ἀλλὰ τοὺς πλησιάζοντας τῷ βαθμῷ. ¶ Πολλῶν δὲ διαφορῶν οὐσῶν μεταξὺ ἀδνάτων καὶ κογνάτων, πρὸς ταῖς οὔσαις ἐστὶ καὶ αὕτη. ἐὰν γάρ τις ἀδιάθετ⊙ τελευτήσῃ, ὁ τούτου ἄδνατ⊙ ἐπὶ τὴν αὐτοῦ κληθήσεται κληρονομίαν, εἰ καὶ δεκάτου ἐστὶ βαθμοῦ, καὶ δύναται ἀδιτεύειν ὡς ἀπὸ τοῦ δωδεκαδέλτου, αἰτεῖ δὲ τὴν οὗνδε λεγίτιμοι, ὡς ἀπὸ τοῦ πραίτωρ⊙. εἰ δὲ ἄδνατ⊙ μὴ

θ. Hoc loco.

re inuentus ordo: habet agnatos capite minutos, (exceptis fratribus) & eos deinde qui ex illis nascuntur. Ad hæc & illos, qui per feminas nos contingunt. Et filium, qui cum in adoptiua familia sit, patri tamē naturali heres esse postulat. Et liberos postremò, vulgò quęsitos. Quibus omnibus, proximitatis nomine, bonorū possessionem Vnde cognati pollicetur: hoc est, non omnes simul vocans: sed vt quisque gradu proximus est. ¶Porrò, cùm multę sint inter agnatos & cognatos differentiæ, tum & illa præter ceteras vna est. Nam si quis intestatò decedat, agnatus eius ad hereditatem ipsius vocabitur, etiam si decimo sit gradu, & vt ex lege duodecim Tabularum adire poterit, aut vt ex edicto Prætoris, bonorum possessionē Vnde legitimi petere. Quòd si agnatus nullus superfit, sed cognatos

cognatos habeat defunctus: dabitur his bonorum possessio Vnde cognati, quãdiu inter sextũ gradum sunt. Nam è septimo gradu solæ vocantur hæ personæ: Filius filiáve cõsobrini cõsobrinæ've. Qui autem hi sint, ex sequenti titulo discemus.

μὴ ὕπεστι, περίεισι δὲ κογνάτοι τῷ τελευτήσαντι, δοθήσεται αὐτοῖς ἡ οὔνδε κογνάτι διακατοχή. ἡνίκα εἰσὶ μέχρι τοῦ ἕκτου βαθμοῦ. ἀπὸ γὰρ τοῦ ἑβδόμου βαθμοῦ, ταῦτα μόνα καλεῖται τὰ πρόσωπα, ὁ υἱὸς, ἤγουν ἡ θυγάτηρ τοῦ κονσοβρείνου, ἢ τῆς κονσοβρείνας. τίνες δὲ οὗτοι εἰσὶν ἐν τῷ ἑξῆς μαθησόμεθα τίτλῳ.

## DE GRADIBVS COGNATIONVM. Titul. VI.

Qvod nuper in præuia quadam inspectione de gradibus diximus, id nunc nobis per ipsam ordinationem rerum exhibendum est, quò res maiorem fidem habeat. Sic igitur gradus cognationis numerabuntur. Interim tamen in primis sciendum est: cognationem, aut ascendentium & descendentium esse, aut eorũ qui ex latere veniunt, qui dicuntur ex transuerso, fratrum, sororum, & qui ex his nascuntur: & consequen-

ΤΟ πρῴην ἐν προθεωρίᾳ ἡμῖν εἰρημένον περὶ τῶν βαθμῶν, νῦν ἀναγκαῖον δι᾽ αὐτοῦ παραστῆσαι τοῦ ῥητοῦ, ἐπὶ τὸ πλείονα πίστιν ἔχειν τὸ λεγόμενον. ἀριθμηθήσονται δὲ οἱ βαθμοὶ τῆς συγγενείας οὕτως. τέως δὲ κατὰ πρώτην τάξιν εἰδέναι χρὴ τὴν συγγένειαν ἢ τῶν ἀνιόντων καὶ κατιόντων, ἢ τῶν ἀπὸ λοξότητος ἐρχομένων, οἵτινες λέγονται ἐκ πλαγίου, ἀδελφῶν ἀρρένων καὶ θηλειῶν, καὶ τῶν ἐξ αὐτῶν τικτομένων. ἀκολούθως δὲ

θείου καὶ θείας. τούτου μὲν πρὸς πατρὸς, τούτου δὲ πρὸς μητρός. καὶ ἡ μὲν τῶν ἀνιόντων καὶ κατιόντων συγγένεια ἀπὸ πρώτου ἄρχεται βαθμοῦ. ἡ δὲ τῶν ἐκ πλαγίου, ἀπὸ δευτέρου. πρῶτον γὰρ οὐκ ἔστιν εὑρεῖν βαθμὸν ἐπὶ τῶν ἐκ πλαγίου.

§. Primo. ¶ Ὁ πρῶτος βαθμὸς ἐν μὲν τοῖς ἀνιοῦσιν ἔχει, πατέρα, μητέρα. ἐν δὲ τοῖς κατιοῦσιν, υἱὸν, θυγατέρα.

§. Secundo. ¶ Ὁ δεύτερος ἐν τοῖς ἀνιοῦσιν ἔχει, πάππον, μάμμην. ἐν δὲ τοῖς κατιοῦσιν, ἔγγονον, ἐγγόνην. ἐν δὲ τοῖς ἐκ πλαγίου, ἀδελφὸν, ἀδελφήν.

§. Tertio. ¶ Ὁ τρίτος βαθμὸς ἔχει ἐν τοῖς ἀνιοῦσι, πρόπαππον, προμάμμην. ἐν τοῖς κατιοῦσι, προέγγονον, προεγγόνην. ἐν τοῖς ἐκ πλαγίου, ἀδελφοῦ καὶ ἀδελφῆς, υἱὸν, καὶ θυγατέρα. καὶ ἀκολούθως θεῖον πρὸς πατρὸς ἢ πρὸς μητρός. ὁ θεῖος ὁ πρὸς πατρὸς ῥωμαϊστὶ λέγεται patruus. τουτέστιν ὁ τοῦ πατρὸς ἀδελφὸς, ὃς ἑλληνιστὶ λέγεται πάτρως. ὁ δὲ πρὸς μητρὸς θεῖος καλεῖται ῥωμαϊστὶ μὲν ἀβούνκουλος.

mutuor: tunc tua, qui mutuas. Et mea quidem, quia tu accepto pignore libentius mihi credis centum illos solidos. Tua autē, quia per retentionem pignoris causa crediti tui in tuto est. Itaq; ob eam rem, quia scilicet id lucrari videaris, quod de indemnitate consultum tibi sit, exactam diligētiam custodiendo pignori adhibere debes. Quòd si quo fortuito casu pignus perierit, non tenebitur creditor, sed adhuc creditum sine impedimento repetet.

ζομένου ἐστὶ σοῦ τοῦ δανείζοντος. ἐμοῦ μὲν, ἐπειδὴ λαμβάνων σὺ τὸ ἐνέχυρον μᾶλλον καταπιστεύεις τὰ ἑκατὸν νομίσματα. σοῦ δὲ, ἐπειδὴ διὰ τῆς κατοχῆς τοῦ ἐνεχύρου, τὸ ἀσφαλὲς ἔχεις ἐπὶ τῷ χρέει. ἀμέλει, διὰ τοῦτο ὡς κερδαίνων διὰ τὸ ἔχειν ἀσφάλειαν ἐπὶ τῷ χρέει, πολλὴν ἐπιμέλειαν ὀφείλεις ἐπιδείκνυσθαι, περὶ τὴν αὐτοῦ παραφυλακήν. εἰ δὲ συμβῇ τυχηρᾶς περιστάσεως τὸ ἐνέχυρον ἀπολέσθαι, ἕξει τὸ ἀνεύθυνον ὁ κρεδίτωρ. ἀπαιτήσει δὲ ὅμως τὸ χρέος.

## DE VERBORVM OBLIGATIONIBVS. Titul. XV.

Qvum dictū sit de obligatione, quæ re contrahitur, dicamus & de ea quę verbis. Verbis autē contrahitur obligatio, ex interrogatione & commoda respōsione: cùm quid fieri, aut dari stipulamur. Dari, vt, PROMITTIS MIHI DARE CENTVM

Εἰπόντες περὶ τῆς ῥὲ ἐνοχῆς, εἴπωμεν καὶ περὶ τῆς βέρβις. συνίσταται δὲ αὕτη ἐξ ἐπερωτήσεως, καὶ συμφώνου ἀποκρίσεως, ἡνίκα ἢ γενέσθαι τί, ἢ δοθῆναι ἐπερωτῶμεν. δοθῆναι μὲν, οἷον ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ΜΟΙ ἙΚΑΤῸΝ ΝΟΜΊΣΜΑΤΑ; γενέσθαι

λύεται ἢ, οἷον, ὉΜΟΛΟΓΕΙ͂Σ ΚΑΤΑΣΚΕΥΑ΄ΖΕΙΝ ΜΟΙ ΟἸΚΙ΄ΑΝ; ἐν ἧ δὲ τῇ βέρβις ἐνοχῆς, δύο ἀγωγαὶ ἀναφύονται, ὁ κονδικτίκιος, καὶ ἡ ἐξ στιπουλάτου, καὶ εἰ μὲν κέρτον ἐστὶ, ἤτοι φανερὸν, βέβαιον καὶ ὡρισμένον τὸ ἐν τῇ ἐπερωτήσει κείμενον, ὁ κονδικτίκιος ἁρμόζει. εἶπον γὰρ ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟ΄ΝΑΙ ΜΟΙ ΤΟ΄ΝΔΕ ΤῸΝ ἈΓΡῸΝ, Ἢ ΤΟ΄ΔΕ ΤῸ ΒΙΒΛΙ΄ΟΝ; εἰ δὲ ἴνκερτον ἦ, εἶπον γὰρ ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟ΄ΝΑΙ ΜΟΙ ΤᾺ ἘΝ ΤΗ͂Ι ΚΙΒΩΤΩ͂Ι, Ἢ ΤᾺ ἘΝ ΤΩ͂Ι ὩΡΕΙ΄ΩΙ; τότε τίκτεται ἡ ἐξ στιπουλάτου. στιπουλάτιο δὲ ἐντεῦθεν ὠνόμασται. παρὰ τοῖς παλαιοῖς στίπουλουμ ἐλέγετο τὸ ἰσχυρὸν, à stipite, ἀπὸ τοῦ στελέχους. ¶Ἐπὶ δὲ τῇ βέρβις, πάλαι τοιαῦτα παραδέδοται ῥήματα, δι' ὧν αἱ ἐπερωτήσεις ἐγένοντο· SPONDES? SPONDEO. PRO-

θ. In hac re.

AVREOS? Fieri, vt, PROMITTIS MIHI AEDIFICARE DOMVM? Porrò ex verborum obligatione duæ actiões proficiscuntur, condictio, & ex stipulatu. Et si quidem certũ est, & apertum, stabileque, & statutum, quod in stipulationem deductum est, competit certi condictio. Dixi enim, PROMITTIS MIHI DARE, HVNC FVNDVM AVT HVNC LIBRVM? Quòd si incertum sit, vt si dixerim: PROMITTIS MIHI DARE, QVAE IN ARCVLA ILLA SVNT, AVT QVAE IN HORREO ILLO HABES? tunc nascitur actio ex stipulatu. Stipulatio autẽ inde appellata est, quod apud veteres stipulum firmum diceretur, fortè à stipite. ¶In obligatiõe verborũ talia olim verba fuerunt tradita, per quæ stipulationes fiebant: SPONDES? SPONDEO: PROM

PROMITTIS? PROMITTO: FIDEPROMITTIS? FIDEPROMITTO: FIDEIVBES? FIDEIVBEO: DABIS? DABO: FACIES? FACIAM. Nec intererat, Latinè, an Græcè, an quauis alia lingua, veluti Syrorũ aut Aegyptiorum stipulatio conciperetur: dumtaxat, quum vterque contrahentium eius linguæ intellectum habebat. Nec verò necesse erat vtrumque eadẽ lingua vti, verùm sufficit conuenienter ad interrogationem dari responsum. Veluti si me Latinè interrogaris, PROMITTIS? possum Græcè dicere ΟΜΟΛΟΓΩ. Aut contrà, si mihi Græcè dixeris, ΟΜΟΛΟΓΕΙΣ?

MITTIS? PROMITTO. FIDE PROMITTIS? FIDE PROMITTO. FIDEIVBES? FIDEIVBEO. DABIS? DABO. FACIES? FACIAM. ἀλλὰ τὸ μὲν σπόνδες, σπόνδεο, οὐ μεταφράζεται ἑλληνιστί. τὰ δὲ ἕτερα μεταφράζεται. προμίττις, προμίττω, τουτέστι ὁμολογεῖς; ὁμολογῶ. φιδεϊπρομίττις, φιδεϊπρομίττω, τουτέστι πιστεικελεύεις; πιστεικελεύω. δάβις, δάβω, τουτέστι δώσεις; δώσω. φάκις, φάκιαμ, τουτέστι ποιήσεις; ποιήσω. καὶ ἀδιάφορόν ἐστι, πότερον ῥωμαϊστὶ, ἢ ἑλληνιστὶ, ἢ οἱαδήποτε ἑτέρᾳ διαλέκτῳ, οἷον τῶν σύρων, ἢ αἰγυπτίων ἡ ἐπερώτησις γέγονε. μόνον μέντοι, εἰ ἑκάτερος τῶν συναλλασσόντων ἐννοεῖ τὰ ἐκφωνούμενα. καὶ οὐδὲ ἐπάναγκές ἐστι τῇ αὐτῇ διαλέκτῳ ἑκάτερον κεχρῆσθαι. ἀλλ' ἀρκεῖ τὸ ἁρμοδίως πρὸς τὴν ἐπερώτησιν γενέσθαι τὴν ἀπόκρισιν. οἷον ἐὰν ἐπερωτήσῃς με ΠΡΟΜΙΤΤΙΣ, δύναμαι εἰπεῖν ΟΜΟΛΟΓΩ. ἢ ἐκ τοῦ ἐναντίου, ἐὰν εἴπῃς μοι ΟΜΟ-

ΛΟ

ΛΟΓΕΙ͂Σ, δύναμαι ἀποκρίνασθαι ΠΡΟΜΙΤΤΟ. δύνανται δὲ δύο ἕλληνες, ῥωμαϊστὶ συστήσασθαι τὴν βέρβις, οἷον τὸ ΠΡΟΜΙΤΤΙΣ, ΠΡΟΜΙΤΤΩ. ταῦτα δὲ τὰ τυπικὰ ῥήματα, πάλαι μὲν ὑπῆρχον ἐν χρήσει. μετὰ δὲ ταῦτα λέοντος διάταξις τὰ τῆς ἐπερωτήσεως ἀνῆλε τυπικὰ ῥήματα, ἀπαιτοῦσα συναίνεσιν καὶ συμφωνίαν ἐξ ἑκατέρου μέρους προϊέναι, μηδεμιᾶς ῥημάτων ἐπιζητουμένης παραφυλακῆς.

§. Omnis.

¶ Αἱ δὲ ἐπερωτήσεις, ἢ πούρως, ἤτοι καθαρῶς, ἢ ἰν δίεμ, τουτέστι ἐν ἡμέρᾳ ὁρισμένῃ, ἢ ὑπὸ αἵρεσιν συνίστανται. πούρως μὲν, οἷον, ΟΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟΝΑΙ ΜΟΙ σ̄ ΝΟΜΙΣΜΑΤΑ; ἥτις ἐπερώτησις εὐθέως ἔχει τικτομένην τὴν ἀπαίτησιν. ἰν δίεμ, ἡνίκα χρόνος προστεθῇ τῇ ἐπερωτήσει, ὅτε δεῖ τὰ χρήματα καταβληθῆναι. οἷον, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟΝΑΙ ΜΟΙ ΔΕΚΑ ΝΟ-

possum Latinè respondere, PROMITTO. Possunt etiā duo Græci Latinè obligationem verbis contrahere, quod genus est illud, PROMITTIS? PROMITTO. Sed hæc quidē sollemnia verba olim in vsu fuerunt: Postea autem edita est Leonis constitutio, quæ stipulationū sollemnibus verbis sublatis, consensum ab vtraque parte & consonantem intellectum intercedere requirit, nulla desiderata verborū obseruatione. ¶ Stipulationes verò, aut purè, aut in diem, aut sub conditione constituuntur. Purè, vt, PROMITTIS MIHI DARE DVCENTOS AVREOS? Quæ stipulatio statim parit petitionem. In diem, quum tempus stipulationi adiicitur, quo pecunia soluatur: Veluti, PROMITTIS MIHI DARE DECEM AVREOS PROXIMIS CALENDIS

DIS MARTII? Id autem quod in diem stipulamur, statim quidem debetur: sed peti priusquam dies venerit, non potest, quinimmo ne ipsis quidem Kalendis, quia totus is dies in arbitrio promissoris est, an scilicet soluere velit. Quamuis enim septem aut octo horæ illius diei præterierint, eo non soluente: nondum tamē cessare videtur, quoniam fieri potest, vt & decima hora soluat. Tunc autē cessator esse videtur, cū totus dies Kalendarum Martij præterierit, illo nihil præstante. ¶ Stipulatus sum ab aliquo in hunc modum: DECEM MIHI AVREOS ANNVOS QVOAD VIVAM DARE PROMITTIS? Talis stipulatio pura est, quoniā ex ea primo anno peti potest. Est autē

ΜΙΣΜΑΤΑ, ἘΝ ΤΑΙ͂Σ ἘΠΙΟΥΣΑΙΣ ΚΑΛΑΝΔΑΙΣ ΜΑΡΤΙΟΥ. τὸ δὲ ἐν διέμ ἐπερωτώμενον, εὐθέως μὲν ἐποφείλεται. ἀπαιτῆσαι δὲ πρὸ τῆς ἀφίξεως τῆς ἡμέρας οὐ δύναται. ἀλλ᾽ οὐδὲ ἐν αὐτῇ τῇ α ἡμέρᾳ τῶν καλανδῶν. πᾶσα γὰρ ἡ ἡμέρα ἐκείνη, ἐν ἐξουσίᾳ ὑπόκειται τοῦ ἐπερωτηθέντος, εἴγε βούλεται καταβαλεῖν. εἰ καὶ τὰ μάλιστα γὰρ ἑπτὰ, ἢ ὀκτὼ ὧραι τῆς ἡμέρας ἐκείνης παρέλθωσι, μὴ καταβαλόντος αὐτοῦ, οὔπω κρίνεται ἀγνώμων. δυνατὸν γὰρ αὐτὸν καὶ τῇ δεκάτῃ ὥρᾳ καταβαλεῖν. τότε δὲ ἀγνώμων κρίνεται, ἡνίκα πᾶσα ἡ α ἡμέρα τῶν καλανδῶν παρέλθῃ μαρτίου, μηδὲν αὐτοῦ παρασχόντος. ¶ Ἐπε- θ At si ita.
ρώτησέ τινα οὕτως, ΟΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟΝΑΙ ΜΟΙ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΑ ἘΤΗΣΙΑ ΜΕΧΡΙΣ ΟΥ͂ ΖΩ͂. ἡ τοιαύτη ἐπερώτησις πούρα ἐστίν. ἐντεῦθεν γὰρ ἤδη τοῦ πρώτου ἐνιαυτοῦ δυνατὸν γενέσθαι τινὰ

ἀπαιτ

ἀπαίτησιν. ἔστι δὲ ἡ αὐτὴ καὶ περπετοῦα ἤτοι διηνεκὴς, οὐδενὶ χρόνῳ σβεννυμένη. προσκείμενος γὰρ ἐπερώτησις, οὐ δύναται γενέσθαι. οἷον ἵνα εἴπω, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ΜΟΙ ΔΈΚΑ ΝΟΜΊΣΜΑΤΑ ἝΩΣ ΔΈΚΑ ἘΝΙΑΥΤΩ͂Ν; τουτέστιν ἵνα εἰ μὲν ἔσω τῆς δέκα ἐνιαυτῶν ἀπαιτήσω σε ἔχω ταῦτα. εἰ δὲ παρέλθῃ ἡ δεκὰς καὶ μὴ ἀπαιτήσω σε, ἵνα σβεσθῇ ἡ ἀγωγή. ὥστε οὖν διηνεκής ἐστιν ἡ ἀγωγὴ, ἐπὶ τῆς ἐπερωτήσεως τῆς λεγούσης, ΔΏΣΕΙΣ ἘΤΉΣΙΑ ΔΈΚΑ ΝΟΜΊΣΜΑΤΑ ἝΩΣ ΟΥ̓͂ ΖΩ͂. ἐὰν δὲ ὁ ἐπερωτήσας τελευτήσῃ, ὁ δὲ κληρονόμος αὐτοῦ κινῇ τὴν ἐξ στιπουλάτου, τῶν μετὰ τελευτὴν τοῦ ἐπερωτήσαντος δραμόντων ἐνιαυτῶν ὁ ἀπαιτῶν τὴν ποσότητα, ἐκβάλλεται πάκτου παραγραφῇ, ὡς ὑπὸ αἵρεσιν ἐπερωτήσας τὴν ἝΩΣ ΟΥ̓͂ ΖΩ͂. τοῦτο γὰρ παρέχει χώραν τῇ τοῦ πάκτου παραγραφῇ. ¶ Ἡ ὑπὸ αἵρεσιν ἐπερώτησις

ea & perpetua, nec tempore vllo perimitur. Nam ſtipulatio ad tempus conſtitui non poteſt, veluti ſi dicam: DECEM MIHI AVREOS DARE PROMITTIS VSQVE AD DECEM ANNOS? hoc eſt, vt ſi intra decem annos eos à te petam, eos habeã: ſin prætereat decennium nec petam, vt perimatur actio. Sic igitur perpetua eſt actio ex ſtipulatione, & ita cõcepta, DECEM AVREOS ANNVOS QVOAD VIVAM DABIS? Sed mortuo ſtipulatore ſi hęres eius ex ſtipulatu velit agere: petens ſummas annorum, qui à morte ſtipulatoris elapſi ſunt, exceptione pacti ſubmouebit, quaſi ſtipulatio ſub hac condicione, QVOAD VIVAM, concepta fuiſſet. Hoc enim locũ præbuit exceptioni pacti.

6. Sub condicione.

¶ Sub cõdicione au

tem stipulatio constituitur, quum in aliquem casum differtur obligatio, vt si aliquid factũ fuerit vel non fuerit, committatur stipulatio. veluti QVINQVE MIHI AVREOS DARE PROMITTIS, SI TITIVS CONSVL FACTVS FVERIT? AVT SI NON FVERIT? ¶Si quis ita stipuletur, SI IN CAPITOLIVM NON ASCENDERO, QVINQVE MIHI AVREOS DABIS? perinde est hæc stipulatio, atq; si stipulatus essem, QVINQVE AVREOS MIHI CVM MORIAR, DARE PROMITTIS? Tunc enim cùm moriar, certum planũque fiet, me in Capitolium non ascendisse. Quoniam quãtumcumque temporis me viuo prætereat, & si in Capitolium nõ ascendam, tamen ad faciendam eius rei fidem non

τησις συνίσταται, ὁπότε εἰς τύχην ἀναφέρεται ἡ ἐνοχή· ἵνα ἐάν τι γένηται, ἢ μὴ γένηται, ἁρμόσῃ ἡ ἐπερώτησις, οἷον, ὉΜΟΛΟΓΕῖΣ ΔΙΔΌΝΑΙ ΜΟΙ ΠΈΝΤΕ ΝΟΜΊΣΜΑΤΑ, ἘᾺΝ Ὁ ΤΊΤΙΟΣ ὝΠΑΤΟΣ ΓΈΝΗΤΑΙ; Ἢ ΜῊ ΓΈΝΗΤΑΙ; ¶Ἐάν τις (θ Si quis ita) οὕτως ἐπερωτήσῃ, ἘᾺΝ ΜῊ ἈΝΈΛΘΩ ΕἸΣ ΤῸ ΚΑΠΙΤΏΛΙΟΝ ΔΏΣΕΙΣ ΜΟΙ ΠΈΝΤΕ ΝΟΜΊΣΜΑΤΑ, οὕτως ἐστὶν ἡ ἐπερώτησις, ὥσπερ εἰ ἐπερώτησά σε, ὉΜΟΛΟΓΕῖΣ ΔΙΔΌΝΑΙ ΜΟΙ ΠΈΝΤΕ ΝΟΜΊΣΜΑΤΑ, ὍΤΕ ΜΈΛΛΩ ΤΕΛΕΥΤᾶΝ, τότε γὰρ ὅτε μέλλω τελευτᾶν, ἐδείχθη, ὅτι οὐκ ἔτι ἀνέρχομαι ἐπὶ τὸ καπιτώλιον. ἐπειδὴ ὅσος δήποτε χρόνος ἐὰν παρέλθῃ ἐμοῦ περιόντος, καὶ μὴ ἀνέλθω εἰς τὸ καπιτώλιον, οὐκ ἐστὶν ἱκανὸς πίστιν παρα-

χρόνον. ὃ ὅτι οὐκ ἔτι ἄνειμι εἰς τὸ καπιτώλιον. δυνατὸν γὰρ τὸν ἐπὶ ἑξήκοντα ἐνιαυτοὺς, ἢ ἑβδομήκοντα μὴ ἀνελθόντα εἰς τὸ καπιτώλιον, μετὰ ταῦτα ἀνελθεῖν, τὸν δὲ ἐν τῇ ἐσχάτῃ ὄντα ἀναπνοῇ, οὐκ ἔστι δυνατὸν ἀνελθεῖν.

8. Ex conditionali.

¶ Ὁ ὑπὸ αἵρεσιν ἐπερωτήσας, ἐλπίδα ἔχει, τοῦ ὅτι ἀποπληρωθήσεται αὐτῷ. ὅθεν ἐὰν τελευτήσῃ, ταύτην τὴν ἐλπίδα ἐπὶ τοὺς οἰκείους περιπέμπει κληρονόμους. αἱ γὰρ ἐπερωτήσεις αἱ αἱρετικαὶ, καὶ τελευτησάντων τῶν ἐπερωτησάντων ἠρτημένης τῆς αἱρέσεως διαβήσονται ἐπὶ κληρονόμους. εἰ καὶ, ὡς εἰρήκαμεν ἐν τῇ δευτέρᾳ ἰνστιτουτζίωνι, αἱρετικὸν ληγάτον τελευτήσαντος τοῦ ληγαταρίου πρὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως οὐ μέτεισιν ἐπὶ τοὺς αὐτοῦ κληρονόμους.

9. Loca.

¶ Εἰώθαμεν δὲ τόπους ἐν ταῖς ἐπερωτήσεσιν ἐντιθέναι. οἷον, ΔΩΣΕΙΣ ΕΝ ΚΑΡΧΗΔΟΝΙ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΑ, Η ΕΝ ΤΩ͂Ι ΔΕ ΤΩ͂Ι ΤΟΠΩ; αὕτη δὲ ἡ ἐπερώ-

sufficit, quòd amplius in capitolium non ascendam. Fieri enim potest, vt qui per sexaginta aut septuaginta annos in Capitolium non ascenderit, postea tamen ascendat. At qui iam in vltimo vitę spiritu est, is ascēdere non potest. ¶ Qui sub conditione stipulatus est, spē habet, fore, vt sibi debeatur: vnde si decedat, hanc spem ad heredes suos transmittit. Nam conditionales stipulationes, & mortuis pendente cōditione stipulatoribus ad heredes transibunt. Quāuis diximus libro secundo legatū conditionale legatario ante euentum conditionis mortuo, ad heredes ipsius non transmitti. ¶ Solemus & loca stipulationib⁹ inserere: veluti, DECEM AVREOS CARTHAGINE DABIS? AVT IN ILLO LOCO? Hæc autē

stipulatio, quamuis pura esse prima facie videatur, tacitum tamen in se tẽpus habet, & dilationem: quantam habere necesse est, vt promissor Carthaginem ad soluendum venire possit. Vnde, si quis cum Romæ sit, ita à me stipuletur: CARTHAGINE DARE MIHI HODIE PROMITTIS? inutilis est stipulatio, vt quæ rem impossibilem contineat. Nam id fieri non potest, vt quis vno die Roma Carthaginẽ veniat. Porrò stipulationes, quę sub impossibili conditione fiũt, nullius sunt momẽti. ¶ Conditio quæ ad præteritum vel ad præsens tempus refertur, aut statim infirmat obligationem, aut omnino nõ differt: sed cõfestim petitur: veluti, ad præteritũ: si Titius Consul fuit, decem mihi aureos dabis? Ad presens: si Mæuius

ἐπερώτησις, εἰ καὶ πούρα δοκεῖ εἶναι κατὰ πρώτην ὄψιν, ὅμως σιωπηρὸν ἔχει χρόνον ἐν ἑαυτῇ καὶ ὑπέρθεσιν ὅση δύναται δαπανηθῆναι μέχρις οὗ οἷόν τέ ἐστι τὸν ἐπερωτηθέντα παραγενέσθαι ἐν Καρχηδόνι καὶ καταβαλεῖν. ὅθεν ἐὰν ὁ νῦν ἑστὼς ἐν τῇ ῥώμῃ ἐπερωτήσῃ με, ὉΜΟΛΟΓΕΙ͂Σ ΣΗΜΕΡΟΝ ΔΙΔΟΝΑΙ ΜΟΙ ἘΝ ΚΑΡΧΗΔΟΝΙ; ἄχρηστος ἡ ἐπερώτησις, ὡς ἔχουσα ἐν ἑαυτῇ τὸ ἀδύνατον. ἀδύνατον γὰρ ἐν μιᾷ ἡμέρᾳ, ἀπὸ ῥώμης ἐλθεῖν εἰς Καρχηδόνα. αἱ δὲ ἐπερωτήσεις αἱ γινόμεναι ὑπὸ ἀδύνατον αἵρεσιν εἰσὶν ἀνυπόστατοι. ¶ Ἡ αἵρεσις ἥ τις εἰς παρελθόντα χρόνον, ἢ εἰς ἐνεστῶτα τὴν ἀναφορὰν ἔχει, ἢ εὐθέως ἀκυροῖ τὴν ἐνοχήν, ἢ ὑπέρθεσιν αὐτῇ οὐ χαρίζεται, ἀλλὰ παραχρῆμα ἀπαιτεῖται. οἷον εἰς τὸν παρελθόντα, δώσεις μοι δέκα νομίσματα, εἰ ὁ Τίτιος ὕπατος γέγονε. εἰς ἐνεστῶτα, οἷον, δώσεις μοι δέκα νομίσ- θ. Conditiones.

ματα, εἰ μαίβιος περίεστιν. εἰ μὴ γὰρ ταῦτα οὕτως οὐκ ἔχει, οὐδὲ γὰρ ὑπάτευσεν Τίτιος οὐδὲ ζῇ μαίβιος, ἀνίσχυρος ἡ ἐπερώτησις. εἰ δὲ ταῦτα οὕτως ἔχει, ἔρρωται ἡ ἐπερώτησις εὐθέως, καὶ ἁρμόζει ἡ ἀπαίτησις. καὶ οὐκ ἐπειδὴ συμβαίνει εἴγε ταῦτα οὕτως ἔχει ἡμᾶς ἀγνοεῖν, ἐκ τούτου παρολκὴ γίνεται καὶ ὑπέρθεσις τοῦ ὀχετοῦ τῆς ἀπαιτήσεως. τὰ γὰρ δῆλα διὰ τῆς τῶν πραγμάτων γινόμενα φύσεως, οὐχ ὑπερτίθεται τὴν ἐνοχὴν, εἰ καὶ παρὰ τοῖς συναλλάττουσιν ἐστὶν ἄδηλα. ¶ Οὐ μόνον πράγματα ἐν ταῖς ἐπερωτήσεσι δύναται φέρεσθαι, οἷον ἀγρὸς, οἰκέτης, βιβλίον, ἀλλὰ καὶ φάκτον, οἷον ἵνα ἐπερωτήσω, ὅτι κατασκευάζεις μοι οἶκον, ἢ οὐ κατασκευάζεις τῷ δε οἶκον. ἐπὶ δὲ τῶν τοιούτων ἐπερωτήσεων, ἔνθα φάκτον ἐστὶν εἰς τὸ ποιητὸν, ἢ εἰς τὸ μὴ ποιητὸν συγκείμενον, κάλλιστον ἐστὶ τὸ ποινὴν ἐντεθῆναι. οἷον, ΕΑΝ ΠΟΙΗΣΗΣ, Η ΜΗ ΠΟΙΗ-
ΣΗΣ

uiuit, decem mihi aureos dabis? Nam si ea ita non sunt, quia nec Titius Cōsul fuerit, nec Mæuius uiuat, nihil valet stipulatio. Sin autem ita se habent, statim valet stipulatio, & competit ius petendi. Neq; enim quia contingit nos nescire, an hęc ita se habeant, etiam mora dilatioque petitioni quo minus nascatur, iniicitur: quoniam quæ per rerū naturam certa sunt, non morantur obligationem, quamuis apud contrahentes incerta sint. ¶ Porrò non solùm res in stipulationem deduci possunt, vt fundus, seruus, liber: verùm etiam facta: veluti si stipuler, vt mihi domum ędifices, aut vt illi non ędifices. In huiusmodi autem stipulationibus, in quibus factū versatur, siue id in faciendo cōsistat, siue in non faciendo: optimum est pœnā subiicere: veluti, S I

¶ Non solū

FECERIS AVT NON FECERIS, DECEM MIHI AVREOS DABIS? Nam pœna non subiecta, incertum est, quid debeat is, qui contrà quàm promisit, fecerit. Quoniam enim futurum est, vt in id quod interest condẽnetur, & hoc quoq; incertum est: necesse erit actori planum facere, quãti sua intersit. Ad vitandas igitur has & tales difficultates, subiicienda pœna est. Et si quidem à te stipuler, quòd illud facies: ita & pœnam à te stipulari debeo, SI ID FACTVM NON ERIT, POENAE NOMINE DECEM MIHI AVREOS DABIS? Sin autem in stipulationem plura facta deduxerim: quorum alia in faciendo, quę dam in non faciendo cõsistant: sic pœnę clausula subiiciẽda est, SI QVID ADVERSVS HAEC FACTVM ERIT: aut ita, SI QVID

ΣΗΣ, ΔΩΣΕΙΣ ΜΟΙ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΑ; τῆς γὰρ ποινῆς μὴ ἐντεθείσης, ἄδηλόν ἐστι τί ἐποφείλει ὁ ὑπεναντίον τι πράξας ἂν ὡμολόγησεν. ἐπειδὴ γὰρ εἰς τὸ διαφέρον μέλλει καταδικάζεσθαι. τοῦτο δὲ ἄδηλόν ἐστιν. ἐπάναγκες γάρ ἐστι τὸν ἄκτωρα ἀποδεικνύειν τί αὐτῷ διαφέρει. ὥστε οὖν διὰ τὸ φυγεῖν τὰς τοιαύτας δυσκολίας, δεῖ ποινὴν ἐντιθέναι. καὶ εἰ μὲν ἐπερωτήσω σε ὅτι ποιήσεις τόδε, οὕτως ἐποφείλω σε περὶ τῆς ποινῆς ἐπερωτᾶν. ΕΑΝ ΤΟΥΤΟ ΜΗ ΓΕΝΗΤΑΙ, ΠΡΟΣΤΙΜΟΥ ΧΑΡΙΝ ΔΩΣΕΙΣ ΜΟΙ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΑ; εἰ δὲ ἐν τῇ ἐπερωτήσει τέθεικα φάκτα τινά, ὁρῶντα εἰς τὸ ποιητὸν, τινὰ δὲ εἰς τὸ μὴ ποιητὸν, ἡ περὶ τῆς ποινῆς κλαύσουλα, ἤγουν κεφάλαιον, οὕτως ὀφείλει προστίθεσθαι, ΕΑΝ ΥΠΕΝΑΝΤΙΟΝ ΤΟΥΤΩΝ ΓΕΝΗΤΑΙ, ἤγουν οὕτως,

ἘΆΝ ΤΙ ΤΟΎΤΩΝ ΜῊ ΓΈΝΗΤΑΙ ΠΟΙΝῆΣ ΧΆΡΙΝ ΔΏΣΕΙΣ ΜΟΙ ΔΈΚΑ ΝΟΜΊΣΜΑΤΑ; καὶ ἐὰν συμβῇ σε παραβιῶσαι περὶ τὸ ποιητὸν, ἢ μὴ ποιητὸν, ἡ τοιαύτη κλαύσουλα τῆς ποινῆς ἔνοχον ποιήσει σε πολλῶν προστίμων καταβολαῖς.

EORVM FACTVM NON ERIT, DECEM MIHI AVREOS POENAE NOMINE DABIS? Et si contingat, vt cōtra quàm cautū est facias, siue in faciendo, siue in non faciēdo, hęc & talis pœnæ clausula, ad multarum pœnarū exolutionem obligabit te.

DE DVOBVS REIS STIPVLANDI & promittendi. Titul. XVI.

Τὸν περὶ ἐπερωτήσεων διαλεγόμενον, ἐπάναγκές ἐστι διδάξαι καὶ περὶ ῥέων στιπουλανδῶν, καὶ ῥέων προμιττενδῶν. οἵτινες δύο, ἢ καὶ πλείονες δύνανται γενέσθαι. καὶ ῥέοι μὲν στιπουλάνδοι γίνονται οὕτως. ἐὰν πρῖμος καὶ σεκοῦνδος δανείσωσί τινι ἑκατὸν νομίσματα, καὶ ἑκάτερος αὐτῶν βουληθείη ἔνοχον ἔχειν αὐτὸν εἰς ὁλόκληρον, ἐπερωτᾷ κεχωρισμένως ἑκάτερος αὐτῶν. μετὰ δὲ τὴν πάντων ἐπερώτησιν ὁ ἐπερωτάμενος ἐὰν

EVM qui de stipulationibus differit, & de reis stipulandi promittendíque docere necessarium est, qui aut duo aut plures fieri possunt. Et rei quidem stipulandi fiunt in hunc modū: Si Primus & Secūdus alicui mutuauerint centū aureos, & vterq; eorum, sibi illum in solidum voluerit obligatum habere, separatim vterque eorum stipulabitur: post omniū autem stipulationem, promissor dicet,

est, SPONDEO: veluti, Primus stipulatus est à me: CENTVM MIHI AVREOS DARE SPONDES? similiter & Secundus. Deinde ad vtrumq; respondi, dicens: VTRIQVE VESTRVM DARE SPONDEO. Nam si Primo prius respõdeam, dicens: DARE SPONDEO: postea & tantundẽ Secundo respõdeã, alia & alia obligatio constituitur, nec duo rei stipulãdi fieri dicuntur. ¶ Duo autẽ pluresve rei promittẽdi, constituuntur in hunc modũ: veluti: si a Meuio & Seio, quib' quinque aureos mutuo dederim, ita stipuler: MAEVI, QVINQVE AVREOS DARE MIHI SPONDES? SEI, EOSDEM QVINQVE AVREOS DARE MIHI SPONDES? & vterq; separatim respondeat: spondeo. ¶Ex huiusmodi enim obligationib'

εἴπῃ τὸ ΟΜΟΛΟΓΩ. οἷον πρῖμος ἐπερώτησέ με, ΟΜΟΛΟΓΕΙΣ ΔΙΔΟΝΑΙ ΕΚΑΤΟΝ ΝΟΜΙΣΜΑΤΑ; ὁμοίως καὶ σεκοῦνδος. εἶτα πρὸς τοὺς δύο ἀποκρινάμενος εἰπὼν, ΕΚΑΤΕΡΩΙ ΥΜΩΝ ΔΟΥΝΑΙ ΟΜΟΛΟΓΩ. εἰ γὰρ πρότερον τῷ πρίμῳ ἀποκρινόμενος λέγων, ΟΜΟΛΟΓΩ ΔΙΔΟΝΑΙ, μετὰ δὲ ταῦτα τῷ σεκούνδῳ ἀποκρίνομαι, ἑτέρα καὶ ἑτέρα ἐνοχὴ συνίσταται. οὐ μὴν δύο ῥέοι στιπουλάνδι γενέσθαι λέγονται.

¶ Δύο δὲ καὶ πλείονες ῥέοι προμιττένδι, οὕτω γίνονται. οἷον ἐὰν μαίβιον καὶ σέϊον, οἷς ἐδάνεισα ε νομίσματα, οὕτως ἐπερωτήσω, ΟΜΟΛΟΓΕΙΣ Ω ΜΑΙΒΙΕ Ε ΝΟΜΙΣΜΑΤΑ ΔΙΔΟΝΑΙ ΜΟΙ; ΟΜΟΛΟΓΕΙΣ Ω ΣΕΙΕ, ΤΑ ΑΥΤΑ Ε ΝΟΜΙΣΜΑΤΑ ΔΙΔΟΝΑΙ ΜΟΙ; καὶ ἕκαστος κεχωρισμένως ἀποκρίνεται, ὁμολογῶ. ¶ Ἐκ γὰρ τῶν τοιούτων ἐνοχῶν,

θ. Duo

θ. Ex huius modi.

καὶ τῶν ἐπερωτώντων ἑκάστῳ τὸ ὁλόκληρον ὀφληθήσεται, καὶ τῶν ἐπερωτωμένων ἕκαστος εἰς ὁλόκληρον ἔνοχος γενήσεται. ἐν ἑκατέρᾳ γὰρ ἐνοχῇ ἕν τι ἀποτελεῖται τὸ πρᾶγμα. καὶ γὰρ ὁ εἷς τῶν ῥέων στιπυλάνδων τὸ χρέος ἀπολαβὼν, ἀφαιρεῖται καὶ τῷ συνεπερωτήσαντι τὴν τῆς ἀπαιτήσεως ἄδειαν. ἢ καὶ ὁ ἕτερος τῶν ῥέων προμιττένδων τὸ χρέος καταβαλὼν, καὶ τὸν συνεπερωτηθέντα ἐλευθεροῖ.

8. Ex duobus. ¶ Ἐκ δὲ τῶν δύο ῥέων προμιττένδων, ὁ μὲν πούρως, ὁ δὲ ἰν δίεμ, ἢ ὑπὸ αἵρεσιν ἔνοχος γενέσθαι δύναται. τουτέστιν οὐκ ἐμποδών τί ἐσται εἰς τὸ εὐθέως ἀπαιτηθῆναι τὸν ἕνα, τὸν πούρως ἐπερωτηθέντα. οὐ γενησομένου ἐμποδίσματος, εἰς τὸ τὸν πούρως ἐπερωτηθέντα, ἐντεῦθεν ἤδη μεθοδευθῆναι, εἰ τὸν ἕτερον ἰν δίεμ, ἢ ὑπὸ αἵρεσιν ὁμολογῆσαι.

& singulis stipulantium solidum debetur, & singuli promittentium in solidum obligantur. In vtraque enim obligatione, vna res vertitur. Nam & vnus reorum stipulandi, debitum accipiēdo, aufert & constipulatori petendi facultatem: & vnus reorū promittendi, debitū soluendo, etiam cōpromissorē liberat. ¶Ex duobus autem reis promittendi, alius purè, alius in diem, vel sub condiciōe obligari potest, hoc est, nihil impedit, quo minus is, qui purè promisit, vel statim conueniri possit, quamuis alter in diē vel sub condicione spoponderit.

---

## DE STIPVLATIONE SERVORVM.
### Titul. XVII.

Οἱ οἰκέται ἀπρόσωποι ὄντες, ἐκ τῶν προσώπων

Serui cùm personam non habeant, ex persona

na dominorum suorum æstimantur, & ex illa intellegendũ est, stipulari ne possint, an nõ possint. Sed id quidem cum stipulatoris serui dominus in viuis est: quòd si mortuus est, neque dum quisquã hereditatem adiit, ipsa hereditas serui domina est. Nam & plerisque in rebus hereditas vicem personæ defuncti sustinet: ideóque seruus hereditarius, quod ante aditam hereditatem stipulatur, id incorporali illi (siue nomen vocas, siue ius) hereditatis adquirit: & heres postea adiens, vnà cùm ceteris rebus actionibúsque hanc in hereditate stipulationem inuenturus est. ¶Nec verò interest quomodo stipuletur seruus: siue enim dixerit, MIHI AVT DOMINO DARE SPONDES? siue, MIHI AVT CONSERVO MEO DARE SPONDES? siue

τῶν οἰκείων δεσποτῶν χαρακτηρίζονται. καὶ ἐκεῖθεν ἔξεστι τὴν κατάληψιν, πότερον ἐπερωτᾷν δύνανται, ἢ οὐ δύνανται. ἀλλὰ τοῦτο μὲν ἡνίκα περίεστιν ὁ τοῦ ἐπερωτῶντος οἰκέτου δεσπότης. εἰ δὲ τετελεύτηκε, καὶ οὔπω γέγονεν ἀδιτιῶν, ἡ κληρονομία δεσπόζει τοῦ οἰκέτου. ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τὴν τάξιν ἐπέχει τοῦ προσώπου τοῦ τελευτήσαντος. διὸ ὁ ἐρεδιτάριος οἰκέτης πρὸ τῆς ἀδιτζίωνος εἰ ἐπερωτήσει, τῷ ἀσωμάτῳ προπορίζει τῆς κληρονομίας. καὶ μετὰ τοῦτο ἀδιτεύσας ὁ κληρονόμος, μετὰ τῶν ἄλλων πραγμάτων τε καὶ ἀγωγῶν, τὴν τοιαύτην ἐν τῇ κληρονομίᾳ εὑρήσει ἐπερώτησιν.

¶ Ἀδιάφορον δέ ἐστιν 6. Siue autẽ
ὅπως ἐπερωτᾷ ὁ οἰκέτης. εἴτε γὰρ εἴπῃ ὉΜΟΛΟΓΕΙ͂Σ ΔΟΥ͂ΝΑΙ ἘΜΟΙ͂, Ἢ ΤΩ͂Ι ἘΜΩ͂Ι ΔΕΣΠΌΤΗΙ; εἴτε ὉΜΟΛΟΓΕΙ͂Σ ΔΟΥ͂ΝΑΙ ἘΜΟῚ, Ἢ ΤΩ͂Ι ἘΜΩ͂Ι ΣΥΝΔΟΎΛΩΙ, ἢ ἀπροσώπως ἐπερω-

τήσῃ λέγων, ΟΜΟΛΟΓΕΙ͂Σ ΔΟΥ͂ΝΑΙ; τῷ δεσπότῃ ἐκ πασῶν τῶν τοιουτοτρόπων ἐπερωτήσεων προσπορίζει. τὸ αὐτὸ φαμὲν, καὶ ἐπὶ τῶν ὑπεξουσίων παίδων, ἐφ' ὧν μέν τοι αἰτιῶν δύνανται ἡμῖν προσπορίζειν, τουτέστιν ἐξ ῥὲ νόστρα.

8. Sed quũ factum.

¶ Ἡνίκα δὲ φάκτον περιέχεται τῇ ἐπερωτήσει, ἣν ὁ ἡμέτερος οἰκέτης ποιεῖται, τὸ ἐκείνου σκοπεῖται πρόσωπον, οὐ μὴν τὸ τοῦ δεσπότου. οἷον ἐὰν ἐπερωτήσῃ τινὰ, ΟΜΟΛΟΓΕΙ͂Σ ἘΞΕΙ͂ΝΑΙ ΜΟΙ ΔΙᾺ ΤΟΥ͂ ΣΟΥ͂ ἈΓΡΟΥ͂ ἼΤΕΡ, τουτέστι περιπατεῖν μόνῳ, Ἢ ΚΑῚ ἌΚΤΟΥΣ, τουτέστι μετὰ ὑποζυγίου βαδίζειν. τότε γὰρ εἰ μὲν ὁ δεσπότης κωλυθῇ διὰ τοῦ ἀγροῦ βαδίσαι, οὐδεμία δίδοται αὐτῷ ἐκ τῆς τοιαύτης ἐπερωτήσεως μέθοδος. τοῦ δὲ οἰκέτου κωλυθέντος, κομμιττεύεται ἡ ἐπερώτησις· διὰ τὸ ἀνάγεσθαι τὸ ἐν τῇ ἐπερωτήσει κείμενον φάκτον εἰς τὸ τοῦ οἰκέτου πρόσωπον.

impersonaliter stipulatus sit, dicendo: DARE SPONDES? domino ex omnibus huiuscemodi stipulationib' adquirit. Idem dicimus & de liberis, qui in potestate parẽtum sunt: ex quibus scilicet causis, nobis possunt adquirere, hoc est, ex re nostra. ¶ Sed cum factum in stipulatione quã seruus noster facit, continetur, persona ipsius, nõ autem domini spectanda est: veluti, si ab aliquo stipuletur, ITER MIHI (id est, soli transire) AVT ACTVM (id est, cum iumento ire) PER FVNDVM TVVM PRAEBERE SPONDES? Tunc enim, siquidem dominus per fundum ire prohibeatur, nulla datur ei ex huiusmodi stipulatione actio. Seruo autem prohibito, committitur stipulatio, propterea quod factum in stipulationem deductum ad personã serui referatur. ¶ Serui

autem

autem cõmunes stipulando, vnicuique dominorũ pro parte dominij ex stipulatione obligationẽ adquirũt, siue æquales partes, siue inæquales domini in seruo habeant. Inæquales partes habent, vt in hac specie: cùm quis moriẽs Primum & Secundũ heredes instituit, alterum ex besse, id est, ex vnciis octo, & alterum ex triẽte, id est, ex quattuor vnciis. Nã easdẽ partes habebũt in seruis in hereditate repertis, nẽpe alter duas partes è tribus, & alter tertiã. Quòd si communis seruus vnius ex dominis in stipulando mentionem fecerit, dicendo: DOMINO MEO PRIMO DARE SPONDES? illi soli adquirit. Idémque est, & si non specialiter Primi mentionem habuerit in stipulãdo: sed quum iussu Primi stipularetur, impersonaliter stipulatus fuerit. Nam & hic soli Primo adquirit. Propterea, quod nominis habita mẽtio, & præcedẽs do-

¶ Οἰκέται δὲ ἐπίκοινοι ἐπερωτῶντες ἑκάστῳ τῶν δεσποτῶν pro parte dominica ἐκ τῆς ἐπερωτήσεως προσπορίζουσιν ἐνοχήν. εἴτε ἐξ ἴσων μερῶν, εἴτε ἐξ ἀνίσων δεσπόζουσι τοῦ οἰκέτου. ἐξ ἀνίσου δὲ συμβαίνει, οἷον ἡνίκα τις τελευτῶν, πρῖμον καὶ σεκοῦνδον ἐνστήσεται κληρονόμους. τὸν μὲν εἰς ὀκτώ, τὸν δὲ εἰς δ' οὐγκίας. καὶ τοσοῦτον γὰρ δεσπόζουσι τῶν ἐν τῇ κληρονομίᾳ εὑρεθέντων οἰκετῶν, ὁ μὲν εἰς τὸ δίμοιρον, ὁ δὲ εἰς τὸ τρίτον. εἰ δὲ ὁ ἐπίκοινος οἰκέτης ἐν τῷ ἐπερωτᾶν, ἑνὸς τῶν δεσποτῶν μνημονεύσει εἰπών, ὉΜΟΛΟΓΕῖΣ ΔΙΔΌΝΑΙ ΠΡΊΜῼ Τῼ ἘΜῼ ΔΕΣΠΌΤῌ; ἐκείνῳ μόνῳ προσπορίζει. τοῦτο δέ ἐστιν, εἰ καὶ μὴ μνημονεύσῃ ἰδικῶς περὶ πρίμου ἐν τῇ ἐπερωτήσει, ἀλλὰ ἀπροσώπως ταύτην ποιήσεται. κἀνταῦθα γὰρ μόνῳ πρίμῳ προσπορίζει. διὰ τὸ ἰσοδυναμεῖν τῇ μνήμῃ τοῦ ὀνόματος τὴν τοῦ δεσπό

θ. Seruus cõmunis.

8 Quod seruus.

δεσπότου κελεύσιν. ¶ Εἰ δὲ ἀπροσδιορίστως ἐπερωτήσει ὁ οἰκέτης, τὸ εἰς ἐπερώτησιν ἐνεχθὲν πρᾶγμα, τῷ ἑνὶ τῶν δεσποτῶν προσπορισθῆναι οὐ δύναται. ὑπόθου γὰρ ἐμὲ καὶ πρῖμον ἐπίκοινον ἔχειν οἰκέτην. τίτιον δὲ ἐπερωτᾶσθαι ὑπὸ τοῦ κοινοῦ ἡμῶν δούλου οὕτως, ὉΜΟΛΟΓΕΙ͂Σ Ὦ ΤΙΤΙΕ ΔΟΥ͂ΝΑΙ ΤΌΝΔΕ ΤῸΝ ἈΓΡΌΝ. τῆς δὲ ἐμῆς ἐτύγχανε δεσποτείας οὗτος ὁ ἀγρός, ὅσον ἐπ᾽ ἐμοὶ οὐκ ἔρρωται ἡ ἐπερώτησις. ἐπειδὴ οὐδὲ ἐγὼ δι᾽ ἐμαυτοῦ ἰσχυρῶς ἐπερωτῶ νῦν τὸ ὑπ᾽ ἐμοῦ δεσποζόμενον πρᾶγμα. δάρε γάρ ἐστι τὸ ποιῆσαι δεσπότην. ἐπὶ πλέον δὲ γενέσθαι δεσπότης οὐ δύναμαι τοῦ ἐμοῦ. εἰ τοίνυν εἰς τὸ ἐμὸν πρόσωπον ἀνίσχυρός ἐστιν ἡ ἐπερώτησις, ζητεῖται εἰς τὸ ἐμοὶ ἐποφεῖλον προσπορισθῆναι, πότερον ἄχρηστος οὖσα ἡ ἐπερώτησις ἀνενέργητός ἐστιν; ἢ ἐμοὶ μὲν οὐδὲν προσπορίζεται, τῷ κοινωνῷ δὲ ὅλον δοθήσεται;

mini iussus tantum dē præstent. ¶ Quòd si indefinitè stipulatus fuerit seruus, & res quę in stipulationem deducta est, alteri ex dominis adquiri non posit: finge enim mihi & Primo communem esse seruum, cúmque ita à Titio stipulatum esse: FVNDVM HVNC TITI DARE SPONDES? si meus hic fundus fuerit, quantum ad me attinet stipulatio non valet. Quoniam neq; per meipsum rectè stipulor rem cuius sum dominus. Dare enim, est dominum facere. At eius, quod meum est, amplius dominus fieri non possum. Si igitur ex persona mea infirma est stipulatio: quęritur, an quantum ad id pertinet, quod mihi debebat adquiri, inutilis sit stipulatio, & sine effectu: an verò potius, mihi quidem nihil adquirat, sed socio detur solidū?

ὅπερ

Quod & placuit, propter regulã, qua dicimus: quod vni ex dominis adquiri non potest: id alteri, qui adquisitionis capax est, & ad obligationem admittitur, adquiri.

ὅπερ καὶ ἤρεσε διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι τὸ τῷ ἑνὶ τῶν δεσποτῶν οὐ δυνάμενον προσπορισθῆναι, τοῦτο τῷ ἑτέρῳ προσπορίζεται, τῷ δεκτικῷ τυγχάνοντι τοῦ προσπορισμοῦ.

## DE DIVISIONE STIPVLATIONVM. Titul. XVIII.

NEC verò absurdum fuerit, & stipulationum diuisionem nouisse. Stipulationum enim aliæ sunt Iudiciales, alię Prætorię, alię Conuentionales, & alię Cõmunes: hoc est, Prętorię simul & Iudiciales. Et Iudiciales quidem sunt vnius generis, quęcumque à mero Iudicis officio proficiscuntur. Qualis est de dolo stipulatio. Est autem ei locus, quando cũ eo, qui mihi ex stipulatione seruum debet, ago actione ex stipulatu. At reus pro certo habens fore, vt condemnetur, venenũ ei dat, quod paulò post quàm

Οὐκ ἄτοπον δὲ καὶ τὰς τῶν ἐπερωτήσεων ἡμᾶς γνῶναι διαιρέσεις. τῶν γὰρ ἐπερωτήσεων, αἱ μέν εἰσι ἰουδικιάλιαι, αἱ δὲ πραιτώριαι, αἱ δὲ κονβεντιονάλιαι, αἱ δὲ κοιναὶ, τουτέστι πραιτώριαι ἅμα καὶ ἰουδικιάλιαι. καὶ ἰουδικιάλιαι μέν εἰσι μονοειδεῖς, αἵτινες ἐκ μόνου τοῦ ὀφφικίου τοῦ δικαστοῦ ὁρμῶνται. ὁποία ἐστὶν ἡ περὶ τοῦ δόλου ἐπερώτησις. χώρα δὲ αὐτῇ ἐστιν, ἡνίκα κινῶ κατά τινος ἐξ ἐπερωτήσεως ἐποφείλοντός μοι οἰκέτην, τὴν ἐξ στιπουλάτου. εἰδὼς δὲ ὁ ἐναγόμενος, ὡς παντὶ τρόπῳ καταδικασθήσεται, φάρμακον αὐτῷ παράσχῃ, μικρὸν ὕστε-

ρον

ργον μετὰ τὴν τοῦ οἰκέτου ἀπόδοσιν ὀφεῖλον αὐτὸν ἀνελεῖν τὸν οἰκέτην. ὀφφίκιον ἐστὶ τοῦ δικαστοῦ διὰ τὰς τοιαύτας ὑπονοίας ἀναγκάζειν τὸν ῥέον, ἤτοι τὸν ἐναγόμενον διδόντα τὸν οἰκέτην ἐπερωτᾶσθαι, ὅτι οὐδένα δόλον ἐμηχανήσατο, ἐπὶ βλάβῃ τοῦ παρεχομένου οἰκέτου. ἰουδικιάλια ἐστὶν ἐπερώτησις, καὶ ἡ περὶ τῆς ἀπαιτήσεως τοῦ ἐν φυγῇ διάγοντος οἰκέτου. εἰ γάρ τις τὸν οἰκέτην μου ἀγοράζει παρά τινος βοναφίδει, καὶ βιτίου μὴ ὑπόντος ἀκωλύτως τρέχει ἡ οὐσουκαπιών, περὶ τὸ τέλος τυχὸν τοῦ χρόνου τοῦ πληροῦντος τὴν οὐσουκαπίονα, περὶ δύο, ἢ καὶ τριῶν μηνῶν εἰ κινήσω τὴν ἰν ῥὲμ κατὰ τοῦ νομέως, ἐπεκτεινομένης δὲ τῆς δίκης πληρωθῇ ἡ οὐσουκαπιών, εἶτα δίχα δόλου τοῦ ἐναγομένου ὁ οἰκέτης δραπετεύσῃ, μετὰ δὲ ταῦτα, ἀποδείξω ἐγὼ ὁ ἐνάγων τῆς ἐμῆς γεγενῆσθαι δεσποτείας· ἐπειδήπερ ἄτοπόν ἐστι καταδικασθῆναι τὸν ἐναγόμενον μηδὲν ἐπ-

ται

ſeruum mihi dederit, enecare eum & interimere poſſit. Officium iudicis eſt ob huiuſcemodi ſuſpiciones, cogere reum vt in dando ſeruo, ſtipulanti promittat: nihil ſe dolo malo feciſſe, quo ſeruus lęderetur. Iudicialis eſt ſtipulatio, & de perſequendo ſeruo, qui in fuga eſt. Nam ſi quis ſeruũ meum ab aliquo bona fide emerit, cum neq; vitium ſubeſſet: nihil impedit, quo minus currat vſucapio. Quòd ſi nunc ego ante finem tẽporis, quod vſucapionem perficit, fortè ante duos aut etiam tres menſes, cum poſſeſſore actione in rem agã: & cùm longior mora iudicio fieret, impleta ſit vſucapio, ac deinde ſeruus ſine dolo eius quicum agitur, fugiat: poſteáque ego petitor dominum me eius eſſe oſtendam: quoniam & illud iniquum eſt, vt reus cõ

demnetur, qui nihil fraudis in fuga serui admisit: & illud absurdum vt absoluatur, ne iudicium illud omne clusoriũ sit: officium iudicis est, vt reum cautionem prestare cogat: se cùm seruum inuenerit, eum à possessore vindicaturum, veluti qui per prefatã vsucapionem factus sit dominus: eúmq; mihi aut ęstimationem eius restituturum. Nam si vsucaptus non sit seruus, cautione hac nihil indigeo. Dabitur enim actori aduersus quemuis possidentem, potestas rei vindicationem intentãdi. Pretorię autem stipulationes sunt, quęcumque à mera Pretoris iurisdictione proficiscuntur, qualis est damni infecti. Est autem ei locus, cùm vicini ędes tam vitiosę putridęque & iam carie sunt consumptę, vt ruinam minẽtur. Etenim si nolit vici

τυχηκότα ἐπὶ τῇ τοῦ οἰκέτου φυγῇ, ἀφίεσθαι δὲ αὐτὸν ἄτοπον ὑπάρχει, ἵνα μή πως ἀνόνητός μοι γένηται ἡ ἐν τῷ τοιούτῳ δικαστηρίῳ δίκη· ὀφφίκιον ἐστὶ τοῦ δικαστοῦ, ἀναγκάζειν τὸν ἐναγόμενον, διδόναι καυτίονα, ὡς ἐπειδὰν εὕρῃ τοῦτον τὸν οἰκέτην, κινήσῃ κατὰ τοῦ κατέχοντος τὴν ἰν ρέμ· οἷα γενόμενος ἤδη δεσπότης, ἐκ τῆς εἰρημένης οὐσουκαπίονος, καὶ τοῦτον ἀποκαταστῆσαί μοι, ἢ τὸ αὐτοῦ τίμημα. εἰ γὰρ οὐκ ἔτυχεν οὐσουκαπιτευθείς, οὐδὲ ἐδεόμην τῆς τοιαύτης καυτίονος. δοθήσεται γὰρ τῷ ἄκτωρι, κατὰ παντὸς ἑτέρου διακατέχοντος αὐτὸν, κινεῖν ἀκωλύτως τὴν ἰν ρέμ. πραιτώρειαι δέ εἰσιν ἐπερωτήσεις, αἵτινες ἐκ μόνης τῆς τοῦ πραίτωρος δικαιοδοσίας κατάγονται. ὁποία ἐστὶν ἡ damni infecti, ἤγουν ἡ ἐπιζημίου. χώρα δὲ ταύτῃ, ἡνίκα ἡ τοῦ γείτονος οἰκεία διὰ τὴν αὐτῇ προσοῦσαν σαθρότητα πτῶσιν ἀπειλεῖ. εἰ γὰρ μὴ βουληθῇ ταύτης φροντίδα ποιήσασθαι ὁ γεί-

των,

των, μηδὲ ἐπερωτηθῆναι, ὡς εἰ συμβῇ ἐκ τῆς αὐτῆς καταπτώσεως βλαβῆναί με, ὅτι θεραπεύσει μοι τὴν ἐντεῦθεν συμβησομένην βλάβην, πέμπομαι ἐπὶ νομῇ τῆς σαθρᾶς οἰκίας. βουλόμενος τοίνυν ὁ γείτων μὴ γενέσθαι με ἐν νομῇ τῆς αὐτοῦ οἰκίας, ἀναγκάζεται ἐπερωτᾶσθαι τὴν τοιαύτην ἐπερώτησιν, τὴν ἐπὶ ἀτελεῖ, τουτέστι δάμνι ἰνφέκτι τῇ ζημίᾳ. διὰ γὰρ τὸ μήπω γενέσθαι τὴν ἐκ τῆς καταπτώσεως βλάβην, δάμνι ἰνφέκτι προσαγορεύεται. τοιαύτη δέ ἐστι καὶ ἡ λεγατόρουμ. εἰ γάρ τις τελευτῶν ἐνστήσεταί σε κληρονόμον, ληγάτον δέ μοι καταλείψει ὑπὸ αἵρεσιν, οἷον SI NAVIS EX ASIA VENERIT, ἐπειδὴ τῆς αἱρέσεως ἠρτημένης ἀγωγὴν οὐδεμίαν κατὰ σοῦ τοῦ κληρονόμου κινεῖν δύναμαι, ἔστι δὲ δέος οὐ μικρόν, ἵνα μὴ ἐν τῷ μεταξὺ δαπανήσῃς σὺ ὁ κληρονόμος τὴν περιουσίαν, εἶτα ἄπορος γεγονώς, ἀνώ-

nus refectionem earum ad curam ſuã vocare, neque ſpondeat, ſe damnum quod mihi ex ruina earum, ſi collapſę dãno me affecerint, illatum fuerit, reſarturum: in poſſeſsionem ędium vitioſarum mittor. Vicinus igitur qui me nolet in poſſeſsionem ędium ſuarum mitti, repromittere mihi cogitur hanc dãni infecti ſtipulationem: hoc eſt, de damno, quod nondum cõtigit. Nam inde eam appellationem habet, quòd nondũ ex ruina ędium dãnum ullum factum ſit. Huiuſcemodi ſtipulatio eſt & ea quę Legatorum dicitur. Nam ſi quis moriẽs heredem te inſtituerit, & legatum mihi à te ſub condicione reliquerit: veluti, SI NAVIS EX ASIA VENERIT: quoniam pendente conditione, nullam aduerſus te heredẽ actionẽ mouere poſſum: & non mediocris ſubeſt formido, ne tu medio tẽpore, conſumptis ac confectis fortunis omnibus,

bus, ad inopiam redactus inane mihi beneficium testatoris facias: iubet te heredem Pretor repromittere, & ante conditionis euentum, etiam datis fideiussoribus, legatū à te vbi cōditio extiterit prestitum iri. Id si heres facere nolit, ego in possessionem rei legatę aut etiam totius hereditatis mittar. In numero autem Pretoriarum stipulationū habentur & edilitię stipulationes. Nam & hę à iurisdictione Pretoris veniunt. Est autem his locus in interrogationib⁹, quę de vitiis morbisque in vendendis seruis fieri solent. Venditorem enim emptori repromittere oportet: sc, si qd occulti vitij morbi ve in seruo vendito inuentū fuerit, duplum (verbi gratia) prestaturū. Conuentionales verò sunt, quęcumque ex communi conuentione vtriusq; partis con-

νητὸν μοι ποιήσης τὴν τοῦ τεστάτωρος φιλοτιμίαν· κελεύει ὁ πραίτωρ ἐπερωτᾶσθαί σε τὸν κληρονόμον πρὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως. διδόναι δὲ καὶ ἐγγύας ὡς ἐκβάσης τῆς αἱρέσεως παρέξεις τὸ ληγάτον. τοῦτο δὲ ποιεῖν τοῦ κληρονόμου μὴ ἀνεχομένου, ἐπὶ νομῇ ἢ τοῦ ληγατευθέντος πράγματος, ἢ πάσης πεμφθήσομαι τῆς περιουσίας. ταῖς δὲ πραιτωρίαις ἐπερωτήσεσι συναριθμοῦνται καὶ αἱ ædilitiæ ἐπερωτήσεις. καὶ ταύτας γὰρ ἐκ τῆς τῶν ædilium ἰουρισδικτζίωνος ἔχειν τὴν γένεσιν συμβαίνει. χώρα δὲ αὐταῖς ἐστιν, ἐπὶ τῶν ἐπερωτήσεων, αἳ γίνονται διὰ τὰ πάθη τὰ ἐν τοῖς πιπρασκομένοις οἰκέταις. δεῖ γὰρ τὸν πράτην ἐπερωτᾶσθαι τῷ ἀγοραστῇ, ὡς εἰ πάθος εὑρεθῇ κρυπτὸν ἐν τῷ πιπρασκομένῳ οἰκέτῃ παρέξει τὸ διπλάσιον λόγου χάριν. κονβενσιονάλιαι δέ εἰσιν, αἵ τινες ἐκ κοινῆς συναινέσεως ἑκατέρου μέρους γίνονται, τουτέστι

οὐδὲ κελεύσει τοῦ δικαστοῦ, οὐδὲ κελεύσει πραίτωρος, ἀλλ' ἐκ προαιρέσεως τῶν συναλλαττόντων. τοσαῦτα γὰρ γένη τῶν κονβεντιοναλίων ἐπερωτήσεων, ὅσα σχεδὸν καὶ συναλλάγματα. κομμοῦνες δέ εἰσιν ἐπερωτήσεις, ἤγουν κοιναὶ, οἷον ἡ rem pupilli saluam fore, ἐπερώτησις. ὁ γὰρ πραίτωρ τὸν καθιστάμενον ἐπίτροπον ἐγγύας διδόναι κελεύει, καθὰ εἴρηται ἐν τῇ α̅ ἰνστιτουτίωνι, ὅτι σῶα καὶ ἀκέραια τοῦ εὐήβου φυλαχθήσονται τὰ πράγματα. εἰ δὲ συμβῇ περὶ τὴν ἱκανοδότως ἐνάγειν τὸν ἐπίτροπον πουπίλλου δεβίτωρα, ὁ δὲ ἀποκρίνασθαι μὴ βουληθῇ, μηδὲ ὑποδέξασθαι τὸ δικαστήριον, διὰ τὸ μήπω δεδόσθαι τὰς παρὰ τοῦ ἐπιτρόπου ἐγγύας, ἐπειδὴ τὸ δικαστήριον ἄλλως προϊέναι οὐ δύναται, κελεύει ὁ δικαστὴς ὁ δικάζων τῷ ἐπιτρόπῳ, καὶ τῷ πουπίλλου δεβίτωρι δοθῆναι τὴν rem pupilli saluam fore ἱκανοδοσίαν. καὶ εὑρεθήσεται δι' αὐτῆς, κοινὴ τοῦ τε πραίτωρος

cipiũtur, hoc est, neque iussu iudicis, neque iussu Prætoris, sed ex volũtate contrahentiũ. Tot enim sunt genera conuentionaliũ stipulationum, quot penè & contractus. Cõmunes autẽ stipulationes sunt, veluti Rem pupilli saluam fore. Nam prętor, vt dictum est libro primo, eum, qui tutor constituitur, datis fideiussoribus cauere iubet, rem pupilli saluam & incolumẽ fore. Quòd si contingat, vt ante satisdationem tutor debitorẽ pupilli conueniat, atque is neq; respondere velit, neque iudicium suscipere, quòd nondum tutorem dicat satisdedisse: quoniam aliter iudicium procedere non potest, iubet tutori iudex ad quem in ius aditum est, vt debitori pupilli satisdet rem pupilli saluam fore. Et ita inuenietur hæc stipulatio cõmunis

δικασ

iurisdictioni Prętoris, & officio iudicis. Idem est & in stipulatione, ratam rem dominum habiturũ. Quoniam & Prętor eum, qui alieno nomine agit, cùm dubium est, an ex domini volũtate intendat, satisdationem pręstare iubet. Et si contingat, vt aliquis tamquam mãdatum habẽs, mecum agat: quoniam me dubitationem de mandato interiiciente, iudicium procedere nõ potest iudex actorẽ iubet repromittere, ratã rem dominum habiturum. Et hoc modo, in cõstitutione pręsentis stipulationis communicabunt, tum Prętor, ex cuius iurisdictione ea res in vniuersum descendit, tum iudex, qui vt iudiciũ procedat, fieri hæc procurat.

δικαιοδοσίας, καὶ τοῦ ὀφφικίου τοῦ δικαστοῦ. τὸ αὐτό ἐστι καὶ ἐπὶ τῆς Ratam rem dominum habiturum. τοῦ γὰρ πραίτωρος κελεύοντος τὸν alieno nomine ἐνάγοντα, ἐπειδὴ οὐ ἀμφιβάλλεται, εἰ κατὰ γνώμην δεσπότου ποιεῖ τὴν ἐπίτασιν, διδόναι ἱκανοδοσίαν, εἰ συμβαίη τινὰς ὡς κατὰ μανδάτον τοῦ ἀπόντος κινῆσαι κατ' ἐμοῦ ἀγωγὴν, ἐπειδὴ περὶ τὸ μανδάτον, ἐμοῦ ἀμφιβάλλοντος, οὐ δυνατὸν περιιέναι τὸ δικαστήριον, ἀναγκάζει ὁ δικαστὴς τὸν ἐνάγοντα παρασχεῖν τὴν ratam rem dominum habiturum. καὶ τούτῳ τῷ τρόπῳ κοινωνήσουσιν ἐπὶ τῇ συστάσει τῆς παρούσης ἐπερωτήσεως, ὅ, τε πραίτωρ καθ' ὅλου τοῦτο νομοθετῶν, καὶ ὁ δικαστὴς διὰ τὸ περιελθεῖν τὸ δικαστήριον ταῦτα γίνεσθαι παρασκευάζων.

## DE INVTILIBVS STIPVLATIONIBUS. Titul. XIX.

Stipulationum, alię vtiles sunt, aliæ inutiles. Et

Τῶν ἐπερωτήσεων, αἱ μὲν εἰσι χρήσιμοι αἱ δὲ ἄ-

χρήσιμοι· ἀλλ' αἱ μὲν χρήσιμαι πολλαί, αἱ δὲ ἄχρηστοι ὀλίγαι. δεῖ οὖν εἰπεῖν περὶ τῶν ὀλίγων. ἐντεῦθεν γὰρ τὸ πλῆθος εἰσόμεθα τῶν χρησίμων. τέως δὲ εἰδέναι χρή, ὅτι πᾶν πρᾶγμα, ὃ τῇ ἡμετέρᾳ ὑποπίπτειν δύναται δεσποτείᾳ, ὀρθῶς εἰς ἐπερώτησιν κατάγεται. εἴτε κινητὸν εἴη, εἴτε ἀκίνητον. εἰ δέ τις ἐκεῖνο ὅπερ ἐν τῇ τῶν πραγμάτων οὐκ ἔστι φύσει, ἢ γενέσθαι οὐ δύναται δοθῆναι αὐτῷ ἐπερωτήσει, ἄχρηστος ἡ ἐπερώτησις. καὶ τὸ μὲν οὐκ ὂν ἐν φύσει ἐστὶ τοιοῦτον. οἷον, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟ͂ΝΑΙ ΜΟΙ ΣΤΙ͂ΧΟΝ ΤΟ͂Ν ΟἸΚΕ͂ΤΗΝ, ὄντος δὲ ἤδη τετελευτηκὼς, ὑπόπτευον δὲ αὐτὸν περιεῖναι. τὸ δὲ ἔσεσθαι μὴ δυνάμενον, οἷον ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟ͂ΝΑΙ ΜΟΙ ἹΠΠΟΚΕ͂ΝΤΑΥΡΟΝ, ὃς γενέσθαι οὐ δύναται. ἄχρηστος ἡ ἐπερώτησις ὡς εἴρηται.

6. Idem iuris. ¶ Τὸ αὐτό ἐστιν, εἰ καί τις πρᾶγμα ἐπερωτήσει σάκρον, ἢ

vtiles quidem multę, inutiles verò paucę. Necesse est igitur de paucis dicere: etenim per eas & multitudinem vtilium cognoscemus. In primis sciendū est, rem quamque, quæ dominio nostro subiici potest, vtiliter in stipulationem deduci, siue mobilis sit, siue immobilis. At si quis rem quę in rerum natura non est, aut esse non potest, dari sibi stipulatus fuerit: inutilis est stipulatio. Et quod in rerum natura non est, tale fuerit veluti STICHVM SERVVM MIHI DARE SPONDES? cùm is mortuus sit, & ego eum viuere putarim: quod esse non potest: veluti HIPPOCENTAVRVM MIHI DARE SPONDES? qui esse non potest. In his itaque inutilis est stipulatio, vt dictum est. ¶ Idem est etiā, si quis rem sacram aut religiosam, stipulatus fuerit, quam humani iuris

ris esse credebat: aut publicam rem, quæ vsibus populi perpetuò destinata & exposita est, veluti forum, theatrum, arenam, & si qua talia: aut liberum hominem, quem putabat seruum esse: aut rem cuius commercium non habebat (id est, quam emere nō poterat: quoniam commerciū est, facultas vt vendere aut emere liceat): Sunt enim res quædam, quarū non quiuis iustum habet commerciū, veluti Prędiū, quod orthodoxa ecclesia habet, hæreticus cōparare non potest. Aut si rem meam à te stipulatus fuero, dicens, REM ILLAM DARE MIHI SPONDES? quoniam dare, est dominum facere. at eius, quod meū est, amplius nō possum dominus fieri. Nec verò dicimus interim in pendenti esse stipulationis potestatem & constitutionem: ob id quòd me

ῥελεγιόσσον, ὅπερ ἀνθρωπίνου δικαίου ἐπίσδυον εἶναι, ἢ πουβλικόν, ὅπερ ταῖς τοῦ δήμου ἀεὶ ἀφώρισται χρείαις ἤτοι ἀνάκειται. οἷον ὁ φόρος, τὸ θέατρον, κυνήγιον, καὶ ὅσα τοιαῦτα. ἢ τὸν ἐλεύθερον ἄνθρωπον, ὃν οἰκέτην ὑπώπτευον εἶναι. ἢ πρᾶγμα οὗ κομμέρκιον οὐκ εἶχον. τουτέστιν ὃ ἀγοράζειν οὐκ ἠδυνάμην. κομμέρκιον γάρ ἐστιν ἡ τοῦ δύνασθαι πιπράσκειν, ἢ ἀγοράζειν ἐξουσία. ἔστι δὲ τοιοῦτον πρᾶγμα ἐφ' ᾧ πᾶς δίκαιον οὐκ ἔχει κομμέρκιον. οἷον τὸ κτῆμα ὃ ἔχει ἡ ὀρθόδοξος ἐκκλησία, αἱρετικὸς οὐ δύναται κτᾶσθαι. ἢ ἐὰν τὸ πρᾶγμα τὸ ἐμὸν ἐπερωτήσω σε λέγων: ΟΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΟΝΑΙ ΜΟΙ ΤΟΔΕ ΤΟ ΠΡΑ͂ΓΜΑ; δοῦναι γάρ ἐστι, τὸ ποιῆσαι δεσπότην. ἐπὶ πλέον δὲ τοῦ ἐμοῦ γενέσθαι δεσπότης οὐ δύναμαι. καὶ οὐδὲ λέγομεν ἐν ἠρτημένῳ τὴν τῆς ἐπερωτήσεως εἶναι δύναμίν τε καὶ σύστασιν, διὰ τὸ εἰκὸς εἶναι ἐν

τῷ μεταξὺ τὸ πούβλικον πρᾶγμα εἰς ἰδιώτου μεταπίπτειν δύναται δεσποτείαν, τυχὸν βασιλέως τούτο παρασχόντος. καὶ ὁ ἐλεύθερος ὢν, οἰκέτης δύναται γίνεσθαι. τυχὸν γὰρ ἀπελεύθερος ὢν, ὡς ἀχάριστος κατεδουλώθη τῷ πάτρωνι. καὶ κομμέρκιον πολλάκις δύναταί τις παρὰ βασιλέως λαβεῖν ἐπ' ἐκείνου, οὗ τῆς κτήσεως ἐφικέσθαι κεκώλυται. καὶ τὸ ἐμὸν πρᾶγμα τῆς ἐμῆς εἶναι δεσποτείας παύσασθαι δύναται. ὡς λοιπὸν περιστῆναι εἰς τὸ ἀνεμποδίστως λέγειν, ἰσχυρὰν εἶναι τὴν ἐπερώτησιν. ἀλλ' εὐθέως ἐξ ἀρχῆς, ἄχρηστον εἶναι ταύτην λέγομεν. ὁμοίως ἐκ τοῦ ἐναντίου, εἰ καὶ ἐξ ἀρχῆς χρήσιμος ἡ ἐπερώτησις ἐγεγόνει, μετὰ δὲ ταῦτα εἰς μίαν τῶν προειρημένων ἐμπέπτωκεν αἰτιῶν ἄνευ τῆς γνώμης, οὐδὲ σπουδῆς τοῦ ἐπερωτηθέντος, ἀποσβέννυται ἡ ἐπερώτησις. οἷον ἐπηρώτησά σε, ὁμολογεῖς διδόναι

dio tempore res illa publica in priuati hominis dominium recidere possit, si fortè Imperator eã illi donarit. Et qui nũc liber est, seruus fieri possit: fortè enim libertinus est, qui vt ingratus à patrono redigi potest in seruitutem. Et sæpe commercium aliquis impetret à Principe eius rei, ad cuius comparationem accedere prohibebatur. Ac fieri possit, vt res mea, desinat mea esse. Sic vt deinde re in eũ casum veniat, quo sine impedimento dicere possimus, vtilẽ esse stipulationem. Sed nos eam dicimus statim ab initio inutilẽ esse. Similiter ex cõtrario: licet ab initio vtilis stipulatio fuerit, si postea res in aliquam eorum, de quibus iam dictũ est, caussam, sine facto & nõ studio promissoris, deuenerit, extinguitur stipulatio: velut, stipulatus ita sum à te: STICHVM SERVVM DARE

DARE MIHI SPONDES? At ille Primo seruiebat, & dubio procul valebat stipulatio. Sed contigit, vt is sine facto tuo à domino manumitteretur. Aut ita sum stipulatus à te: LOCVM HVNC (qui tum priuati iuris erat) DARE MIHI SPONDES? deinde is antequam peterem, sacer aut religiosus factus est: inutilis erit stipulatio, vt dictum est. Cùm enim res in eum casum deuenit, vnde incipere non poterat, extinguitur. At ab initio stipulari non poterã liberam personam, aut rem sacram religiosámve. Quid ergo? si quis liberam personam ita stipulatus sit, TITIVM CVM SERVVS FVERIT, DARE MIHI SPONDES? Aut publicã rem ita, LOCVM HVNC IN QVO THEATRVM

ΜΟΙ ΣΤΙ͂ΧΟΝ ΤῸΝ ΟἸΚΈΤΗΝ. οὗτος δὲ πρίμῳ ἐδούλευε. καὶ ἦν ἰσχυρὰ ἡ ἐπερώτησις ἀμάχως. συνέβη δὲ οὐ κατὰ σὴν γνώμην ἐλευθερωθῆναι αὐτὸν ὑπὸ τοῦ δεσπότου. ἢ ἐπερώτησά σε, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ΜΟΙ ΤΌΝΔΕ ΤῸΝ ΤΌΠΟΝ, ὃς ἦν ἰδιωτικοῦ δικαίου. εἶτα περὶ τὸν ἀπαιτήσεως καιρὸν γέγονε, ἢ ῥελιγιόσος. ἄπρακτος ἡ ἐπερώτησις, καθὼς εἴρηται, γίνεται. ἡνίκα γὰρ θέμα εἰς τοιαύτην περιστάσιν φάκτου, ἀφ' οὗ τὴν ἀρχὴν οὐκ ἠδύνατο λαμβάνειν, σβέννυται. οὐκ ἠδυνάμην δὲ ἐξ ἀρχῆς ἐπερωτᾶν, οὔτε τὸν ἐλεύθερον, οὔτε τὸ σάκρον, ἢ ῥελιγιόσον. τί οὖν ὅτι τὶς περὶ ἐλευθέρου ἐπηρώτησεν οὕτως, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ΜΟΙ ΤΊΤΙΟΝ, ὉΠΌΤΕ ΔΟΥ͂ΛΟΣ ΓΈΝΗΤΑΙ; ἢ περὶ πουβλίκου, ὉΜΟΛΟΓΕΙ͂Σ ΔΙΔΌΝΑΙ ΜΟΙ ΤΌΝΔΕ ΤῸΝ ΤΌ-

ΠΟΝ ἘΝ ᾯ ἘΣΤΙ ΤΟ ΘΕΑΤΡΟΝ, Ἢ ΤΟ ΚΥΝΗΓΙΟΝ, ἘΑΝ ΓΕΝΗΤΑΙ ἸΔΙΩΤΙΚΟΥ̃ ΔΙΚΑΙΟΥ; ἄχρηστος ἐξ ἀρχῆς ἡ ἐπερώτησις. τὰ γὰρ ἐξ ἀρχῆς ἀνυπόστατα ἐκ τῶν μετὰ ταῦτα γινομένων οὐ βεβαιοῦνται. ἐπειδὴ τὰ κατ' οἰκείαν φύσιν τῇ ἡμετέρᾳ δεσποτείᾳ μὴ ὑποπίπτοντα εἰς ἐπερώτησιν ἐρρωμένως οὐ κατάγεται.

β. Si quis alium. ¶ Ἐάν τις ἕτερον δώσειν, ἢ ποιήσειν ὁμολογήσῃ τι, ἔνοχος οὐ γενήσεται. οἷον ἐὰν εἴπω ὉΜΟΛΟΓΩ̃ ΔΏΣΕΙΝ ΣΟΙ ΤΙ´ΤΙΟΝ ΔΕ´ΚΑ ΝΟΜΙ´ΣΜΑΤΑ, Ἢ ΠΟΙΗ´ΣΕΙΝ ΣΟΙ ΟἸΚΙ´ΑΝ. εἰ δὲ εἴπω ὅτι παρασκευάσω, ἵνα ὁ τίτιος παράσχῃ σοι δέκα νομίσματα, ἔρρωται ἡ ἐπερώτησις. ἐμαυτοῦ γὰρ φάκτον ἐπηγγειλάμην.

β. Si quis alij. ¶ Ἐάν τις ἑτέρῳ ᾧ οὐκ ἔστιν ὑπεξούσιος ἐπερωτήσῃ, ἀνισχύρως ἐπερωτᾷ.

β. Plane ¶ Καταβολὴ μέντοι καὶ εἰς ἐξωτικὸν πρόσωπον γίνεσθαι δύνα-

EST VEL ARENA, CVM PRIVATI IVRIS FVERIT, DARE MIHI SPONDES? inutilis est ab initio stipulatio. Quæ autem ab initio non consistunt, ex post facto non cōfirmantur. Quoniam quæ natura sui dominio nostro exempta sunt, vtiliter in stipulationem non deducuntur. ¶ Si quis alium daturū quid facturúmve promiserit, non obligabitur: veluti si dicam, TITIVM TIBI DECEM AVREOS DATVRVM, AVT DOMVM TIBI AEDIFICATVRVM SPONDEO. Quòd si me effecturū procuraturúmque dixerim, vt Titius tibi decem aureos daret: valet stipulatio, quoniā factum meū promisi. ¶ Si quis alij, cuius iuri subiectus nō sit, stipuletur, inutiliter stipulatur. ¶ Solutio tamen in extraneam personam

conferri potest. Veluti, si ita ego stipuler, MIHI AVT SEIO DECEM AVREOS DABIS? Nam obligatio mihi soli, qui stipulor, adquiritur: Soluere autē Seio rectè vel me inuito poteris, vt tu ipso iure soluendo libereris. Sed ego deinde mandati actionē aduersus Seium habebo, ad aureorum ei datorum repetitionem.

¶ Si ita stipuler, MIHI ET TITIO (qui in potestate mea non sit) DECEM AVREOS DABIS? valet quidem stipulatio. Sed vtrùm totum id quod in stipulationem deductum est debeatur, quasi Titius in stipulatione positus esse non intellegatur, propterea quòd adquisitionis nō sit capax: an verò dimidia tātum pars, propter coniunctionem, & quæ coniungendi vim habet: dubitatur. Sed placuit, nō plus dimidia parte

δύναται. οἷον ἐὰν οὕτως ἐγὼ ἐπερωτήσω, ΕΜΟΙ Η ΣΕΙΩι ΔΩΣΕΙΣ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΑ; ἡ μὲν γὰρ ἐνοχὴ ἐμοὶ τῷ ἐπερωτήσαντι μόνῳ προσπορίζεται. καταβαλεῖν δὲ τῷ σείῳ καὶ ἄκοντός μου ὀρθῶς δυνήσῃ. ὥστε σὲ καὶ ipso iure ἐκ τῆς καταβολῆς ἐλευθεροῦσθαι. ἕξω δὲ λοιπὸν ἐγὼ κατὰ τοῦ σείου τὴν μανδάτι ἀγωγὴν, ἐπὶ ἀπαιτήσει τῶν δεδομένων αὐτῷ νομισμάτων.

¶ Εἰ δὲ οὕτως ἐπερωτήσω, ΕΜΟΙ ΚΑΙ ΤΙΤΙΩι, ὃς μου οὐκ ἔτυχεν ὑπεξούσιος ὤν, ΔΩΣΕΙΣ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΑ; ἔρρωται μὲν ἡ ἐπερώτησις, ἀλλὰ πότερον τὸ ὅλον ἐποφείλεται, τὸ εἰς ἐπερώτησιν ἐνεχθὲν, οἷα τοῦ τιτίου μηδὲ δοκοῦντος ἐν τῇ ἐπερωτήσει τεθεῖσθαι, διὰ τὸ μηδὲ δεκτικὸν εἶναι αὐτὸν προσπορισμοῦ, ἢ τὸ ἥμισυ μέρος διὰ τὸ καὶ σύνδεσμον συμπλεκτικὸν ὄντα ἀμφιβάλλεται. ἤρεσε δὲ, μὴ πλέον τοῦ ἡμίσεως μέρους προσπορί- 8. Quod si quis.

ζεσθαι ἐμοὶ τῷ ἐπερωτήσαντι, διὰ τὸ ἀχρήστως τὴν τιτίου μνήμην ἐμφέρεσθαι τῇ ἐπερωτήσει.

§. Ei verò. ¶ Ἐὰν ἐπερωτήσω ΔΩΣΕΙΣ ΤΙΤΙΩ; λέγω δὲ ὁ τίτιος ἐμὸς ὑπεξούσιος, ἐμαυτῷ προσπορίζω. ἡ γὰρ ἐμὴ φωνή, τοῦ ὑπεξουσίου μου εἶναι δοκεῖ. ὥσπερ ἡ τοῦ υἱοῦ μου φωνὴ ἐμὴ νομίζεται εἶναι, ἐν τούτοις μέντοι τοῖς πράγμασιν, ἅ τινα δύναται ἡμῖν προσπορίζεσθαι. νοητέον δὲ σήμερον, τὰ ἐξ ῥὲ πάτρις.

§. Praeterea. ¶ Ἄχρηστος πρὸς ταῖς εἰρημέναις ἐπερωτήσεσι κἀκείνη. ἐάν τις μὴ συμφώνως ἀποκρίνεται τῇ ἐπερωτήσει. οἷον, ΟΜΟΛΟΓΕΙΣ ΔΩΣΕΙΝ ΜΟΙ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΑ; σὺ δὲ εἴπῃς, ΔΩΣΩ ΠΕΝΤΕ ΝΟΜΙΣΜΑΤΑ. ἢ ἐγὼ μὲν πέντε ἐπηρώτησα, σὺ δὲ δέκα ὡμολόγησας. ἢ ἐγὼ μὲν πούρως ἐπηρώτησα, σὺ δὲ ὑπὸ αἵρεσιν ὡμολόγησας. ἢ ἐκ τοῦ ἐναντίου, ὑπὸ αἵρεσιν ἐμοῦ ἐπερωτή-

mihi stipulatori adquiri, propterea quod inutiliter Titij mentio stipulationi inserta fit. ¶ Si stipulatus sim, TITIO DABIS? cum Titius in potestate mea esset mihi adquiro. Vox enim mea, vox eius qui in potestate mea est, videtur esse: Quemadmodum & filij mei vox, mea intelligitur, in his duntaxat rebus, quae nobis adquiri possunt. Id quod hodie intelligendum est, quae ex re patris côparantur. ¶ Praeter iam dictas stipulationes inutilis est & illa, Si quis ad interrogationem congruenter non respondeat: veluti, DECEM AVREOS DARE MIHI SPONDES? si tu dixeris, QVINQVE AVREOS DABO. Aut si ego quinque stipulatus sim, & tu decem promittas. Aut si ego purè stipulatus sim, & tu sub condicione promittas. Aut contrà, si me sub condicione stipulato, tu purè

purè respondeas. Hæc autem ita dico, si apertè id exprimas, quod his quæ in stipulatione continentur, contrarium sit: hoc est, si me sub condicione vel in diem stipulato, tu te cuestigio iam datu rum respôdeas. Sin autem id solum respondeas, PROMITTO: compendio sermonis in eandem diem aut sub eadem condicione, videris respondisse. Nec enim necesse est, in respondendo ad interrogationẽ eadem omnia repetere, quæ is, qui stipulabatur, expressit, quoniam verbũ hoc PROMITTO, ad omnia, quę in interrogatione cõtinentur, refertur. ¶ Similiter inutilis est stipulatio, si ego ab his qui in potestate mea sunt stipuler, vel illi à me stipulentur, quoniam inter nos iudicium cõstitui non potest. Sed seruus quidem non solum domino stipulante, non obligabitur, sed neque

συντος, σὺ δὲ ἑτέρως ἀπεκρίνου. ταῦτα δὲ λέγω, εἰ φανερῶς ἐξεφώνησας ἐκεῖνο, ὃ τοῖς περιεχομένοις τῇ ἐπερωτήσει ἐναντίον ἐστί. τουτέστιν εἰ ἐμοῦ ὑπὸ αἵρεσιν, ἢ ἐν δίεμ ἐπερωτῶντος, σὺ ἀπεκρίνου, ἐντεῦθεν ἤδη συνετὸν διδόναι. εἰ δὲ τοῦτο μόνον ἀπεκρίνου, ΟΜΟΛΟΓΩ, συντόμῳ λόγῳ δοκεῖς λέγειν, ὑπὸ τὴν αὐτὴν ἡμέραν, ἢ αἵρεσιν ἀποκεκρίσθαι. οὐδὲ γὰρ ἐπάναγκές ἐστιν ἐν τῷ ἀποκρίνασθαι πρὸς ἐπερώτησιν, ταῦτα πάντα ἀναλαμβάνειν, ἃ καὶ ὁ ἐπερωτήσας ἐξεφώνησε, τὸ γὰρ ΟΜΟΛΟΓΩ, πρὸς πάντα τὰ τῇ ἐπερωτήσει περιεχόμενα ἀναφέρεται.

¶ Ἄχρηστος ὁμοίως ἡ ἐπερώτησις, ἐὰν ἐπερωτήσω τοὺς ἐμοὺς ὑπεξουσίους, ἢ ὑπ' αὐτῶν ἐπερωτηθῶ. μεταξὺ γὰρ ἡμῶν δίκην οὐ δυνατὸν συγκροτεῖσθαι. ἀλλ' οἰκέτης μὲν οὐ μόνον δεσπότου ἐπερωτῶντος, οὐ γίνεται ἔνοχος, ἀλλ' οὐδὲ ἑτέρου

6. Item inutilis.

ἑτέρου τινός. υἱὸς δὲ ὑπεξούσιος ἑτέροις ἐπερωτηθεὶς ἐνέχεται. ὁ γὰρ ὑπεξούσιος ἐν τοῖς συναλλάγμασιν, ἔοικε τῷ αὐτεξουσίῳ.

**7. Mutum.** ¶ Τὸν ἄλαλον, μήτε ἐπερωτᾶν, μήτε ἐπερωτᾶσθαι δύνασθαι τῶν ὁμολογημένων ἐστίν, ὅπερ καὶ ἐπὶ κωφοῦ ἐδέχθη. ἐπειδὴ καὶ τὸν ἐπερωτῶντα τῶν τοῦ ἐπερωτωμένου ῥημάτων, καὶ τὸν ἐπερωτώμενον τῶν τοῦ ἐπερωτῶντος ἀκούειν χρή. περὶ ἐκείνου δὲ ὁ λόγος τοῦ κωφοῦ, οὐχ ὃς βραδέως ἀκούει, ἀλλ᾽ ὃς παντελῶς οὐκ ἀκούει.

**8. Furiosus.** ¶ Ὁ μαινόμενος οὐδὲ ἓν συνάλλαγμα ποιεῖν δύναται. οὐδὲ γὰρ αἴσθησιν ἔχει τῶν γινομένων. ἐστέρηται γὰρ τῆς διαθέσεως. μήτηρ δὲ τῶν συναλλαγμάτων ἡ διάθεσις.

**9. Pupillus.** ¶ Ὁ ἄνηβος πᾶν συνάλλαγμα ἰσχυρῶς συναλλάσσει, ἵνα μέντοι εἴποτε χρεία τῆς τοῦ ἐπιτρόπου γένηται αὐθεντίας, προσληφθῇ ὁ ἐπίτροπος. οἷον ἡνίκα αὐτὸς ἔνοχος γένηται. ἄλλον γὰρ ἑαυτῷ ἔνοχον ὁ πούπιλλος ποιεῖν καὶ

alio quouis: filiusfamilias verò aliis stipulantibus obligatur. Nam in contractibus, filiusfamilias patrifamiliàs similis habetur.

¶ Mutum neque stipulari posse, neque promittere: in confesso est: quod & in surdo receptum est, quoniam & is qui stipulatur, verba promittentis: & is qui promittit, verba stipulantis audire debet. De illo autem surdo loquimur, nō qui tardiùs audit, sed qui penitus non audit.

¶ Furiosus nullum negotium contrahere potest, quoniā nullum eorum, quæ geruntur, intellectum habet. Animi enim affectione caret: porrò mater contractuum est ipsa animi affectio.

¶ Pupillus quoduis negotium rectè contrahit: sic tamen, vt vbi opus est tutoris authoritate, tutor adhibeatur: veluti cùm ipse obligatur. Nam alium sibi obligare pupillus & sine tutore

Ἴδοις γὰρ ἐνταῦθα, ἄμειψιν σαφῶς ἐκάλεσεν, οὐ πρᾶσιν τὸ γινόμενον. τοῦτο δὲ καὶ οἱ πάλαι βασιλεῖς προσεδέξαντο. καὶ ἐν τοῖς διγέστοις πλατέως περιέχεται. ¶Εἰρήκαμεν ἐν τοῖς προλαβοῦσι τὴν ἄγραφον συνίστασθαι πρᾶσιν, ἐκ τοῦ περὶ τὸ τίμημα ὅρου, καὶ τῆς ποσότητος, εἰς ὃ ἑκάτερον ἠρέσθη μέρος. μετὰ τοίνυν τὴν εἰρημένην σύστασιν, ὁ κίνδυνος τοῦ πεπραμένου πράγματος εὐθέως τῷ ἀγοραστῇ ὁρᾷ. εἰ καὶ τὰ μάλιστα μήπω τὸ πρᾶγμα αὐτῷ παραδέδοται. τοιγαροῦν εἴτε οἰκέτης ἐστὶν ὁ πεπραμένος, καὶ τελευτήσει, ἢ γοῦν μέρος τι βλαβῇ τοῦ σώματος, πόδα ἢ χεῖρα, ἢ ὀφθαλμόν, ἢ οἰκία οὖσα ἡ πεπραμένη πᾶσα ἢ ἐκ μέρους πυρὶ δαπανηθῇ, ἢ ἀγρὸς βίᾳ ποταμοῦ ὅλος

θ. Cum autẽ emptio.

λος ἢ ἐκ μέρους ἀπόλειται πλημμύρᾳ ὕδατος, ἢ δένδρων ἐκ θυέλλης ἀνέμου καταπεσόντων πολλῷ ἥττων ἑαυτοῦ καὶ χείρων γένηται ὁ ἀγρὸς, ἐπὶ πάντων τούτων ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. ἀμέλει τοι, εἰ καὶ μήπω τὸ τοῦ πράγματος ἐδράξατο νομῆς, ἀναγκάζεται τὸ τίμημα καταβαλεῖν. καθόλου γὰρ ἴσθι, ἔτι δίχα δόλου καὶ ῥαθυμίας τοῦ πράτου συμβῇ τῷ πράγματι, ἕξει τὸ ἀμέριμνον ὁ πράτης. καὶ ὥσπερ ἡ ἐκ τύχης ἐλάττωσις, ἤτοι ἀπώλεια, τοῦ πεπραμένου πράγματος, εἰς τὸν ἀγοραστὴν ἀναφέρεται· ὡσαύτως καὶ εἴ τι προσγέγονε κέρδος τῷ πεπραμένῳ πράγματι τὸν ἀγοραστὴν ὠφελήσει. ὅθεν, εἰ δι' ἀλλουβίωνος μείζων γέγονεν ὁ ἀγρὸς, ἦν γὰρ τυχὸν ἑκατὸν πλέθρων, μετὰ δὲ τὸ συστῆναι τὴν πρᾶσιν ἐξ ἀλλουβίωνος προσετέθη αὐτῷ ἄλλα δέκα πλέθρα, τοῦ κέρδους ὁ ἀγοραστὴς ἀπολαύσει. χρὴ γὰρ ἐκεῖνον ἔ-

parte inundatione aquarum periit: aut si arboribus turbine & impetu ventorum deiectis, longe minor deteriórque factus est fundus: damnum in his omnibus emptorem respicit. Itaque quamuis possessionem rei nactus non sit, pretium tamen soluere cogitur. Id enim in vniuersum sciendum est: quidquid sine dolo & culpa venditoris, rei venditę acciderit, in eo venditoré securū fore. Et quéadmodum damna, quæ rem venditam aut consumunt aut minuunt, cùm casu acciderint, ad emptorem pertinent: ita & si quid lucri emolumentique rei venditę accesserit, id emptori proderit. Vnde si per alluuioné fundo aliquid adcreuit, fortè enim centum erat iugerum, deinde post contractam venditionem, per alluuionem adiecta sunt decem iugera, emptor eo lucro fruetur, quoniam eū lucra habere oportet,

ceт, qui periculum damnorum ſuſtinet.

¶ Quòd ſi ante traditionẽ fugerit ſeruus qui veniit, aut ſubreptus ab aliquo fuerit, ita vt neque dolus neque culpa venditoris ea in re argui poſsit: videndum eſt, an venditor ex hoc damnum pati debeat. Et ita diſtingui debet: ſiquidem cuſtodiam ſerui qui veniit, venditor in ſe ſuſcepit, vſque ad traditionem cuſtodiam debet. Eſt autem cuſtodia diligentiſsima & penè modum excedens cõſeruatio. Et damnũ quod inde procedit, agnoſcet. Idem & in cæteris animalibus: veluti in equo, aſino, camelo & quæcumque talia ſunt, in aliiſque rebus omnibus intelligimus. Sin autem cuſtodiã non ſuſcepit, non obligatur: ſed hoc ſolum debet venditor, vt actionem in rem, ad vindicandã rem quæ veniit, & condictionem exhibeat cedatque em-

χὴν τὸ κέρδος, ὃς καὶ κινδυνεύει ἐκ τῆς τούτου μειώσεως.

¶ Εἰ δὲ πρὸ τῆς τραδιτζίωνος φύγῃ ὁ πεπραμένος οἰκέτης, ἢ καὶ κλαπῇ ὑπό τινος, ὡς μὴ δόλον, ἢ ῥᾳθυμίαν ἐλέγχεσθαι περὶ ταῦτα τοῦ πράτου, σκοπήσωμεν εἰ ὁ πράτης ἐκ τούτου ὀφείλει ζημιοῦσθαι· καὶ δεῖ οὕτω διαστίξαι. εἰ μὲν εἰς ἑαυτὸν ὁ πράτης ἀνεδέξατο τὴν τοῦ πεπραμένου οἰκέτου φυλακὴν, ἕως τῆς τραδιτζίωνος, κουστωδίαν χρεωστεῖ· κουστώδια δέ ἐστιν, ἡ ἀκριβεστάτη καὶ ὑπερβάλλουσα παραφυλακή. καὶ αὐτὸς ἐπιγνώσεται τὴν ἐντεῦθεν ζημίαν. τὸ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν ζώων. οἷον ἵππου, ὄνου, καμήλου, καὶ ὅσα τοιαῦτα ἐστὶν, καὶ ἐπὶ τῶν λοιπῶν πραγμάτων νοοῦμεν. εἰ δὲ μὴ τὴν φυλακὴν ἀνεδέξατο, οὐκ ἐνέχεται. τοῦτο δὲ μόνον ἐποφείλει ὁ πράτης, τὸ τὴν ἰν ῥὲμ τὴν ἐπὶ τῇ ἐκδικήσει τοῦ πεπραμένου πράγματος, καὶ τὸ κονδικτίκιον ἐκχωρεῖν τῷ 6. Quod si.

ἀγο

ἀγοράσῃ, διὰ τὸ ἔτι αὐτὸν τὸν πράτην εἶναι δεσπότην, οἷα μήπω τοῦ πράγματος παραδοθέντος. ἐκχωρήσει δὲ τὴν φούρτι, κατὰ τῶν κλεψάντων, καὶ τὴν ἀκουιλίαν κατὰ τῶν βλαψάντων τὸ πραθὲν πρᾶγμα.

6. Emptio. ¶ Ἡ πρᾶσις καὶ πούρως καὶ ὑπὸ αἵρεσιν συναλλάττεσθαι δύναται. ὑπὸ αἵρεσιν, οἷον ΣΤΙΧΟΣ Ο ΟΙΚΕΤΗΣ ΕΙΓΕ ΕΙΣΩ ΜΗΝΟΣ ΜΗ ΑΠΑΡΕΣΕΙ ΣΟΙ, ΕΣΤΩ ΣΟΙ ΠΕΠΡΑΜΕΝΟΣ ΔΕΚΑ ΝΟΜΙΣΜΑΤΩΝ.

6. Loca. ¶ Τὰ σάκρα, ἢ ῥελιγιόσα, ἢ τὰ πούβλικα, οἷον τὸν φόρον, ἢ τὴν βασιλικὴν, ἀνισχύρως τις εἰδὼς ἀγοράζει. τουτέστιν οὐδεμίαν ἕξει προφάσει τοῦ συναλλάγματος ἀγωγήν. εἰ δὲ ὡσανεὶ ὑπάρχοντα ἰδιωτικοῦ δικαίου ἀπατηθεὶς ὑπὸ τοῦ πράτου ἠγόρασε ταῦτα, τότε ἔχει τὴν ἐξ ἐμπτοῦ ἀγωγήν, ἐπὶ ἀπαιτήσει τοῦ διαφέροντος, ἐπειδὴ οὐκ ἔξεστιν ἔχειν τὸ πεπραμένον αὐτῷ. τὸ αὐτὸ ἔσω, εἰ καὶ ἐλεύθερόν τινα αὐ-

priori: propterea quòd ipse venditor adhuc sit dominus, quippe re nondum tradita. Cedet etiam actionem furti aduersus eos, qui furto subripuerint rē venditā, & ex lege Aquilia, aduersus eos qui damnum iniuria in re vendita dederint.

¶ Venditio & purè & sub conditione contrahi potest. Sub conditione, veluti: STICHVS SERVVS SI INTRA MENSEM TIBI NON DISPLICVERIT, EMPTVS TIBI ESTO DECEM AVREIS.

¶ Sacra, religiosa, aut publica, veluti forū vel basilicā, frustra quis sciēs emit, hoc est, nullā occasione cōtractus habebit actionem. Quòd si ea tamquam priuati iuris emerit à venditore deceptus: tunc in id quod sua interest, actionem habet Ex empto: quoniam rem venditam ei habere non licet. Idem esto, si quis ho

τὸ

minē liberum pro seruo emerit.

τι οἰκέτου ἠγόρασε.

## DE LOCATIONE ET CONDVCTIONE. Titul. XXIIII.

Locatio & conductio proxima est venditioni & emptioni, & iisdem iuris regulis consistit. Nam quemadmodum vēditio tunc contrahitur, quando vtrique parti precium placet: ita & locatio cōtrahi intellegitur, si merces vtrique parti placuerit. Et quēadmodum illic diximus, certum & in pecunia numerata precium esse debere sic & mercedem certā & in pecunia numerata esse oportet. Et cōpetit locatori quidem actio locati: cōductori autem, conducti. Illi, vt mercedem exigat: huic, vt rem sibi locatam habeat. Sed & illud quod nobis in venditione dictum est, cum alieno arbitrio quantitas pretij permittitur, vt, VENDITVM TIBI ID ESTO, QVAN

Ἡ Μίσθωσις καὶ ἡ ἐκμίσθωσις, ἔοικε τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, καὶ διὰ τῶν αὐτῶν περιέχεσι κανόνων. ὥσπερ γὰρ ἡ πρᾶσις τότε συνίσταται, ἡνίκα τὸ τίμημα ἑκατέρῳ μέρει ἀρέσει, οὕτω καὶ ἡ μίσθωσις συνίστασθαι νοεῖται, εἰ τὸ μίσθωμα τοῖς μέρεσιν ἤρεσε. καὶ ὥσπερ εἰρήκαμεν ἐκεῖ, κέρτον καὶ ἐν ἀργυρίῳ ὀφείλειν εἶναι τὸ τίμημα, οὕτω καὶ τὸ μίσθωμα κέρτον καὶ ἐν ἀργυρίῳ εἶναι δεῖ. καὶ ἁρμόζει τῷ μὲν μισθώσαντι ἡ λοκάτι, τῷ δὲ μισθωσαμένῳ ἡ κονδούκτι. τῷ μὲν ἵνα ἀπαιτήσῃ τὸ μίσθωμα, τῷ δὲ, ἵνα λάβῃ τὸ μεμισθωμένον αὐτῷ πρᾶγμα. καὶ τὸ εἰρημένον ἡμῖν περὶ πράσεως, ἡνίκα εἰς ἑτέρου κρίσιν ἡ τοῦ τιμήματος ἀνάγεται ποσότης, οἷον ἜΣΤΩ ΣΟΙ ΠΕΠΡΑΜΈΝΟΝ

X ὍΣΟΥ

ὍΣΟΥ ἊΝ ὉΡΙΣῌ Ὁ ΤΙΤΙΟΣ, ἔνθα καὶ διάταξιν ἀνεγνώκαμεν τοῦ θειοτάτου βασιλέως, διατάξει τὴν τοῦ συναλλάγματος σύστασιν ὑποβάλλουσαν. τὸ αὐτὸ καὶ περὶ μισθώσεως καὶ ἐκμισθώσεως εἰρῆσθαι, ἡνίκα εἰς ἑτέρου δοκιμασίαν ἡ τοῦ μισθώματος ἀναφέρεται ποσότης, καθὰ καὶ προλαβόντες ἐδιδάξαμεν. εἰ δέ τις κναφεῖ κναφευτέαν, ἢ ῥάπτῃ ῥαπτέαν ἐσθῆτα δέδωκε, μισθοῦ μηδενὸς ὁρισθέντος, παραχρῆμα ὑπισχόμενος τοσοῦτον δώσειν, ὅσον ἂν μεταξὺ τῶν δύο μερῶν συνδόξῃ μετὰ ταῦτα, οὐκ ἔστι μίσθωσις τὸ τοιοῦτον, ἀλλ' ἕτερόν τι συνάλλαγμα παρὰ τὴν μίσθωσιν· ἐφ' ᾧ καὶ δίδοται, ἡ πραισκρίπτις βέρβις. ¶ Καὶ μή τις νομιζέτω τοῦτο τέμνεσθαι ἐκ τοῦ βασιλικοῦ δεκισίονος. ἕτερος γὰρ ὁ τῆς διατάξεως θεματισμός. ἔχει γὰρ ἐκεῖ, ἜΣΤΩ ΣΟΙ ΠΕΠΡΑΜΕΝΟΝ, ὍΣΟΥ ἊΝ ὉΡΙΣῌ ΤΙΤΙΟΣ.

TI TITIVS DEFINIERIT: vbi & Imperatoris sanctissimi constitutionē adduximus, quæ huius contractus cōstitutionem distinctioni subiicit. Idem & in locatione ac cōductione dicetur, cùm in alterius arbitrium mercedis quātitas cōfertur: quod & suprà docuimus. Quòd si quis fulloni poliēdam, aut sartori sarciendam vestem dederit, nulla statim mercede constituta, promittens daturum se quantū inter ambas partes postea conuenerit: non est id locatio, sed alius quispiam contractus à locatione, ex quo & præscriptis verbis actio datur. At ne putes, hęc Imperatoris cōstitutione decisa esse: quoniam diuersa in illa casus species est. Illic enim sic habetur: VENDITVM TIBI ID ESTO QVANTI TITIVS DEFINIERIT. Hic verò, sic

ἐν τῷ

LOCATVM TIBI ID ESTO, QVANTI VTRIQVE PARTI VISVM ERIT. ¶ Porrò adeò omnia eadem & in venditione & in locatione, quęrũtur: vt quemadmodũ dubitatur, an permutatio rerum venditio sit, ita & in locatione quæratur. Si cùm rem aliquam tibi vtendã aut etiã fruendam dedißem, tu mihi inuicẽ rem aliam vtendam aut etiam fruendam dederis: in dubiũ enim vocatur, an sit locatio? Et placuit locationem non eße, sed proprium quoddam genus contractus. Vt in hac specie: Duo quidam erant vicini rustici, quorum vterque vnum nec amplius bouem habebat. Neuter igitur fundum suum arare poterat, quia tãtum vnum bouem haberet. Si cõuenerit inter eos, vt per denos dies alter alteri bouem suum commodaret, quò opus

ἐν τοσούτῳ δὲ, ΕΣΤΩ ΣΟΙ ΜΕΜΙΣΘΩΜΕΝΟΝ, ΕΙΣ ΟΣΟΝ ΑΝ ΕΚΑΤΕΡΩι ΜΕΡΕΙ ΣΥΝΑΡΕΣΗ. ¶ Οὕτω δὲ ταῦτα ζητεῖται ἐπὶ πράσεως καὶ μισθώσεως, ὅτι ὥσπερ ἀμφιβάλλεται, εἰ ἄρα ἡ περμουτατζίων τῶν πραγμάτων πρᾶσις ἐστὶν, οὕτω καὶ ἐπὶ μισθώσεως ζητεῖται. εἰ ἐμοῦ πρᾶγμα σοι παρασχόντος εἰς χρῆσιν, ἢ χρῆσιν ἐπὶ τῷ καρποῦσθαι. ἕτερόν τι ἀμοιβαδὸν ἐμοὶ δοθήσεται παρὰ σοῦ εἰς χρῆσιν, ἢ εἰς τὸ καρπώσασθαι, ἀμφιβάλλεται εἰ ἐστὶ μίσθωσις. καὶ ἤρεσε μὴ εἶναι μίσθωσιν, ἀλλά τι ἰδιάζον γένος συναλλάγματος. οἷον ὡς ἐπὶ θέματος. δύο τινὲς ἀγρογείτονες ὑπῆρχον. ἑκάτερος αὐτῶν πρὸς ἕνα βοῦν ἐκέκτητο. οὐδέτερος οὖν ἠδύνατο τὸν οἰκεῖον ἀγρὸν ἀροτριᾶν, διὰ τὸ ἕνα κεκτῆσθαι βοῦν. ἐὰν συμφωνηθῇ μεταξὺ αὐτῶν, ὥστε τὸν ἕτερον τῷ ἑτέρῳ ἐπὶ δέκα ἡμέρας κιχρᾶν τὸν οἰκεῖον βοῦν ἐπὶ τῷ ἀροτριά- §. Præterea

σαι τὴν γῆν τοῦ λαβόντος, καὶ παρ' αὐτῷ ἀπόλυται ὁ βοῦς, οὔτε μίσθωσις τὸ τοιοῦτόν ἐστι, διὰ τὸ μὴ εἶναι ἐνταῦθα κέρδος ἐν ἀργυρίῳ μίσθωμα. οὔτε δὲ κομμοδάτον, τὸ γὰρ κομμοδάτον γρατουίτον ὀφείλει εἶναι. ἰδοὺ ἐνταῦθα ὁ χρήσας ἔχει, ἤτοι ἐλπίζει, τὸ ἐκ τῆς ἀντιλήψεως κέρδος. ἀλλ' ὁρίζόμεθα ἐνάγοντα τὴν πραισκρίπτις βέρβις, κατὰ τοῦ ἀπολέσαντος. ¶ Ἐπὶ τοσοῦτον δὲ κοινωνία τις μεταξὺ πράσεως καὶ μισθώσεώς ἐστιν, ὅτι ἐπί τινων θεμάτων ἀμφιβολία γίνεται, πότερον πρᾶσις, ἢ μίσθωσίς ἐστι τὸ γινόμενον. τοῦτο δὲ συμβαίνει ἐπὶ τῶν ἄγαν ἐμφερῶν· οἷον ὡς ἐπὶ τῶν κτημάτων, ἅπερ διηνεκῶς τισὶ παρέχεται ἐπὶ τῷ καρποῦσθαι. ἵνα ἐφ' ὅσον τὸ μίσθωμα, ἤτοι πρόσοδος ὑπὲρ τούτων τῷ δεσπότῃ παρέχεται, μηδεὶς ἀποσπάσῃ ἀπὸ τοῦ μισθωσαμένου, ἢ κληρονόμου αὐτοῦ, ἢ ἐκείνου, ᾧ ὁ ἐκμισθωσά-

apud accipientem facerent, & apud eum bos perierit: neque locatio id est, propterea quòd certa merces in pecunia numerata constituta non sit: neq; rursus commodatum, quoniam commodatum gratuitum esse debet, at hîc, is qui commodauerat, aut habebat, aut sperabat emolumentum ex compensatione. Sed aduersus eum cuius culpa bos periit, actionem præscriptis verbis decernimus.

3. Adeo.

¶Adeò autẽ familiaritatem inter se aliquam habent venditio & locatio: vt in quibusdam casibus dubiũ esse cõtingat, vẽditio sit id quod agitur an potius locatio? Id autẽ maximè contingit, in his casibus qui illis admodum similes sunt: veluti, quũ de prędiis tractamus, quæ quibusdã perpetuò fruẽda traduntur: vt quamdiu merces siue pensio, vel reditus siue vectigal domino pro iis præstatur, nemo cõductori ea auferre possit, aut heredi

eius

eius, cuiue aut conductor aut heres eius id prædiũ vendiderit vel donauerit, in dotémve dederit, vel alio quocunque modo alienauerit. Quoniam ergo inter veteres dubitabatur, quisnam contractus hic esset, & à quibusdam locatio, ab aliis vẽditio existimabatur: venditio quidem, quod & ad heredes transiret, & variis modis alienaretur: locatio verò, quòd per singulos annos aliquid domino daretur: edita est D. Zenonis constitutio, quæ contractum hunc Emphyteusin vocauit, propriam ei naturã adsignans, quæ neque ad locationem in vniuersum, neque item ad venditionem spectaret, sed quæ suis finibus consisteret. Et si quidem aliquid pactum fuerit inter cõtrahentes, id ita iustum firmúmq; esse debet, quasi ea certa natura contractus esset. Quoniam pacta contractibus naturam dant. Sin verò nihil pactum fue

μενος, ἢ ὁ αὐτοῦ κληρονόμος πέπρακεν, ἢ ἐδωρήσατο τοῦτο τὸ κτῆμα, ἢ προικὸς ὀνόματι δέδωκεν, ἢ ἑτέρῳ ἐξεποιήσατο τρόπῳ. ἀλλὰ τὸ τοιοῦτον συνάλλαγμα, ἐπειδὴ μεταξὺ τῶν παλαιῶν ἀμφιβάλλετο, καὶ ὑπό τινων μὲν μίσθωσις, ὑφ' ἑτέρων δὲ πρᾶσις ἐνομίζετο. πρᾶσις μὲν ἐπειδὴ διέβαινεν ἐπὶ κληρονόμους, καὶ ἐξεποιεῖτο διαφόρως· μίσθωσις δὲ ἐνομίζετο, διὰ τὸ καθ' ἕκαστον ἔτος διδόμενον· διάταξις γέγονε Ζήνωνος τοῦ θειοτάτου, ἥτις ἐμφύτευσιν τοῦτο ἐκάλεσεν· ἰδιάζουσαν αὐτῷ φύσιν ἐπινοήσασα, οὔτε πρὸς μίσθωσιν καθόλου, οὔτε πρὸς πρᾶσιν ὁρῶσαν, ἀλλ' ἰδίοις ὅροις συνισταμένην. καὶ εἰ μέν τι πακτευθῇ μεταξὺ τῶν συναλλασσόντων, οὕτως ἰσχυρὸν ἔστω τὸ σύμφωνον, ὡσανεὶ φύσεως τοιαύτης φανερᾶς προσούσης τῷ συναλλάγματι. φύσις γὰρ γινέσθω τῷ συναλλάγματι τὸ πάκτον. εἰ δὲ μηδὲν περὶ τοῦ

πράγματος ἀπωλείας συνεφωνήθη, τηνικαῦτα εἰ μὲν παντὸς τοῦ πράγματος γένηται φθορὰ τοῦ ἐμφυτευθέντος, δηλαδὴ τοῦ δεσπότου, τουτέστι τοῦ ἐμφυτεύσαντος, ὁρᾶται ἡ ζημία. εἰ δὲ μερικὴ, ὁ ἐμφυτευσάμενος ταύτην ἐπιγινωσκέτω τὴν βλάβην. ὅπερ καὶ ἐν χρήσει ἐστί τε καὶ πολιτεύεται.

§ Item quæritur.

¶ Ὁμοίως κἀκεῖνο τῶν ἀμφιβαλλομένων ἐστί. χρυσοχόῳ τινὶ δέδωκα, λόγου χάριν δέκα νομίσματα, συμφωνήσας ὥς τε αὐτὸν τὸν χρυσοχόον ἐξ οἰκείας ὕλης, χρυσοῦ φανεροῦ σταθμοῦ, καὶ φανεροῦ τύπου δακτυλίους μοι κατασκευάσαι, πότερον πρᾶσις ἢ μίσθωσις τὸ τοιοῦτον ἐστὶ, ζητεῖται. καὶ ὁ μὲν Κάσσιος φησὶν εἶναι καὶ μίσθωσιν καὶ πρᾶσιν τὸ τοιοῦτον. ἵνα εἰ μὲν αἰτιάσωμαι τὴν ὕλην τοῦ χρυσίου ὡς οὐ χρηστὴν κινήσω τὴν ἐξ ἔμπτου. εἰ δὲ τὴν ἐργασίαν ὡς οὐ καλῶς ἔχουσαν, ἔχοιμι τὴν λοκάτι. ἀλλ' ἤρεσε μᾶλλον πρᾶσιν εἶ-

rit de periculo rerũ in caussam emphyteuseos datarũ:tunc si tota res pereat,ad dominum videlicet hoc est ad eum, qui in causam emphyteuseos dederat, dãnum hoc spectat:sin autem ex parte, tũc is qui in causam emphyteuseos accepit, detrimentum hoc agnoscet. Quod & hodie in vsu est,eoque iure vtimur.

¶ Similiter & illud sæpe in controuersia videmus esse. Aurifici cuipiam dedi, verbi gratia, decem aureos: conuenitque, vt is ex auri sui materia, certi ponderis certæque formæ annulos mihi faceret,quæritur venditióne id sit, an locatio? Et Cassius quidem simul & locationem & venditionem id esse dicit:vt si materiam auri non satis probam esse causer, Ex empto possim agere: sin de opere ipso vt non rectè facto conquerar,locati actione habeam. Sed magis visum est, tantum emptio-

nem

nem & véditionem contrahi: quoniam opera velut accessorij vice fungitur. Quòd si aurum ego meum dederim aurifici, mercede pro opera constituta: dubium non est, quin ea res locatio & cõductio sit. ¶ Conductor omnia secundũ legem & fines conductionis facere debet, hoc est, secundũ ea, quę in re gerenda cauta sunt. Et si quid in lege & pactis omissum fuerit, id ex ęquo & bono disponi debet. ¶ Si cui vestem, aut argétum, aut animal cõmodauerim: & pro vsu eius certa pecunia mihi mercedis nomine data sit, aut dari promissa sit: is qui accepit, tantam in his custodiendis diligentiam adhibere debet, quantam diligentissimus paterfamilias rebus suis adhibet. Eam enim si adhibuerit & casu aliquo fortuito res quas vtendas accepit, perierint: ad restitutionem earũ, aut propter restitu-

ναι καὶ ἀπεργασίαν τὸ πρᾶγμα. τὸ γὰρ τῆς ἐργασίας ἐστὶν, ὡς ἐν παρακολουθήματι. εἰ δὲ ἴδιον δέδωκα ἐγὼ χρυσὸν τῷ χρυσοχόῳ, μισθοῦ ὁρισθέντος ὑπὲρ τῆς ἐργασίας, ἀναμφιβόλως μίσθωσις καὶ ἐκμίσθωσις ἐστὶ τὸ τοιοῦτον. ¶ Ὁ μισθωσάμενος πάντα κατὰ τὸν ὅρον τῆς μισθώσεως ὀφείλει ποιεῖν. τουτέστι κατὰ τὸ δόξαν μεταξὺ τῶν συναλλαττόντων. εἰ δέ τι ἐν τοῖς συμφώνοις παρωφθῇ, κατὰ τὸ κάλλιστον καὶ δίκαιον ὀφείλει τοῦτο τυποῦσθαι. ¶ Ἐὰν χρήσω τινὶ ἐσθῆτα, ἢ ἄργυρον, ἢ ζῶον, εἶτα ὑπὲρ τῆς χρήσεως τούτου χρυσίον ῥητὸν λόγῳ μισθοῦ δοθῇ μοι, ἢ ὁμολογηθῇ δίδοσθαι, ὁ λαβὼν τοσαύτην ἐπιμέλειαν περὶ τὴν τούτων παραφυλακὴν ὑποφείλει, ὅσην ὁ σφόδρα ἐπιμελέστατος περὶ τὰ οἰκεῖα παρέχει πράγματα. ἐὰν γὰρ παράσχῃ καὶ τυχηρῶς τὰ χρησθέντα ἀπόληται πράγματα, προφάσει τῶν πραγμάτων ἀπο-

θ. Conductor.

θ. Qui pro vsu.

καταστάσεως οὐ κρατεῖται.

Mortuo.

¶ Ἐὰν ἐπὶ πενταετίαν μισθώσω τινὶ τὸν ἐμὸν ἀγρὸν, ἐν δὲ τῷ δευτέρῳ τυχὸν ἢ τρίτῳ ἐνιαυτῷ τελευτήσῃ ὁ μισθωσάμενος, ὁ κληρονόμος αὐτοῦ ὑπεισελεύσεται τὴν μίσθωσιν, μέχρι πέρατος τῆς πενταετίας.

tionem non tenetur. ¶ Si cui ad quinquennium fundum meum locauero, & conductor secundo fortè aut tertio anno decesserit, heres eius in conductionē vsque ad finem quinquennij succedit.

---

## DE SOCIETATE.
### Titul. XXV.

Μετὰ τὴν πρᾶσιν καὶ μίσθωσιν, χρὴ καὶ περὶ κοινωνίας διεξελθεῖν. συνίσταται δὲ αὕτη μεταξὺ τινῶν, ἢ τοτόρουμ βονόρουμ, τουτέστιν ἐπὶ πάσῃ τῇ περιουσίᾳ, ἣν οἱ Ἕλληνες ἰδικῶς κοινοπραξίαν καλοῦσιν. ἢ μιᾶς οἵας δήποτε ἐμπορείας· οἷον ἐπὶ τὸ ἀγοράσαι ἀνδράποδα, καὶ αὐτὰ διαπωλῆσαι, ἢ ἔλαιον, ἢ οἶνον, ἢ σῖτον. καὶ εἰ μὲν μηδὲν περὶ τοῦ πόσον μέρος ἕκαστος τῶν κοινωνῶν ἢ κέρδους ἢ ζημίας ἐπιγνώσεται συμφωνηθῇ, ἐξ ἴσου τὰ κέρδη καὶ τὰς ζημίας ἐπιγνώσονται. εἰ δὲ ἐκφωνηθῇ

Post venditionē & locationem, necesse est & de societate dicere. Contrahitur autem hæc inter aliquos, aut totorum bonorum, hoc est, de vniuerso patrimonio, quā Græci proprio nomine κοινοπραξίαν appellant: aut vnius alicuius negotiationis, veluti emēdorum vendendorúmque mancipiorum: aut olei, aut vini, vel frumenti emendi vendendíq;. Et si nihil conuenerit, quotam quisque in lucro & damno partem habere debeat: ex æquo lucra & damna agnoscēt socij. Sin expressæ

fuerint

fuerint partes, standum est conuentis. Neq; enim dubium est, quin valeat conuentio, si duo inter se pacti sint: vt alter duas lucri damniq; partes habeat, alter tantùm tertiam.

¶ Sanè de illa conuentione quæritur: si Titius & Seius inter se pacti sint, vt Seius duas in lucro partes habeat, & tantùm tertiam in damno: contrà Titius duas in damno partes habeat, & tatum tertiam in lucro, an ratum sit id pactũ? Et Q. Mutius conuentionem hanc cõtra naturam societatis esse ait, & ob id ratam non habendam. Seruius autem Sulpitius (cuius opinio obtinuit) contrà sentit: quia sæpe quorundam sociorũ ita excellens est diligentia & opera in societate, vt iustum sit plus eos lucri habere, & maioris lucri conditione in

τὰ μέρη, φυλάττεσθαι τὸ συμφωνηθὲν δεῖ. ἀναμφίβολον γάρ ἐστιν ὅτι ἔρρωται τὸ πάκτον, ἐὰν δύο μεταξὺ ἀλλήλων συμφωνήσωσιν, ἵνα ἕτερος μὲν δύο μέρη καὶ κέρδους καὶ ζημίας ἐπιγινώσκῃ· ὁ δὲ ἕτερος τρίτον. ¶ Περὶ δὲ ἐκείνου τοῦ θ. De illa.
πάκτου ζητεῖται, ἐὰν τίτιος καὶ σεῖος μεταξὺ ἀλλήλων πακτεύσωσιν, ἵνα σεῖος μὲν δύο μέρη λαμβάνῃ τοῦ κέρδους· κατὰ δὲ τὸ τρίτον ζημιοῦται· ὁ δὲ τίτιος κατὰ δύο μέρη ζημιοῦται, τοῦ κέρδους τὸ γ' ἀποφερόμενος. εἰ ἔρρωται τὸ σύμφωνον. καὶ ὁ μὲν κοίντος μούτιος τῇ φύσει τῆς κοινωνίας φησὶν ἐναντιοῦσθαι τὸ τοιοῦτον σύμφωνον, καὶ διὰ τοῦτο μὴ κρατεῖν τὸ πακτευθέν. ὁ δὲ σέρβιος σουλπίτιος, οὗ μᾶλλον ἐκράτησεν ἡ γνώμη, τὸ ἐναντίον φησί, διὰ τὸ πολλάκις τινῶν κοινωνῶν, οὕτω τιμιωτάτην εἶναι τὴν σπουδὴν περὶ τὴν κοινωνίαν, ὥς τε δίκαιον εἶναι πλείονα κερδαίνειν αὐτοὺς, καὶ ἐπὶ μείζονι κέρδει εἰς κοινωνίαν αὐτοὺς

δέχεσθαι. καὶ γὰρ οὕτω κοινωνίαν συνίστασθαι ἀναμφίβολόν ἐστιν, ὥστε τὸν μὲν χρήματα συνεισφέρειν, τὸν δὲ οὔ. καὶ κοινὸν εἶναι τὸ προσγινόμενον κέρδος μεταξὺ αὐτῶν. πολλάκις γὰρ ἡ σπουδὴ ἑνὸς τῶν κοινωνῶν, ἴσα δύναται τῇ τῶν χρημάτων συνεισφορᾷ. καὶ ἐπὶ τοσοῦτον ἐκράτησεν ἡ τοῦ Σερβίου γνώμη, ἐναντιωμένη τῷ Κοΐντῳ Μουτίῳ, ὅτι καὶ ἐκεῖνο τῶν ὡμολογημένων γέγονε, δύνασθαι πακτεύειν τοὺς κοινωνούς, ἵνα τὶς ἐξ αὐτῶν, κέρδους μὲν μέρος ἀποφέρηται, μὴ ὑποβάλληται δὲ ζημίᾳ. ὅπερ καὶ οὕτω νοῆσαι χρή. ἵνα ἐὰν ἐν τινι μέρει κέρδος, ἔν τινι δὲ ζημία προσενεχθῇ, κομπενσατίωνος ἤτοι ἀντιλόγου γινομένου, τὸ ὑπολειφθὲν τοῦτο μόνον κέρδος νομισθείη. οἷον ἐνεπορεύοντο ἀνδράποδα, καὶ ἐσθῆτα. ἐν τῇ ἐμπορείᾳ τῆς ἐσθῆτος ζημία γέγονεν ἑκατὸν νομισμάτων. ἐν δὲ τῇ πραγματείᾳ τῶν οἰκετῶν κέρδος περιεποιήθη τῶν νομι-

societatem recipi. Nam & ita coiri societatem posse nemo dubitat, vt alter pecuniam conferat, alter non conferat, & tamē lucrum inter eos cōmune sit. Nam sæpe vnius ex sociis diligentia tantum præstat, quantū pecunia ab aliis collata. Et adeò hæc Seruij sententia contra Q. Mutium obtinuit, vt illud quoque extra controuersiam sit: conuenire posse inter socios, vt vnus aliquis eorum, lucri partē habeat, de damno non teneatur. Quod tamen ita intellegendum est, vt si aliqua in parte lucrum, in aliqua damnum allatum sit: compensatione facta id solum quod superest, lucrū esse intellegatur. Veluti, Quidam mancipiorum & vestimentorum negotiationē inierant: In negotiatione vestimentorū damnū centum aureorum acceptum est. In negotiatione seruorum, lucrum trecentorum aureorum accessit: Primò

eximun

eximuntur centum aurei, qui in damno sunt, scilicet vt lucrum trecentorum aureûm huic damno medeatur. Et ducenti aurei qui supersunt, inter socios secundum legẽ initio dictam diuiduntur. Ex hoc igitur planum fit, cùm simul & lucrum & damnũ societas acceperit, aut lucrum dumtaxat, socium ex pacto non iuuari, quò conuẽnit, vt partem in lucro haberet, & damnum non sentiret. Quum verò sòlùm damna accepta sunt, tunc quid prosit ea conuentio, ostenditur. Nam ecce, si cùm millenos singuli aureos in societatem attulissent, subsequuta prædicta conuentione: ducentorum aureûm damnũ in negotiatione acceptum sit, & lucri nihil factum: deinde societaté contingat dissolui: alter mille aureos quos intulit, accepturus est, alter tantùm octingentos. ¶ Illud in confesso expeditóque est, si in vno tan

σματα. ἐξαιρεῖται πρότερον τὰ ἑκατὸν νομίσματα τὰ τῆς ζημίας, ὥς τε ἐκείνην θεραπευθῆναι ἐκ τοῦ κέρδους τῶν τ̄ νομισμάτων, καὶ τὰ σ̄ μερισθήσεται μεταξὺ τῶν κοινωνῶν, κατὰ τὰ γινόμενα πάκτα. ὥς τε οὖν ἐκ τούτου δείκνυται, ὅτι ἡνίκα μὲν κατὰ ταὐτὸν κέρδος καὶ ζημία συμβῇ τῇ κοινωνίᾳ, ἢ κέρδος μόνον, οὐδὲν ὠφεληθήσεται ὁ κοινωνὸς ἐκ τοῦ πάκτου, τοῦ λέγοντος, μετέχειν μὲν αὐτὸν τοῦ κέρδους, μὴ ὑποκεῖσθαι δὲ ζημίᾳ. ἡνίκα δὲ ζημία μόνη συμβῇ, τότε τὸ ὄφελος τὸ ἐκ τοῦ συμφώνου δείκνυται. ἰδοὺ γὰρ εἰσαγαγόντων αὐτῶν ἀνὰ ᾱ νομίσματα, τοῦ προειρημένου πάκτου παρακολουθήσαντος, συνέβη ζημίαν μὲν γενέσθαι ἐν τῇ ἐμπορίᾳ σ̄ νομισμάτων, μηδὲν δὲ κέρδος, εἶτα διαλυθῆναι τὴν κοινωνίαν. ὁ μὲν λήψεται ἃ συνήγαγε ᾱ νομίσματα, ὁ δὲ ω̄. ¶ Ἐκεῖνο δὲ τῶν ὡμολογημένων ἐστὶν, ὅτι ἐὰν ἐφ' ἑνὶ μό- 8. Illud.

γῳ τῶν συμβαινόντων μέρος ἐκφωνηθῇ, μέρος δὲ οὐκ ἐκφωνηθῇ, κοινὸν γίνεται τοῦ σιγηθέντος τὸ ἐκφωνηθέν. οἷον λέγουσι πάκτον, ὥστε κέρδους συμβαίνοντος, τὸν μὲν τὸ διμοιρον, τὸν δὲ τὸ τρίτον λαμβάνειν, περὶ δὲ ζημίας οὐδὲν ἐλέχθη, ἢ τοὐναντίον, ἐξισωθήσεται τῷ εἰρημένῳ τὸ μὴ λεχθέν. ¶ Ἡ δὲ κοινωνία μέχρι τούτου συνίσταται, ἕως οὗ τὰ μέρη τῆς αὐτῆς ἔχεται διαθέσεως. εἰ δέ τις τῶν κοινωνῶν ἀπαγορεύσει, λύεται ἡ κοινωνία ἐπὶ τοῖς μετὰ ταῦτα συμβαίνουσι. εἰ δέ τις κακούργῳ προαιρέσει ἀπηγόρευσε διὰ τοῦτο τῇ κοινωνίᾳ, ἵνα κέρδος τι προσδοκώμενον μόνος κτήσηται, τοῦτο κοινὸν ἔσται, εἰ δέ τις κέρδος οὐ προσδοκῶν ἀπηγόρευσε, αὐτὸς ὃ μὴ προεσκόπησεν ἕξει μόνος. οἷον Πρῖμος καὶ Σεκοῦνδος τοτόρουμ βονόρουμ ἦσαν κοινωνοί. συνέβη δὲ Τίτιον ἐπὶ Πρίμῳ

¶ Manet.

tum eorum quæ accidunt, pars expressa sit, & in altero pars expressa nõ sit: id quod expressum est, regulam eius esse, quod omissum est: veluti, cõuênit, vt cùm lucrum contingit, alter bessem habeat, alter tertiã partem, nec de damno quicquam dictum est, aut contrà. Id de quo dictũ nihil est, æquale fiet ei quod expressum est. ¶ Societas autẽ eousque manet, donec in eodem consensu partes perseuerant. At cùm quis renuntiauerit societati, soluitur societas, quantum ad ea pertinet, quæ ex illo tempore contingũt. Sed si quis versuta callidáq; mente in hoc societati renuntiauerit, vt obueniẽs aliquod lucrum solus habeat, lucrum hoc communicabitur. Sin autem cùm nullum lucrum expectaret, renuntiauerit: id ipse quod nõ præuidit, habebit solus: veluti, Primus & Secundus totorum bonorum erant socij: contigit vt Titius heredem Primum relinquens moreretur.

feretur, sed & Seij hereditas eodem tempore Primo delata est. Quidam ad Primum venit, ac nuntiauit illi de Titij hereditate. Sed Seij hereditatem nondũ sibi delatam esse sciebat Primus. Quum vellet igitur Primus solus hereditatẽ Titij habere, sciens soluta societate suam solius futuram, ex industria renuntiauit societati, vt solus hereditatem lucrifaceret. Hæc eius tam perversa mens punitur lege, & lucrum quod ex hereditate Titij obuenit, communicare cogitur. At Seij hereditatem, si postea cùm delatam sibi esse sciret, agnoscat: solus eam habebit. Neque enim spe eius lucrifaciendę societatem dissoluit. Nam quomodo? Quum & sibi eam delatam esse nesciret. Secundus tamen si quid post renuntiationem societatis ei factam, adquisiuerit, etiam

τελευτήσαι κληρονόμῳ, καὶ σεΐου δὲ τὴν περιουσίαν ἐπὶ τὸ αὐτὸν φέρεσθαι πρῖμον. ἐλθὼν τὶς ἀπήγγειλε πρίμῳ περὶ τῆς τοῦ τιτίου κληρονομίας. ἀγνώστως δὲ ἦν ἡ σεΐου κληρονομία πρίμῳ, εἴγε ἥρμοσεν αὐτῷ. βουλόμενος ὁ πρῖμος μόνος κτήσασθαι τὴν τοῦ τιτίου κληρονομίαν, εἰδὼς ὅτι μετὰ λύσιν τῆς κοινωνίας μόνου τοῦ κτησαμένου ἐστὶν, ἐπιτηδὲς ἀπηγόρευσε τῇ κοινωνίᾳ, ἵνα μόνος κερδάνῃ τὴν κληρονομίαν. τιμωρεῖται τὴν κακίστην αὐτοῦ προαίρεσιν ὁ νόμος, ἀναγκάζων αὐτὸν τὸ κέρδος τὸ περιγινόμενον ἐκ τῆς τοῦ τιτίου κληρονομίας κοινὸν ποιεῖν. τὴν δὲ σεΐου κληρονομίαν, εἴγε γνοὺς μετὰ ταῦτα καταδέξηται, μόνος ἕξει. οὐδὲ γὰρ ἐλπίδι τοῦ κτήσασθαι ταύτην διέλυσε τὴν κοινωνίαν. πῶς γὰρ ὁπότε καὶ ἠγνόει ταύτην εἰς ἑαυτὸν κατενηνέχθαι. τῷ μέντοι σεκούνδῳ, εἴ τι μετὰ τὴν ἀπαγόρευσιν τὴν εἰς αὐτὸν γενομένην τῆς κοινωνίας περιεποιήθη,

θη, εἰ δὲ ἡ αἰτία τῆς νῦν κτήσεως πρεσβυτέρα τῆς ἀπαγορεύσεως ἦν, μόνος λήψεται, διὰ τὸ μηδένα αὐτοῦ δόλον ἐλέγχεσθαι. ¶ Λύεται ἡ κοινωνία πρὸς τούτοις τῇ τοῦ κοινωνοῦ τελευτῇ· ὁ γὰρ κοινωνίαν συνιστῶν ἐγνωσμένον πρόσωπον ἑαυτῷ ἐπιλέγεται. οὐ πάντως δὲ ὁ τοῦ ἐμοῦ κοινωνοῦ κληρονόμος, ἔσται μοι πρὸς κοινωνίαν ἐπιτήδειος. εἰ δὲ καὶ πλείονες κοινωνοὶ συνέστησαν, τῇ τοῦ ἑνὸς τελευτῇ μεταξὺ πάντων διαλύεται ἡ κοινωνία. εἰ καὶ οἱ περιόντες πλείονές εἰσι τῶν τελευτησάντων. τί γὰρ ὅτι πέντε ἢ ἓξ συστησαμένων κοινωνίαν, δύο ἅμα ἐν ναυαγίῳ τεθνήκασιν. ἔσθ' ὅτε γὰρ διὰ τοὺς τελευτήσαντας τοῖς περιοῦσιν ἐπωφελὴς ἅμα δὲ αἱρετὴ ὑπῆρχεν ἡ κοινωνία, εἰ μὴ ἄρα ἐν τῷ συνιστᾶν τὴν κοινωνίαν, ἕτερόν τι συνήρεσεν, ὥς τε ἑνὸς τελευτήσαντος, τοῖς περιοῦσι φυλάττεσθαι τὴν κοινωνίαν. λύεται ἡ κοινωνία δὲ [illegible]θέντος τοῦ

περὶ

si fortè causa adquisitionis, quæ nunc obtigit, antiquior sit renuntiatione, sibi soli id habebit, propterea quòd nullus in eo dolus argui possit. ¶ Soluitur adhæc societas & socij morte, quia qui societatem contrahit, certam & cognitam personam sibi eligit. Nec enim omnino socij mei heres ad societatem mihi erit cōmodus. Sed & si inter plures contracta sit societas, vnius morte inter omnes soluitur: quamuis plures superfint, quā mortui sunt. Quid enim si quū quinque aut sex societatem inissent, duo simul naufragio perierint? Interdum enim propter eos qui mortui sunt, his qui supersunt vtilis, & optanda erat societas: vtique nisi in coëunda societate aliud conuenerit, vt vno mortuo inter ceteros maneret societas. Soluitur & so-

¶ Soluitur.

cietas eo negocio ad finem perducto, cuius gratia contracta fuit. Nam si ad negotiationem mancipiorum fortè inita sit societas, & contigerit vt hęc negotiatio finem acciperet: finitur & societas. Publicatio quoque vnius ex sociis, societatem dissoluit. Sed tunc quũ vniuersum socij patrimoniũ publicatũ fuerit. Nam quum in bona socij publicati alter succedat (nẽpe Fiscus) & similitudo quędã mortis inducitur. Si enim pars tantũ bonorum publicata sit, manet societas. Si socius ęre alieno oppressus (siue id publicum sit, siue priuatum) bonis suis cesserit, & patrimonium eius venierit, soluitur societas. Si tamen post cessionẽ adhuc cõsentiant in societatẽ: noua nunc incipere videtur societas. ¶ Socius socio vtrùm eo nomine tantum teneatur actione Pro socio

πράγματος ἐκείνου, ἐφ' ᾧ συνέστη. εἰ γὰρ ἐπὶ ἐμπορείᾳ ἀνδραπόδων τυχὸν γέγονε, συνέβη δὲ ταύτην τὴν ἐμπορείαν πέρας λαβεῖν, συμπαύσεται καὶ ἡ κοινωνία. καὶ δήμευσις ἑνὸς τῶν κοινωνῶν διαλύει τὴν κοινωνίαν. ἀλλὰ τότε ἡνίκα πᾶσα ἡ τοῦ κοινωνοῦ περιουσία δημευθῇ. ὁπότε γὰρ εἰς τὴν περιουσίαν τοῦ δημευθέντος ἕτερος εἰσέρχεται, τουτέστιν ὁ φίσκος, μίμησις ἐπεισάγεται τελευτῆς. ὅθεν διαλύεται ἡ κοινωνία. μερικῆς γὰρ γενομένης δημεύσεως ἔτι συνέστηκεν ἡ κοινωνία. ἐὰν κοινωνὸς, πολλοῖς βαρυνόμενος χρέεσι δημοσίοις τε καὶ ἰδιωτικοῖς, τῆς οἰκείας ἐκστῇ περιουσίας, καὶ διαπραθῇ αὐτοῦ τὰ πράγματα, λύεται ἡ κοινωνία. εἰ μέν τοι μετὰ τὴν ἔκστασιν τῆς αὐτῆς ἔχονται διαθέσεως, καινοτέρα νῦν ἄρχεσθαι δοκεῖ κοινωνία. ¶ Ὁ κοι- §.Socius
νωνὸς τῷ κοινωνῷ, πότερον τούτου μόνου χάριν κρατεῖται τῇ περὶ σοκίῳ ἀγωγῇ, ἡνίκα

κατ'

κατ' ἀλλήλων ἔχουσιν οἱ κοινωνοί, ἢ ἐάν τις κατὰ δόλον βλάψῃ τὴν κοινωνίαν, ὥσπερ ἀπὸ δόλου κρατεῖσθαι φαμὲν τῇ δεπόσιτι, τὸν ἀνασχόμενον παρ' ἑαυτῷ ἀλλότριον πρᾶγμα παρακατατεθῆναι· ἤγουν καὶ κούλπας ὀνόματι τουτέστι ῥαθυμίας τε καὶ ἀμελείας, τῶν ζητηθέντων ἐστί. ἀλλ' ὅμως ἐκράτησε, καὶ κούλπας χάριν αὐτὸν κρατεῖσθαι. ἡ δὲ κούλπα, οὐ πρὸς τὴν ἀκριβεστάτην ἐπιμέλειαν ἀναφέρεται. δοκεῖ γὰρ τοιαύτην ἐπιμέλειαν ἐν τοῖς κοινοῖς πράγμασι τὸν κοινωνὸν προσλαμβάνειν ὁποίαν τοῖς οἰκείοις πράγμασι εἴωθε παρέχειν. ὁ γὰρ τὸν ἧττον ἐπιμελῆ κοινωνὸν ἑαυτῷ προσλαβών, ἑαυτὸν αἰτιάσθω τῆς ἀβουλίας, ὡς ἑαυτῷ τῆς ζημίας γενόμενος αἴτιος.

(ea est autem actio quam mutuò inter se habent socij) si qua in re dolo societatem læserit, quemadmodum actione depositi dicimus eũ de dolo teneri, qui rem alienam apud se deponi passus est: an verò etiam culpę nomine, id est, desidię & negligentię, quęsitũ est. Sed tamen pręualuit, etiam culpę nomine eum teneri. Culpa autem nõ ad exactissimam diligentiam refertur. Sufficit enim talem diligentiam communibus rebus adhibere socium, qualem suis rebus adhibere solet. Nam qui minùs diligentem socium sibi adsumpsit, suam ipse imprudentiam incuset, cùm & ipse eius mali sibi causa fuerit.

## DE MANDATO. Titul. XXVI.

Ὑπόλοιπον ἡμῖν ἐστιν, ἐκ τῶν ἀναγομένων ὑπὸ τῶν κονσένσω συναλλαγμάτων, τὸ

Reliquum nobis est, ex obligationib' quę consensu contrahuntur

grahuntur, mandatũ. Quinque autem id modis constituitur. Aut enim mea solius gratia tibi mãdo: aut mea & tua: aut aliena tantùm: aut mea & aliena: aut tua & aliena. Nam si tua tantùm gratia mandatũ fiat, superuacuum est qđ agitur, ac neque ex consensu constituitur obligatio, neque mandati nascitur actio. ¶ Et mea tantũ mandãtis gratia interuenit mãdatum: veluti si tibi mandarim, vt negotia mea gereres, vel vt fundum illum mihi emeres, vel vt pro me sponderes. Mea & tua gratia mandatum fit, quum tibi mando, vt pecuniam Titio sub vsuris credas, qui eam in rem meam versurus est. Nam & tibi prodest id quod agitur, propter vsurarum præstationem: & mihi, in cuius rem pecunia vertẽda est. Aut si cùm pro Primo, qui mutuum à te acceperit, ego fidẽ meã interposuissem: & tu

μανδάτου. συνίσταται δὲ τοῦτο τρόποις πέντε. ἢ γὰρ ἐμαυτοῦ μόνου ἐντέλλομαί σοι χάριν, ἢ ἐμαυτοῦ καὶ σοῦ, ἢ ἑτέρου μόνου ἕνεκα, ἢ ἐμοῦ καὶ ἑτέρου, ἢ σοῦ καὶ ἑτέρου. εἰ γὰρ σοῦ μόνου χάριν γένηται τὸ μανδάτον, περιττὸν τὸ πραχθέν. καὶ οὐδὲ ἡ κονσένσῳ συνίσταται ἐνοχή, οὐδὲ ἡ μανδάτι τίκτεται ἀγωγή. ¶ Καὶ τοῦ ἐντελλομένου μὲν χάριν ἐμοῦ μόνου γίνεται τὸ μανδάτον, οἷον ἐὰν ἐντείλωμαί σοι, ἵνα τὰ πράγματά μου διοικήσῃς ἢ ἵνα μοι τὸν ἀγρὸν τόνδε ἀγοράσῃς, ἢ ἵνα ἐγγυήσῃ με. ἐμοῦ καὶ σοῦ χάριν γίνεται τὸ μανδάτον, ἡνίκα ἐντείλωμαί σοι, ἵνα ἐπὶ τόκῳ δανείσῃς Τιτίῳ, τῷ μέλλοντι ταῦτα τὰ χρήματα εἰς ἐμὰς δαπανᾶν χρείας. καὶ γὰρ καὶ σὲ τὸ γινόμενον ὠφελεῖ διὰ τὴν λῆψιν τῶν τόκων, κἀμὲ δὲ περὶ τὰς χρείας δαπανηθήσεται τὸ ἀργύριον. ἢ ἐὰν συμβῇ δανείσασθαι μὲν παρὰ σοῦ Πρῖμον, ἐμὲ δὲ ἐγγυήσασθαι. βου-

θ. Mandantis.

λογιζόμενος δέ σοι χρήσασθαι κατ' ἐμοῦ, ἐντέλλομαί σοι ἐμῷ κινδύνῳ κινῆσαι κατὰ πρῶτον τοῦ πρωτοτύπου. ἰδοὺ γὰρ ἐνταῦθα κἀγὼ ἀφαιροῦμαι τὴν παροῦσαν διαφεύγων ἀγωγὴν, καὶ σὺ δὲ δυνάμενος μετὰ τὴν κατὰ τοῦ πρωτοτύπου δίκην, εἴγε μὴ ἀποπληρωθῇ τὸ χρέος ὑποστρέφειν κατ' ἐμοῦ. ὑπόθου γὰρ ὅτι ἡ ἐγγύη γέγονε δίχα ὑποθήκης, τὸ δὲ μανδᾶτον μετὰ ὑποθήκης, ἵνα τι ὄφελος ἔχῃ τὸ μανδᾶτον, ἢ καὶ ἡνίκα ἐχρεώστουν σοι ἑκατὸν νομίσματα, ἐβούλου δέ με καλέσαι πρὸς δίκην. ἐδελεγάτευσόν σοι ἐγὼ τὸν ἐμὸν δεβίτωρα. εἶτα ἐνετειλάμην σοι ἐγὼ ἐμῷ κινδύνῳ ἐπερωτᾶν αὐτόν. τυχὸν γὰρ ἐδεδείεις μήπως ἐπερωτήσας τὸν ἐμὸν δεβίτωρα ἐκπέσῃς τοῦ χρέους, οὔτε παρ' αὐτοῦ δυνάμενος τι λαβεῖν, διὰ τὴν αὐτῷ προσοῦσαν ἀπορίαν, οὔτε κατ' ἐμοῦ δυνάμενος ὑποστρέφειν, διὰ τὴν συμβᾶσάν μοι ἐκ τῆς νοβα-

mecum ex causa fideiussoria velles agere: mandaui im tibi, vt meo periculo cum Primo principali ages. Ecce enim, & ego hic iuuor, præsentem euitãs actionem: & tu, qui post acceptũ cum principali iudicium, nisi is tibi satisfecerit, contra me reuerti potes. Nam finge sine pignore fideiussionem factam fuisse, & mandatum cũ pignore interuenire: vt aliquid emolumenti sit in mandato: aut si cùm centũ tibi aureos deberẽ, & tu me in ius vocare velles, debitorẽ meum tibi delegauerim: deinde mandauerim tibi ego, vt meo periculo ab eo stipulareris. Quoniã timebas fortè, ne si stipulando à debitore bonum nomen eius fecisses, debito omni excideres. Cũ neque ab eo quicquam propter inopiam ipsius posses consequi: neque cõtra me redire posses propter liberationem, quæ mihi ex nouatione continge-

re.

ret. Ecce enim quemadmodum & hic vtrique proſit mandatum: mihi, quia in præſens moleſtia liberabor: tibi, quia & debitorem meū ex ſtipulatiōe tibi obligatum habebis, & mecum ex mandato agere poteris. Atq; etiam, quū vnum antea tibi obligatum habebas, nunc duos habebis: illum, ex ſtipulatione: me, ex mandato. Aliena tātùm gratia fit mandatum: cùm tibi mādo, vt Titij negotia geras: aut vt Titio fundum emas: aut vt pro Titio ſpondeas. Mea gratia & aliena fit mandatū: ſi mādauerim tibi, vt mea & Titij communia negotia gereres: aut vt mihi & Titio fundum emeres: aut vt pro me & Titio ſpōderes. Tua & aliena gratia mando, ſi cùm Titius pecunia egeret, mandem tibi, vt ei ſub vſuris credas. Hic enim & tibi res proderit, propter vſuras: & illi, cuius ne-

τζίανος ἐλευθερῶσαι. ἰδοὺ γὰρ ἐνταῦθα ἑκάτερον ὠφελεῖ τὸ μανδάτον. ἐμὲ μὲν καθὸ μένω πρὸς τὸ παρὸν ἀνενόχλητος, σὲ δέ, ἐπειδὴ καὶ τὸν ἐμὸν δεβίτωρα ὑπεύθυνον ἕξεις ἐκ τῆς ἐπερωτήσεως, καὶ κατ' ἐμοῦ χωρῆσαι ἐκ τοῦ μανδάτου δυνήσῃ. καὶ πάλαι ἕνα κεκτημένος ὑπεύθυνον, νῦν ἕξεις δύο. ἐκεῖνον μὲν ἐκ τῆς ἐπερωτήσεως, ἐμὲ δὲ ἐκ τοῦ μανδάτου. ἑτέρου δὲ μόνου χάριν γίνεται τὸ μανδάτον, ἡνίκα ἐντείλωμαί σοι, ἵνα Τιτίου διοικήσῃς τὰ πράγματα, ἢ ἵνα Τιτίῳ ἀγρὸν ἀγοράσῃς, ἢ ἐγγυήσῃ Τίτιον. ἐμοῦ χάριν καὶ ἑτέρου γίνεται τὸ μανδάτον, ἐὰν ἐντείλωμαι τὰ κοινὰ ἐμοῦ καὶ Τιτίου διοικῆσαι πράγματα. ἢ ἵνα ἐμοὶ καὶ Τιτίῳ ἀγοράσῃς ἀγρόν. ἢ ἵνα ἐμὲ καὶ Τίτιον ἐγγυήσῃ. σοῦ δὲ καὶ ἑτέρου χάριν ἐντέλλομαι, ἐὰν Τιτίου δεομένου χρημάτων, ἐντείλωμαί σοι, ἵνα δανείσῃς αὐτῷ ἐπὶ τόκοις. ἐνταῦθα γὰρ καὶ σὺ διὰ τοὺς τόκους ὠφεληθήσῃ, κἀκεῖνος τῆς οἰκείας

ἐντὸς γένηται χρείας. εἰ γὰρ ἵνα ἀτόκως δανείσῃς ἐνετειλάμην σοι, ὑπὲρ ἑτέρου, οὐ μὴν ὑπὲρ σαυτοῦ μηδὲν ὠφελουμένου γίνεται τὸ μανδάτον.

*Tua tantum gratia.*

¶ Σοῦ μόνου χάριν γίνεται τὸ μανδάτον, ἡνίκα ἐντείλωμαί σοι, ἵνα τὰ σὰ χρήματα μᾶλλον εἰς ἀγορασίαν κτημάτων παράσχῃς, ἤπερ ἵνα δανείσῃς. ἢ ἐκ τοῦ ἐναντίου, ἵνα μᾶλλον δανείσῃς, ἤπερ ἀγοράσῃς κτήματα. τὸ δὲ τοιοῦτον μανδάτον, συμβουλὴ μᾶλλον ἐστὶν ἤπερ μανδάτον. καὶ διὰ τοῦτο οὐδεμίαν τίκτει ἐνοχήν. οὐδεὶς γὰρ ἀπὸ συμβουλῆς ἐνέχεται τῇ μανδάτι, εἰ καὶ τὰ μάλιστα μὴ ὠφελήθη ὁ συμβουλευθείς. ὁπότε ἐλευθέρα ἑκάστῳ πρόσεστιν ἐξουσία, ζητῆσαι καθ' ἑαυτὸν, εἰ ἄρα τὸ ἐν συμβουλῇ αὐτῷ παρά τινος εἰρημένον ἐπωφελὲς ὑπάρχει. διὸ εἰ ἀργὰ ἔχοντί σε χρήματα, προτρέψω, ἵνα τι πρᾶγμα ἀγοράσῃς, ἢ ἵνα ταῦτα δανείσῃς, εἰ καὶ τὰ μάλιστα τὸ πραχθὲν

cessitati succursum erit. Quoniam si, vt sine vsuris crederes, mandarim tibi: aliena tantum non etiam tua qui nihil iuueris, gratia, intercedit mandatum.

¶ Tua tantùm gratia interuenit mandatum, cùm mando tibi, vt pecunias tuas in emptiones potiùs prædiorum colloces, quam vt fœneres: aut contrà vt potius fœneres quàm prædia emas. Huiuscemodi autē mandatum, consiliū potiùs est quàm mādatum: & ob id nullum parit obligationem, quia nemo ex consilio mandati obligatur: etiamsi nō expediat ei, cui mandabatur: cùm liberum cuique sit apud se explorare, an quod pro consilio ab aliquo accepit, sibi conducat. Quapropter si cùm vacuam & otiosam apud te pecuniam haberes, hortatus fuero, vt rem emeres aliquam, vel vt eam fœnori dares, quāuis id quod egeris tibi

tibi non profuerit: veluti cùm seruos emisses, si hi mortui sint aut fugerint; aut cùm fœnori dedisses, si non sit soluendo, cui credidisti: mandati ego tibi non teneor. Et hæc adeo vera sunt, vt apud veteres dubitatum sit, an mãdati tenear si mandarim tibi, vt Titio sub vsuris pecuniã crederes: quibusdam dicentibus id consilium esse, & secundum ea, quæ dicta sunt, obligationem nõ parere. Sed obtinuit Sabini sententia, dicentis mandati me obligari. Nam quoniam certam personã Titij, mandato apposui: ideo tibi obligor, veluti ad quandam similitudiné fideiussoris. Si enim indefinitè dixerim: crede pecuniam tuam: mandatum hoc (vt dictũ est) non est obligatorium. Quòd si certã personam subiecerim, secundum morem qui nunc obtinet, mandati obligabor. ¶ Quemadmodum mandatũ quod

ἐπωφελές σοι οὐ γέγονεν, οἷον τὸ ἀγοράσαι, ἐπειδὴ τυχὸν οἰκέται ἦσαν καὶ ἐτελεύτησαν, ἢ ἔφυγον, ἢ ἐδάνεισας ἀπόρῳ, οὐ κατασχεθήσομαί σοι τῇ μανδάτι. καὶ ἐπὶ τοσοῦτον ταῦτα οὕτως ἔχει, ὅτι γέγονε ἐπὶ τοῖς παλαιοῖς ἀμφιβολία, εἰ ἄρα τῇ μανδάτι κατέχομαι ἐντεταλμένος σοι ἵνα Τιτίῳ ἐπὶ τόκῳ δανείσῃς χρήματα, τινῶν συμβουλὴν τοῦτο λεγόντων, καὶ μὴ τίκτειν ἐνοχὴν κατὰ τὰ εἰρημένα. ἐκράτησε δὲ μᾶλλον ἡ τοῦ Σαβίνου γνώμη λέγουσα, ἔνοχόν με γενέσθαι τῇ μανδάτι. ἐπειδὴ γὰρ κέρτον ὑπεθέμην πρόσωπον Τιτίου, διὰ τοῦτο καὶ ἐνέχομαι, τρόπον τινὰ μιμούμενος ἐγγυητήν. εἰ μὲν γὰρ εἴπω ἀπεριορίστως δάνεισον τὰ χρήματα, ἐνοχοποιὸν οὐκ ἔστιν ὡς εἴρηται τὸ μανδάτον. εἰ δὲ ῥητὸν ὑπόθωμαι πρόσωπον, κατὰ τὸ κρατῆσαν ἔθος ὑπεύθυνος ἔσομαι τῇ μανδάτι. ¶ Ὥσπερ τὸ ἐν συμβουλῇ γενόμενον μανδάτον οὐ τίκτει

¶. Illud quoque.

τὴν μανδάτι, οὕτως οὐδὲ τὸ contra bonos mores. οἷον ἐντειλάμενόν σοι, ὥστε κλέψαι τὰ Τιτίου πράγματα, ἢ ζημιῶσαι αὐτὸν, ἢ ὑβρίσαι. εἰ καὶ τὰ μάλιστα γὰρ σὺ πεισθεὶς τῷ ἐμῷ μανδάτῳ, τὴν ἐπὶ τῷ ἁμαρτήματι ὑπέστης ποινὴν, ὅμως οὐκ ἕξεις κατ' ἐμοῦ τὴν μανδάτι.

Is qui exequitur.

¶ Ὁ τὸ μανδάτον ὑποδεξάμενος, οὐκ ὀφείλει τοὺς ὅρους ὑπερβῆναι τοῦ μανδάτου. οἷον ἐνετειλάμην σοι, ὥστε μέχρι ἑκατὸν νομισμάτων ἀγοράσαι μοι τόνδε τὸν ἀγρὸν, ἢ μέχρι ἑκατὸν νομισμάτων ἐγγυήσασθαι Τίτιον· οὔτε πλείονος ποσότητος ἀγοράσαι μοι τόνδε τὸν ἀγρόν σε ἔδει, οὐδὲ εἰς πλεῖον ἐγγυήσασθαι. παραβὰς γὰρ τὸ εἰρημένον ἡμῖν μέτρον, οὐκ ἕξεις κατ' ἐμοῦ τὴν μανδάτι. ἐπὶ τούτου ὅτι Σαβῖνος καὶ Κάσσιος φησὶν, εἰ καὶ μέχρι ἑκατὸν νομισμάτων βούλει κινῆσαι κατ' ἐμοῦ τὴν μανδάτι, οὐκ ἔστι μέχρι οὗ ἐνετειλά-

pro consilio datum est, obligationem mandati non producit: ita nec mandatum, quod contra bonos mores est: veluti si mandarim tibi vt res Titij furto tolleres: aut damnũ ei dares, aut contumelia eum afficeres. Nam quamuis mandato meo parueris, & pœnã facti istius nomine præstiteris: non tamen vllam aduersus me habebis mandati actionẽ. ¶ Is qui mandatum suscepit, fines mandati excedere non debet. Veluti, mandaui tibi vt vsque ad centum aureos fundum illum mihi emeres: aut vt vsque ad centũ aureos pro Titio sponderes. Neque pluris emere fundum illum debes, neque in maiorem summam pro Titio spõdere. Nam si statutum inter nos modum excedas, mãdati actionem mecũ non habebis. Adeò, vt Sabinus & Cassius existiment, etiã si vsque ad centum aureos mecum velis ex mandato agere, hoc est, vsque ad summam

summam quam tibi mandaui) eo quod amplius est omisso: inutilem fore litis exitum. Proculiani vero rectè vsque ad centum aureos agere te dicunt: quæ sententia sanè benignior est. Quod si minoris emeris, veluti octoginta aureis: habebis scilicet mecũ mandati actionem. Qui enim mandat, vt sibi centum aureis fundus ematur, vtique id mandare videtur, vt etiã minoris (si fieri posset) ematur, quoniam maior summa, minorem in se continet. ¶ Soluitur mandatum quamuis rectè contractum, si re integra, id est, manentibus rebus, reuocatum fuerit: veluti, mandaui tibi vt seruum mihi emeres. Antequã emere inciperes, reuocaui mandatum. Id est, re integra. Similiter & re integra per mortem eius qui mandauit, aut eius cui mandatum est, soluitur mãdatum. Propter na-

μείω σοι ποσότητος, τῆς πλείονος καταφρονήσας, οὐκ ἔσται χρηστὸν ἀποτέλεσμα τῇ δίκῃ. οἱ δὲ Προκουλιανοὶ, ὀρθῶς σε λέγουσι μέχρι τῶν ἑκατὸν νομισμάτων κινεῖν. ἡ τις γνώμη μᾶλλον ἐστὶ φιλάγαθος. εἰ δὲ ἐλάττονος ἀγοράσῃς, οἷον π νομισμάτων, ἕξεις κατ᾽ ἐμοῦ δηλαδὴ τὴν μανδάτι. ὁ γὰρ ἐντελλόμενος ἑκατὸν νομισμάτων αὐτῷ ἀγρὸν ἀγορασθῆναι, προδήλως ἐντέλλεσθαι δοκεῖ, ὥστε καὶ ἐλάττονος εἰ δυνατὸν ἀγορασθῆναι. τοῖς γὰρ πλείοσι τὰ ἐλάττονα περιέχεται. ¶ Διαλύεται τὸ μανδάτον, κἂν ὀρθῶς προβῇ, εἰ ῥὲ ἴντεγρα, τουτέστι μενόντων τῶν πραγμάτων γένηται τούτου ἀνάκλησις. οἷον ἐνετειλάμην σοι τοῦ ἀγοράσαι μοι οἰκέτην, πρὶν ἄρξῃ τῆς ἀγορασίας ἀνεκαλεσάμην τὸ μανδάτον. τοῦτο γὰρ ἐστὶ ῥὲ ἴντεγρα. ὁμοίως ῥὲ ἴντεγρα θανάτου συμβάντος τῷ ἐντειλαμένῳ, ἢ τῷ ἐνταλθέντι λύει τὸ μανδάτον. διὰ δὲ

θ Rectè quoque.

τὸ φύσει δίκαιον, ἤρεσεν ἔσθ' ὅτε δίδοσθαι τὴν μανδάτι. τί γὰρ ὅτι μέλλοντί σοι ἐκδημεῖν ἐπὶ τήνδε τὴν χώραν, ἐνετειλάμην σοι ἀγοράσαι ἵππους· δεξάμενος τὸ μανδάτον ἀπεδήμησας. πρὶν ἅψῃ τῆς ἀγορασίας, συνέβη με τελευτῆσαι. ὑποπτεύων σὺ ἔτι με περιεῖναι, καὶ τὸ μανδάτον τὸ ἐκείνου ποιῶν, ἠγόρασας τοὺς ἵππους. ὑποστρέψας ἔγνως με τετελευτηκέναι, οὐ δύνασαι κινῆσαι τὴν μανδάτι κατὰ τῶν ἐμῶν κληρονόμων. ἐπειδὴ ῥὲ ἴντεγρα συνέβη τὸν ἐντειλάμενόν σοι ἐμὲ τελευτῆσαι. ἀλλ' ἐπειδὴ ἄτοπόν ἐστιν, ἀγνοήσαντά σε ζημιοῦσθαι, ἤρεσε διὰ τὸ φιλάγαθον, ἔχειν σε κατὰ τῶν ἐμῶν κληρονόμων, τὴν μανδάτι, ἵνα μὴ ἡ εὔλογος ἄγνοια ζημίαν σοι προσενέγκῃ. τοῦτο δὲ περιβαίνει κατὰ μίμησιν ἐκείνου τοῦ θέματος. δισπενσάτωρ ἐστὶν ὁ οἰκέτης, ὃς εἴωθεν ἐκδανείζειν τὰ δεσποτικὰ χρήματα.

turalem tamen æquitatem, placuit interdum actionem mandati dari. Quid enim si cùm in regionem illam proficisci pares, ego tibi mandaui, vt mihi equos emeres: tu suscepto mandato profectus es. Antequam ad emptionem accederes, contigit vt ego morerer. Tu cũ me adhuc viuere putares, & mandato pareres, emisti equos. Reuersus, comperis me defunctum esse. Mandati agere cum heredibus meis non potes. Quoniam re integra euenit, vt ego mandator tuus obirem. Sed quoniã iniquum est, te cùm mortem meam ignoraueris, damno affici: visum est benignius esse, vt mandati actionem aduersus heredes meos haberes: ne iusta probabilísque ignorantia damnũ tibi afferret. Id autem hic cõtingit exemplo eius quod in illa specie traditum est. Dispẽsator est seruus, qui fœnori dare consueuit pecuniam domi-

ai. Et hic quidem fœnori dando, neminem sibi obligat. Nã quomodo, cùm seruus sit? sed domino suo actionem ex mutui datione adquirit. Ac qui mutuum accepit, siue domino soluat à debito liberatur: quoniam ei soluit, qui actionem cum eo habebat. Siue seruo: & hunc quoque modum debere desinit. Voluntate enim domini id dedit. Nam qui seruo permisit, vt pecuniam suam crederet: idem & debitoribus facultaté dedisse videtur, vt dispensatori soluerét. Et hæc quidem quã diu eodem erga seruum dominus animo est: Si enim sententiã mutarit, haud rectè debitores ei soluunt. Quid ergo si dominus dispensatorem manumiserit, & deinde ei debitor pecuniam soluerit: an liberatur debito? Et quidem secundum strictam iuris rationem, libe-

οὗτος δὲ δανείζων, ἔνοχον μὲν οὐ κτᾶται. πῶς γὰρ οἰκέτης ὤν; τῷ οἰκείῳ δὲ δεσπότῃ, τὴν ἀπὸ τοῦ δανείσματος προσπορίζει ἀγωγήν. ὁ δὲ δανεισάμενος, εἴτε τῷ δεσπότῃ καταβάλῃ ἐλευθεροῦται τοῦ χρέους· κατέβαλε γὰρ τῷ τὴν ἀγωγὴν ἔχοντι κατ' αὐτοῦ. εἴτε τῷ οἰκέτῃ, καὶ οὕτως ἀπαλλάττεται τοῦ ἐποφείλειν. δέδωκε γὰρ ταῦτα γνώμῃ τοῦ δεσπότου. ὁ γὰρ ἐπιτρέψας τῷ οἰκείῳ οἰκέτῃ δανείζειν, αὐτὸς δοκεῖ παῤῥησίαν διδόναι τοῖς δανειζομένοις, τοῦ ἐπ' αὐτὸν τὸν δεσπενσάτωρα καταβάλλειν. ταῦτα δὲ, ἐφ' ὅσον τῆς αὐτῆς ἔχεται ὁ δεσπότης περὶ τὸν οἰκέτην διαθέσεως. εἰ γὰρ ἀποστῇ τῆς τοιαύτης γνώμης, οὐκ ὀρθῶς οἱ δανειζόμενοι ἐπ' αὐτὸν καταβάλλουσιν. τί οὖν ὅτι τὸν δεσπενσάτωρα ἠλευθέρωσεν ὁ δεσπότης, εἶτα κατέβαλεν ἐπ' αὐτὸν ὁ δανεισάμενος τὰ χρήματα. ἆρα ἐλευθεροῦται τοῦ χρέους; κατὰ μὲν τὸ ἀκριβὲς, οὐκ ὀφείλει ἐλευθεροῦσθαι· ἐ-

ἐπειδὴ ἑτέρῳ κατέβαλεν, ἤπερ ᾧ ἐβούλετο ὁ δεσπότης τῶν χρημάτων. ἐλευθερώσας γὰρ αὐτὸν δῆλον ὅτι τῆς τοιαύτης ἀπέστη ἐπ' αὐτῷ διαθέσεως. ἀλλ' ἐπειδὴ ἄτοπον ἐστὶ, τὴν εὔλογον ἄγνοιαν φέρειν βλάβην τῷ καταβαλόντι, ἤρεσε ἀπαλλάττεσθαι αὐτὸν, διὰ τὸ φύσει δίκαιον τῆς ἐνοχῆς. ὥσπερ οὖν ἐπὶ τοῦ δισπενσάτωρος παρὰ τὴν ἀκρίβειαν ἡ εὔλογος ἄγνοια βοηθεῖται, οὕτω καὶ τοῦ μανδάτωρος ῥὲ ἴντεγρα διαλυθέντος τελευτῇ τοῦ ἐντειλαμένου, κινηθήσεται ἡ μανδάτι, διὰ τὸν αὐτὸν λογισμὸν, τουτέστι τὴν εὔλογον ἄγνοιαν.

§. Mandatū ¶ Τὸ γινόμενον εἰς ἐμὲ μανδάτον, ἐξουσία μοι πρόεστι μὴ ὑποδέχεσθαι. ὑποδεχθὲν δὲ πληροῦν ὀφείλω, ἢ τάχιστα ἀπαγορεύειν· ὥστε τὸν ἐντειλάμενόν μοι, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἑτέρου τὸ αὐτὸ πρᾶγμα πληρῶσαι. εἰ γὰρ μὴ οὕτως ἀπαγορεύσω ὥστε ἐν ἀκεραίῳ τῶν τοῦ πράγματος

rari non debet, quoniā alij soluit, quàm cui dominus pecuniam, volebat. Cùm enim eum manumiserit, dubium non est, quin & animū suū erga ipsum mutarit Sed quoniā iniquum est, vt probabilis iustáq; ignorantia soluenti damnum afferat, placuit eum propter naturalem æquitatem obligatione illa liberari. Quemadmodum igitur in dispensatore, probabili ignorantiæ succursum est: ita & mandato, re integra per mandantis mortem soluto, mandati actio locum habebit: propter eandem rationem, id est, propter probabilem ignorantiam. ¶ Mandatum, quod mihi aliquis facit, liberum est nō suscipere: susceptū verò aut implere debeo, aut quàm primum renuntiare, vt is, qui mihi mandauit, aut per se, aut per alium eam rem exequatur. Nam nisi ita renuntiauero, vt omnia quæ rem cōtinguut mandanti sint

sint in integro : & eam commodè adhuc exequi possit, mādati tenebor: verbi gratia, profectionem parabam in regionem aliquam, volebat autem & Titius, qui & ipse tibi amicus erat, eodem proficisci. Tu mihi mandasti, vt mancipia aliúdve quid, tibi emerem. Si mandatum suscepi, eousque impunè renūtio, donec nondum Titius profectus est, & ei de eadem emptione mandare potes. Quòd si illo iam profecto renuntiauero, mādati tenebor. Quoniam Titio iam profecto per alium mandator implere mandatum non potest. Si tamen iusta aliqua causa intercesserit, quæ ne renuntiarē impedimento fuerit : aut vt tardiùs renuntiarem, fecerit, ignoscēdum mihi est. Quid enim si publicæ necessitates, aut aliæ quæuis necessariæ mandatum implere mihi non permise-

τῷ ἐντειλαμένῳ φυλάττεσθαι, καὶ δύνασθαι οὐδὲν ἧττον ἀζημίως αὐτὸ πληροῦν, κατέχομαι τῇ μανδάτῃ. τί γὰρ ἔμελλον ἀποδημεῖν ἐπὶ τήνδε τὴν χώραν. ἐβούλετο δὲ Τίτιος καὶ αὐτὸς φίλος σοι ὢν ἀποδημεῖν. ἐνετείλω μοι ὥς τε σοι ἀγοράσαι, ἢ ἀνδράποδα, ἢ καὶ ἕτερόν τι. ἐὰν ὑποδέξωμαι τὸ μανδάτον, μέχρι τούτου ἀζημίως ἀπαγορεύω, ἄχρις οὗ οὐκ ἀπεδήμησεν ὁ Τίτιος, καὶ δυνατὸν αὐτῷ ἐντείλασθαι περὶ τῆς αὐτῆς ἀγορασίας. εἰ δὲ συμβῇ αὐτὸν ἀποδημῆσαι τηνικαῦτα ἀπαγορεύσας ἐγώ, ἔνοχος ἔσομαι τῇ μανδάτῃ. οὐκ ἔτι γὰρ πληροῦν δι' ἑτέρου δύναται τὸ μανδάτον ὁ ἐντειλάμενος, ἀποδημήσαντος τοῦ Τιτίου ἤδη. εἰ μέν τοι εὔλογος αἰτία ἐπιγένηται, ἢ τις οὐ συνεχώρησέ με ἀπαγορεῦσαι ἢ βραδέως ἀπαγορεῦσαι, συγγνώμης ἀξιωθήσομαι. τί γὰρ ὅτι δημοσία χρεία ἢ ἑτέρα τις ἀναγκαία πρόφασις οὐ συνεχώρησέ μοι τὸ μαν-

δάτον

e. Mandatũ. δάτου ἀναπληρῶσαι. ¶ Τὸ μανδάτον καὶ ἐν διεμ γίνεσθαι δύναται. οἷον ΕΝΤΕΛΛΟΜΑΙ ΣΟΙ ΜΕΤΑ ΔΥΟ ΕΤΗ ΤΟΔΕ ΠΡΑΞΑΙ. καὶ ὑπὸ αἵρεσιν, οἷον ΕΝΤΕΛΛΟΜΑΙ ΣΟΙ ΣΙ ΝΑΒΙΣ ΕΚ ΑΣΙΑ ΒΕΝΕΡΙΤ, ΤΟΔΕ ΠΟΙΗΣΑΙ. ¶ Ὡς ἐν τέλει δὲ ἰστέον, ὅτι τὸ μανδάτον, ὀφείλει εἶναι γρατουΐτον. εἰ μὴ γὰρ τοιοῦτον ἐστὶν, εἰς ἕτερον μεταπίπτει συνάλλαγμα. μισθοῦ γὰρ ὁρισθέντος, ἄρχεται μίσθωσις εἶναι καὶ ἐκμίσθωσις. γενικῶς γὰρ εἰδέναι σε χρὴ, ἐφ' ὧν θεμάτων δίχα μισθοῦ ἀναδεχομένου σου τὶ ποιῆσαι, ἡ μανδάτι, ἤγουν ἡ δεπόσιτι συνίσταται ἀγωγὴ, ἐπὶ τούτων τῶν θεμάτων, μισθοῦ παρεντεθέντος μίσθωσις καὶ ἐκμίσθωσις συναλλάττεται. διὸ εἰ κναφεῖ κναφέαν, ἢ λευκαντεῖ λευκαντέαν, ἐσθῆτα παράσχῃς, ἢ ῥάπτῃ ῥαπτέαν, οὐδενὸς μισθοῦ ὁρισθέντος, οὐδὲ ἐπαγγελθέντος,

6. In summa.

rint? ¶ Mandatum & in diem differri poteſt: veluti, MANDO TIBI, VT POST BIENNIVM HOC AGAS. Et ſub conditione fieri: veluti, MANDO TIBI, VT SI NAVIS EX ASIA VENERIT, HOC FACIAS. ¶ Illud autem vt in ſumma ſciendum eſt, mandatum gratuitũ eſſe debere. Niſi enim tale ſit, in aliam ſpeciem contractus cadit. Quoniam mercede conſtituta, locatio & conductio eſſe incipit. Nam id te generaliter ſcire oportet, quibus caſibus ſine mercede ſuſcepto abs te aliquid faciendi officio, mãdati, aut depoſiti naſcitur actio, in his caſibus mercede interueniente locationem & conductionẽ contrahi. Quapropter ſi fulloni poliẽda, aut candefactori candefacienda, aut ſartori ſarcienda veſtimẽta dederis, nulla cõſtituta aut promiſſa mercede, gratis

stis fullone aut sarto re id se facturũ pollicente, ad ea recipienda mandati cõpetet actio.

περὶ ἱμάτια τοῦ κναφέως, ἢ ῥάπτου ταῦτα ποιεῖν ἐπαγγελλομένου ἐπὶ τῇ τούτων ἀναλήψει ἡ μανδάτι ἁρμόσει ἀγωγή.

---

## DE OBLIGATIONIBVS QVAE QVASI ex contractu nascuntur. Titul. XXVIII.

CVM sit igitur dictũ de obligationibus, quæ ortum habent ex cõtractu: dicamus deinceps de obligationibus, quæ quidem nõ propriè ex contractu descendunt, sed tamẽ quia nõ ex maleficio substantiã capiunt, quasi ex contractu nasci videntur. ¶ Si quis ergo me absente, negotia mea gesserit, vltro citróque inter nos nascuntur actiones: & mihi quidem domino rerum datur directa actio negotiorum gestorum: negotiorum verò gestori, cõtraria. Has autem ex nullo propriè contractu nasci apertũ est. Tunc enim nascũtur, cùm quis sine mandato ad res alienas geren-

Εἰπόντες οὖν περὶ τῶν ἐνοχῶν, τῶν ἀπὸ κοντράκτου τὴν γένεσιν ἐχουσῶν, εἴπωμεν λοιπὸν περὶ τῶν ἐνοχῶν, αἵ τινες οὐ κυρίως ἀπὸ τῶν συναλλαγμάτων κατάγονται, ἀλλ᾽ ἐπειδὴ ἐξ ἁμαρτήματος οὐκ ἔχουσιν ὑπόστασιν, ὡσανεὶ ἀπὸ συναλλάγματος τίκτεσθαι δοκοῦσιν. ¶ Ἐάν τις τοίνυν, ἀπόντος μου τὰ ἐμὰ διοικήσῃ πράγματα, ἑκατέρωθεν μεταξὺ ἡμῶν τίκτονται ἀγωγαί. καὶ ἐμοὶ μὲν τῷ δεσπότῃ τῶν πραγμάτων δίδοται ἀγωγὴ ἡ διρέκτα νεγοτιόρουμ γεστόρουμ. τῷ δὲ διοικήσαντι, ἡ κοντραρία. ταύτας δὲ οὐκ ἔκ τινος συναλλάγματος κυρίως τίκτεσθαι φανερόν ἐστι. τότε γὰρ τίκτονται, ἡνίκα τις δίχα μανδάτου τῇ τῶν ἀλλοτρίων πραγμάτων

θ. Igitur.

γμάτων διοικήσει ἑαυτὸν περιεστήσατο. ἐξ ἧς αἰτίας οἱ τῶν διοικηθέντων πραγμάτων δεσπόται, καὶ ἀγνοοῦντες κατέχονται. καίτοι ἀπὸ συναλλαγμάτων, οὐδεὶς ἀγνοῶν κατέχεται. τοῦτο δὲ ἐπινενόηται διὰ τὸ χρήσιμον τῶν ἀπολιμπανομένων. οἵ τινες αἰφνιδίᾳ καὶ σπουδαίᾳ κατασχεθέντες ἀποδημίᾳ, οὐ δυνηθέντες τινὶ τῶν οἰκείων πραγμάτων τὴν διοίκησιν ἐντείλασθαι, ἀπεδήμησαν. τὸ δὲ χρήσιμόν ἐστιν ἐν τούτοις, δηλονότι ταῖς ἀγωγαῖς, τῇ τε διρέκτᾳ καὶ τῇ κοντραρίᾳ, ἵνα μὴ ἀπρονόητα καταλειφθῇ τὰ πράγματα. οὐκ ἂν γάρ τις τούτων ἐφρόντισεν, εἴγε μὴ τινὰ εἶχεν ἀγωγὴν, ἐφ' οἷς ἐδαπάνησε περὶ τὴν τῶν ἀλλοτρίων πραγμάτων διοίκησιν. ὥσπερ δὲ ὁ χρησίμως διοικήσας τὰ ἀλλότρια πράγματα, ἔνοχον ἔχει τὸν τούτων δεσπότην ἐφ' οἷς ἐδαπάνησεν, οὕτω καὶ ἐκ τοῦ ἐναντίου, αὐτὸς ὁ διοικητὴς κρατεῖται, ὥστε τῆς διοικήσεως λόγους ὑπέχειν, ἀπαι-

das accessit: qua ex causa, domini rerũ gestarũ, etiam ignorantes obligantur. Atqui ex contractu nemo ignorans obligatur. Idque vtilitatis causa receptum est, ne negotia eorũ desererentur, qui subita & necessaria profectione distenti, nemini rerum suarum administratione demandata, peregrè profecti sunt. Porrò vtilitas in his est, nimirũ in actionibus, directa scilicet & contraria: ne res desertæ & sine administratore relinquerentur. Neque enim aliter quisquã eas curaret, nisi de eo aliquam haberet actionem, quod in administratione alienarum rerum impẽdisset. Porrò quemadmodum is qui vtiliter aliena negotia gessit, obligatum habet dominum eorũ in id quod impendit: ita & ex contrario, ipse negotiorũ gestor tenetur, vt ad ministrationis suæ

τούμεν

reddat rationē cùm ab eo exigatur, vt exactissimam & penè modum excedentem diligentiam rebus gerendis adhibeat. Neque enim ad hoc vt actione negotiorum gestorum non teneatur, sufficit, talem diligentiam in alienorum negotiorum administratione adhibere qualem suis rebus adhibere solet: si modò alius diligentior eo cōmodiùs administraturus negotia fuisset. Tunc enim non ex negotiorum gestoris, sed ex illius alterius diligentia, res diiudicāda est. ¶ Sed & tutores, qui tutelæ iudicio tenentur, non propriè ex contractu obligari intelleguntur. Quis enim contractus inter tutorem & pupillum contrahitur? maximè cùm infans pupillus est. Sed quoniam tutores hic nō ex maleficio tenentur: quod enim maleficium tutela est, quæ ad pupillorum

τούμενος τὴν ἀκριβεστάτην καὶ ὑπερβάλλουσαν ἐπιμέλειαν τοῖς πράγμασι παρασχεῖν. οὐδὲ γὰρ ἐξαρκεῖ αὐτῷ πρὸς τὸ μὴ κατασχεθῆναι τῇ νεγοτιόρουμ γεστόρουμ, τὸ τοιαύτην ἐπιμέλειαν ἐπιδείξασθαι περὶ τὴν ἀλλοτρίαν οὐσίαν, οἵαν εἰώθει ἐπὶ τοῖς οἰκείοις ποιεῖσθαι πράγμασι. μόνον μέντοι, εἴγε ἕτερος ἐπιμελέστερος ἐπωφελέστερον ἔμελλε διοικεῖν τὰ πράγματα. τότε γὰρ, οὐ πρὸς τὴν αὐτοῦ τοῦ διοικητοῦ, ἀλλὰ πρὸς τὴν ἑτέρου ἐπιμέλειαν τὰ τῆς διοικήσεως κρίνεται. ¶ Καὶ ἐπίτροποι δὲ τῇ τουτέλᾳ κατεχόμενοι ἀγωγῇ, οὐκ ἀπὸ κοντράκτου κυρίως ἔνοχοι γίνεσθαι νοοῦνται. ποῖον γὰρ συνάλλαγμα μεταξὺ ἐπιτρόπου καὶ πουπίλλου συναλλάττεται. καὶ μάλιστα ἐν ᾧ ἴνφανς ἐστὶν ὁ πούπιλλος. ἀλλ᾽ ἐπειδὴ οὐκ ἐξ ἁμαρτήματος ἐνταῦθα κατέχονται οἱ ἐπίτροποι· ποῖον γὰρ ἁμάρτημα ἡ ἐπιτροπὴ, ἥτις ἐπὶ προνοίᾳ τῶν πουπίλλων ἐπινενόηται·

θ. Tutores.

νόηται· ὡσανεὶ ἀπὸ συναλλάγματος κατέχεσθαι δοκοῦσι. κἀνταῦθα δὲ ἐξ ἑκατέρου πλευροῦ τίκτονται ἀγωγαί. οὐ μόνον γὰρ ὁ πούπιλλος τὸν ἐπίτροπον ἔνοχον ἔχει τῇ τουτέλαι ἀγωγῇ, ἀλλὰ καὶ ἐκ τοῦ ἐναντίου οὗτος τῷ ἐπιτρόπῳ γίνεται ἔνοχος τῇ κοντραρίᾳ τουτέλαι. εἴτε τι ἐδαπάνησεν εἰς τὴν τοῦ πουπίλλου περιουσίαν, ἢ ὑπὲρ αὐτοῦ γέγονεν ἔνοχος, ἢ οἰκεῖον πρᾶγμα ὁ ἐπίτροπος δανειστῇ πουπιλλαρίῳ ἐνεχυρίασεν.

curam eſt inuentis quaſi ex contractu teneri videntur. Et hic ergo mutuæ naſcūtur actiones: quoniam nō ſolùm pupillus cum tutore tutelæ actionem habet, ſed etiam ipſe tutori contraria tutelę actione obligatus eſt: ſiue quid tutor impēdit in rem pupilli, ſiue pro eo ſeſe obligauit, ſiue rem ſuam creditori pupillari in cauſam pignoris dedit.

§. Item ſi inter.

¶ Ὑπὸ τὸ κουάσι κοντράκτου ὡσαύτως ἀνάγεται ἐὰν μεταξύ τινων εἴη πρᾶγμα κοινωνίας ἐκτός. οἷον ἐπειδὴ ἅμα δύο τισὶ τὸ αὐτὸ ἐληγατεύθη πρᾶγμα, ἢ ἐδωρήθη. καὶ ἐντεῦθεν ἕτερος τῷ ἑτέρῳ κατέχεται, τῷ κομμούνι διβιδούνδω δικαστηρίῳ, ἐπειδὴ μόνος καρποὺς ἐντεῦθεν ἔλαβεν. ἢ κινεῖ τις, οἷα νεκεσσάρια δαπανήματα πεποιηκὼς περὶ τὸ κοινὸν πρᾶγμα. οὐδὲ γὰρ αὕτη ἡ ἀγωγὴ κυρίως ἐκ συναλλάγματος κατέχεσθαι δοκεῖ.

¶ Inter obligationes, quæ ex quaſi contractu ſunt, eſt & illa. Si inter aliquos res communis ſit ſine ſocietate: veluti, quòd pariter duobus quibuſdam eadem res legata aut donata eſſet Et hinc alter alteri Communi diuidundo iudicio tenetur, aut quòd vnus eorum ſolus fructus ex ea re perceperit, aut quòd alius ſolus neceſſarias impenſas in rē communem fecerit. Nam neque hæc actio propriè ex contractu deſcendere vi

detur. Quem enim contractum inter se inierunt? sed quoniam ex maleficio alter alteri non tenetur, quasi cōtractus ea res videtur esse. Idémque est, si aliqui sint coheredes, & deinde alter cum altero familiæ herciscundæ iudicio egerit, ex his causis quæ in iudicio Communi diuidundo dictæ sunt. ¶ Ad hæc, si quis moriens heredem me instituerit, & rem alienā à me legauerit: ego rei nomine quæ testamento relicta est, legatario teneor actione ex testamento. Porrò actio hæc ex testamē to, ex contractu non oritur. Nam cum quo contractū iniisse videtur legatarius? non cum defuncto, quoniā ignorante legatario, eam rem testator reliquit. Non cum herede, quoniam & eo inuito relinquitur legatum. Sed quoniam in hac re maleficium nō vertitur,

δοκεῖ. ποῖον γὰρ μεταξὺ ἀλλήλων συνέθεντο συνάλλαγμα. ἀλλ᾽ ἐπειδὴ οὐ κακουργήματος χάριν κατέχεται ὁ ἕτερος, κουάσι κοντράκτου εἶναι τοῦτο δοκεῖ. τὸ αὐτό ἐστιν, εἰ καί τινες εἶεν συγκληρονόμοι, εἶτα ἕτερος κατὰ τοῦ ἑτέρου κινεῖ τὸ φαμιλίαι ἐρκισκούνδαι δικαστήριον, ἐκ τῶν εἰρημένων ἐπὶ τοῦ κομμούνι διβιδοῦνδο αἰτιῶν.

¶ Εἰ δὲ καί τις τελευτῶν, ἐνστήσεταί με κληρονόμον, ληγατεύσει δὲ παρ᾽ ἐμοῦ πρᾶγμα ἀλλότριον, κατέχομαι ἐγὼ τῷ ληγαταρίῳ, ἕνεκα τοῦ καταλειφθέντος τῇ ἐξ τεσταμέντο. αὕτη δὲ ἡ ἐξ τεσταμέντο, οὐκ ἀπὸ συναλλάγματος ἐγείρεται. πρὸς τίνα γὰρ δοκεῖ συνάλλαγμα πεποιῆσθαι ὁ ληγατάριος; οὔτε πρὸς τὸν τεστάτορα, ὁπότε ἀγνοοῦντος τοῦ ληγαταρίου, τοῦτο καταλιμπάνει ὁ διαθέμενος. οὔτε πρὸς τὸν κληρονόμον, ὁπότε καὶ ἄκοντος αὐτοῦ τὸ ληγάτον καταλιμπάνεται. ἀλλ᾽ ἐπειδὴ οὐ κακούργημα τὸ πραχθὲν, ἀπὸ κουά- 6. Hæres

σι κοντράκτου ἔνοχος δοκεῖ γίνεσθαι ὁ δεσπότης.

Item si quis.

¶ Ὁμοίως ἐάν τις κατὰ πλάνην τὸ μὴ ἐποφειλόμενόν μοι καταβάλῃ μοι, ὡς ἀπὸ κοντράκτου ἐνέχεσθαι δοκῶ. ἐπεὶ τοῦτον γὰρ ἀπὸ συναλλάγματος κυρίως οὐ γίνομαι ἔνοχος, ὅτι εἴ τις ἀκριβεστέρῳ χρήσαιτο λογισμῷ, μᾶλλον ὡς εἰρήκαμεν ἐν τοῖς προλαβοῦσιν, ἀπὸ διαλύσεως ὑποπιπτουμένου ὀφλήματος, οὐ μὴν ἐκ συστάσεως ἔνοχός εἰμι. ὁ γὰρ διαθέσει καταβαλόντος τὸ χρέος διδοὺς, ἐπὶ τούτῳ δίδωσιν, ὥστε τὴν νομιζομένην ὑπεῖναι ἀγωγὴν, τῇ καταβολῇ διαλύειν, ἤπερ συστῆσαι. ἀλλ' ὅμως ὁ λαβὼν ἔνοχος γίνεται, τῷ ἰνδεβίτῳ κονδικτικίῳ, ὥσπερ ὁ δανεισάμενος.

Ex quibus...

¶ Οὐκ ἐπὶ πάσης δὲ δόσεως τῷ κατὰ πλάνην καταβαλόντι δίδοται τοῦ ῥεπετεύειν ἄδεια. κεκανόνισται γὰρ παρὰ τοῖς ἀρχαίοις, ἐξ ὧν αἰτιῶν ἐξ

ex quasi contractu heres obligari videtur. ¶ Item, si quis mihi per errorem id soluerit, quod mihi non debebat, quasi ex cōtractu obligari videor. Adeò enim ex contractu propriè non obligor, vt si quis certiorem rationē sequatur, magis (quod & suprà diximus) ex dissolutione eius quod se quis putabat debere, quā ex constitutione alicuius contractus obligari videar: hoc est ex distractu potiùs quàm ex contractu. Nam qui animo soluendi dat id, quod debere se putat: in hoc dat, vt obligationem quam subesse existimat, dissoluat potiùs & distrahat, quàm vt nouam obligationem aliquam constituat, ac contrahat. Sed tamen is qui accepit, obligatur, sicut is cui mutuum datur, & condictione indebiti tenetur. ¶ Non quauis tamē ex causa, ei qui per errorem soluit, repetendi facultas datur. Quoniam io pro regula tradunt veteres: quibus ex causis

id

id quod verè debetur per infitiationẽ duplatur, ex iisdem causis & quod non debitum solutũ est, repeti nõ posse: veluti ex lege Aquilia. Nam si quis damnũ mihi dederit, habeo aduersus eum actionem ex lege Aquilia. Sin verò, cùm poscerem vt damnũ mihi resarciret, infitiatus fuerit, se quicquam debere: deinde fuerit conuictus, duplum soluere cogetur. Si quis ergo cùm damnum mihi non dedisset, sed dedisse se putaret, id quod non debebat mihi soluerit, non repetet quod dederit. Idem dicebant veteres & in his legatis locum habere, quæ certa constitutione cuicumq; personæ per damnationem relinquebantur. Certum legatũ est, si dixero, DAMNO TE HERES, ILLI DARE CENTVM AVREOS. Nam si dixero, DAMNO TE DARE EA QVAE IN ARCA SVNT,

ἀρνήσεως τὸ τῇ ἀληθείᾳ ἐποφειλόμενον διπλασιάζεται, ἐκ τῶν αὐτῶν αἰτιῶν, τὸ ἰνδεβίτως καταβληθὲν, οὐκ ἐπιδέχεται ῥεπετιτζίωνα. οἷον ὡς ἐπὶ τοῦ ἀκυιλίου. ἐὰν γάρ τις ζημιώσῃ με, ἔχω κατ' αὐτοῦ τὸν ἀκυίλιον. εἰ δὲ ἀπαιτούμενος θεραπεῦσαί μοι τὴν ζημίαν, ἀρνήσεται τὸ ἐποφείλειν, εἶτα ἐλεγχθῇ, διπλάσιον καταβάλλει. εἰ μέντοι μὴ ζημιώσας, ὑποπτεύσας δὲ αὐτὸν ἐζημιωκέναι με, ἰνδεβίτως καταβάλῃ, οὐ ῥεπετιτεύει τὸ δοθέν. τὸ αὐτὸ ἔφασκον οἱ παλαιοὶ, καὶ ἐπὶ τούτων τῶν ληγάτων χώραν ἔχειν, ἅτινα κέρτως καὶ δαμνατζίωνα κατελιμπάνετο οἵῳ δήποτε προσώπῳ. κέρτον δὲ ληγάτον ἐστὶν ἐὰν εἴπω ΚΑΤΑΔΙΚΑΖΩ ΣΕ Ὦ ΚΛΗΡΟΝΟΜΕ ΔΟΥΝΑΙ ΤΩ͂Ι ΔΕ ΕΚΑΤΟΝ ΝΟΜΙΣΜΑΤΑ. εἰ γὰρ εἴπω, ΚΑΤΑΔΙΚΑΖΩ ΣΕ ΔΟΥΝΑΙ ΤΑ ΕΝ ΤΗ͂Ι ΚΙ-

ΒΩΤΩι, ἐπειδὴ οὐκ ἔστι πρόδηλος ἡ ποσότης, ἴγκερτον τὸ ληγάτον. ἐπὶ δὲ τῶν κέρτων τοίνυν κατὰ δαμνατζίωνα ληγατευομένων, ἀρνησάμενος τὸ ὀφειλόμενον ὁ κληρονόμος εἶτα ἐλεγχθεὶς, τὸ διπλάσιον κατέβαλλεν. εἰ δὲ καὶ μὴ ἐποφείλων σοι, ἴσως δὲ ὡς ἐποφείλων πλανηθεὶς δέδωκεν, οὐκ ἠδύνατο ῥεπετεύειν. ἡ δὲ τοῦ ἡμετέρου βασιλέως διάταξις, ὁπότε μίαν φύσιν ὥρισε ληγάτοις τε καὶ φιδεϊκομμίσσοις, τὴν ἐξ ἀρνήσεως διπλασίονα οὐ μόνον ἐπὶ ληγάτων, ἀλλὰ καὶ ἐπὶ φιδεϊκομμίσσων ἐπεκτείνεσθαι βούλεται. ἀλλ' οὐκ ἐπὶ παντὸς ληγάτου, ἀλλ' ἐπὶ μόνων τῶν ληγάτων καὶ φιδεϊκομμίσσων, ἅ τινα ταῖς ἱερωτάταις ἐκκλησίαις, ἢ λοιποῖς σεπτοῖς τόποις καταλιμπάνεται, οὓς ἢ θρησκείας ἢ εὐσεβείας σκοπῷ τιμῶμεν. εἰ δὲ μηδενὸς καταβληθέντος ληγάτου ἢ φιδεϊκομμίσσου σεπτῷ τόπῳ, νομι-

quoniam quantitas eorum nō apparet, incertum legatū est. In certis igitur legatis, quæ per damnationem relicta erāt, heres, qui debitum infitiabatur, conuictus, duplum soluebat. Quod si cùm nō deberet tibi, per errorem tamē quasi deberet soluisset, repetitionem eius nō habebat. Sed Imperatoris nostri constitutio, cùm vnā omnibus legatis & fideicommissis naturam constituerit: duplationem hanc, quæ ex infitiatione descendit, non solùm ad legata omnia, verum etiam ad fideicommissa extēdi voluit. Non tamen omnibus legatis id indulsit, sed his solùm legatis ac fideicommissis, quæ sacrosanctis ecclesiis & ceteris venerabilibus locis relinquuntur, quæ aut religionis aut pietatis respectu honoramus. Si ergo quum nullū legatum fideive cōmissum venerabili alicui loco relictum esset,

esset, ego tamē quia relictum esse putabā soluerim: cessat repetitio, propterea q̃ heres qui ea verè deberet, per infitiationem ad duplum soluendum cogendus esset.

ζων ἐγὼ καταλελῆφθαι καταβάλω, ἀργεῖ ἡ ῥεπετιτίων, διὰ τὸ ἐποφείλοντα τὰ τοιαῦτα τὸν κληρονόμον, εἶτα ἀρνησάμενον τῇ τοῦ διπλασίονος ὑποπίπτειν καταβολῇ.

---

## PER QVAS PERSONAS NOBIS OBLIGATIO ACQUIRITUR. Titul. XXVIII.

DIximus de obligationib9, quę vel ex cōtractu, vel ex quasi contractu nascūtur. Nunc dicendum nobis est, quòd hę obligationes non solùm per nosipsos nobis adquiruntur: sed etiam per eas personas, quæ in potestate nostra sunt: veluti per seruos nostros, aut suos aut liberos quos in potestate habemus. Sed ea quidem, quę per seruos nostros nobis adquiruntur, tota nostra fiunt. Quæ verò per liberos nostros quos in potestate habemus, ex obligatione adquiruntur, ea diuiduntur ad exemplum similitudinémque dominij rerū & vsusfru-

ΕΙρήκαμεν περὶ τῶν ἐνοχῶν, τῶν ἀπὸ κοντράκτου, ἢ κουάσι κοντράκτου φυομένων. νῦν ὀφείλομεν εἰπεῖν, ὅτι περ αὗται αἱ ἐνοχαὶ, προσγίνονται ἡμῖν, οὐ μόνον διὰ ἡμῶν αὐτῶν, ἀλλὰ καὶ δι' ἐκείνων τῶν προσώπων, ἅ τινα ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ ἐστίν. οἷον διὰ τῶν ἡμετέρων οἰκετῶν, ἢ σουῶν, ἢ ὑπεξουσίων. ἀλλὰ τὰ μὲν διὰ τῶν ἡμετέρων οἰκετῶν ἡμῖν προσποριζόμεθα, πάντα ἡμέτερα γίνονται. τὰ δὲ διὰ τῶν οἰκείων παίδων ὑπεξουσίων διὰ τῆς ἐνοχῆς προσποριζόμεθα, ταῦτα διαιρεῖται κατὰ μίμησιν τῆς τῶν πραγμάτων δεσποτείας τε καὶ χρήσεως,

τὴν διάταξιν τοῦ ἡμετέρου βασιλέως διέκρινε. ἵνα ὅπερ ἐκ τῆς ἀγωγῆς κέρδος περιγένηται, τούτου ἡ μὲν χρῆσις εἴη παρὰ τῷ πατρὶ, ἡ δὲ δεσποτεία φυλάττηται τῷ παιδί. τοῦ πατρὸς δηλαδὴ κινοῦντος τὴν ἀγωγὴν, κατὰ τὴν τῆς νεαρᾶς αὐτοῦ καὶ θείας διατάξεως διαίρεσιν.

§. Item per liberos.

¶ Καὶ ἐλεύθερα δὲ πρόσωπα, καὶ ἀλλότριοι οἰκέται, οὓς βοναφίδει νεμόμεθα, προσπορίζουσιν ἡμῖν ἐνοχάς. ἀλλ' ἐκ δύο μόνον αἰτιῶν. τουτέστιν ἐάν τι ἔχωσιν ἐξ ὀπέρις σούϊς, ἢ ἐξ ῥὲ νόστρα. ἀλλὰ καὶ διὰ ἐκείνου τοῦ οἰκέτου, ἐφ' ᾧ οὐσούφρουκτον, ἢ οὖσον ἔχομεν, ὁμοίως ἐκ δύο τῶν αὐτῶν αἰτιῶν γίνεται ἡμῖν προσπορισμός. ἀλλ' ἔξωθεν δεῖ σε εἰδέναι, ὅτι τὰ ἐξ ὀπέρις τοῦ οἰκέτου, ἐφ' ᾧ τὸ οὖσον ἔχομεν, οὐ προσπορίζεταί μοι, εἰ μὴ ἄρα αὐτὸς ὁ οἰκέτης ἔτυχεν ἑαυτὸν μισθώσας.

§. Communem.

¶ Ὁ ἐπίκοινος οἰκέτης, pro dominica parte, τουτέστι κατὰ

ctus: quam Imperatoris nostri constitutio decreuit: vt quod ex actione, lucri commodique prouenerit, eius vsumfructum quidem habeat pater, proprietas autem filio seruetur: patrem scilicet actionem mouente, secundùm recentioris eius & sacræ constitutionis diuisionem. ¶ Sed & liberæ personæ & alieni serui, quos bona fide possidemus, obligationes nobis adquirunt, sed duabus tantùm ex causis: id est, si quid habeant ex operis suis, aut ex re nostra. Per eum quoque seruum in quo vsumfructum vel vsum habemus, similiter ex duabus iisdem causis nobis adquiritur. Hoc tamen velut extrinsecus sciendum est, quòd ea quæ ex operis serui, in quo vsum habemus, procedunt, mihi non adquiruntur, nisi ipse se seruus forsitan locauerit. ¶ Seruus communis pro dominica parte, id est, pro qua parte

parte vnusquisque dominorum dominus eius est, dominis adquirit. Hoc tamé pro certo excepto, quòd si vni soli dominorum nominatim stipulatus sit, veluti TITIO DOMINO MEO DABIS? illi soli adquirat. Quemadmodum etiam si nomine Titij solius aliquid per traditionem acceperit. Sed & si cū iussu vnius ex dominis seruus stipularetur, nomen eius in stipulando omiserit: magna quidem de ea re erat inter veteres dubitatio. Sed tamen edita est Imperatoris nostri sanctiss. decisio, qua cautum est, vt illi tantum adquirat, qui hoc ei facere iussit, quod & suprà relatum est: propterea quòd iussus tantundem præstet, quantum nominis mentio.

ὅσον μέρος ὑπὸ ἑνὸς ἑκάστου τῶν δεσποτῶν δεσπόζεται, προσπορίζει τοῖς δεσπόταις. ἐκείνου δήλου ὄντος, ὡς εἰ ἑνὶ τῶν δεσποτῶν ὀνομαστὶ μόνῳ ἐπερωτήσῃ, οἷον ΔΩΣΕΙΣ ΤΙΤΊΩι ΤΩι ἘΜΩι ΔΕΣΠΌΤΗι; αὐτῷ μόνῳ προσπορίζει. ὥσπερ εἰ καὶ ἐπ' ὀνόματος αὐτοῦ μόνου τινὸς ἔλαβέ τι, κατὰ τραδιτίωνα. εἰ δὲ καὶ κελεύσῃ ἑνὸς τῶν δεσποτῶν ἐπερωτήσῃ ὁ οἰκέτης, ὀνόματος μὴ μνησθεὶς ἐν τῇ ἐπερωτήσει, πολλὴ μὲν ἐκινεῖτο παρὰ τοῖς παλαιοῖς ἀμφιβολία περὶ τούτου. ὅμως δὲ δεκεσίων γέγονε τοῦ θειοτάτου ἡμῶν βασιλέως, ἡ λέγουσα, ἐκείνῳ μόνῳ προσπορίζεσθαι τῷ κελεύσαντι. ὥσπερ καὶ ἄνω εἴρηται. διὰ τὸ ἰσοδυναμεῖν τῇ μνήμῃ τοῦ ὀνόματος τὴν κέλευσιν.

---

## QVIBVS MODIS OBLIGATIO tollitur. Titul. XXVIIII.

Postquam dictū est, quomodo obligationes cō

Εἰπόντες τὰς συστάσεις τῶν ἐνοχῶν, εἴπωμεν αὐτῶν

καὶ τὰς λύσεις. τὸ γὰρ τρόπῳ τινὶ συνιστάμενον, τούτῳ καὶ τρόπῳ τινὶ διαλύεται. ἀναιρεῖται κατὰ πρώτην τάξιν πᾶσα ἐνοχὴ τῇ σολουτίονι, τουτέστι τῇ καταβολῇ. ἡνίκα αὐτὸ τὸ ἐποφειλόμενον καταβληθῇ. οἷον νομισμάτων ἐποφειλομένων, εἰ νομίσματα καταβληθῇ. εἰ δὲ ἀντὶ νομισμάτων σῖτος, ἢ καὶ ἕτερόν τι, ἢ καὶ τὸ ἐναντίον καταβληθῇ, συναινέσει δὲ τοῦ κρεδίτορος τοῦτο γέγονε, καὶ οὕτως ἀπαλλάττεται τοῦ χρέους ὁ δεβίτωρ. οὐ διαφερόμεθα δὲ τίς ἐστιν ὁ καταβαλὼν, πότερον αὐτὸς ὁ ἐποφείλων, ἢ ἕτερος ὑπὲρ αὐτοῦ. ἐλευθεροῦται γὰρ ὁ δεβίτωρ, καὶ ἑτέρου καταβάλλοντος, εἴτε εἰδότος, εἴτε ἀγνοοῦντος, ἢ καὶ ἄκοντος γέγονεν ἡ καταβολή. τοῦ δὲ ρέου καταβαλόντος, καὶ οἱ γεγονότες ὑπὲρ αὐτοῦ ἔνοχοι ἐλευθεροῦνται τουτέστιν ἐγγυηταὶ, καὶ μανδάτωρες. εἰ δὲ ἐγγυητὴς καταβάλῃ, ἐλευθεροῖ τὸν πρωτότυπον, ἀπαλλάττεται δὲ καὶ ἑαυτὸν τῆς ἐνο-

trahantur: dicamus etiam quomodo soluantur. Quod enim aliquo modo contractum est, hoc & aliquo modo soluitur. Omnis igitur in primis obligatio tollitur solutione: cùm scilicet id ipsum quod debetur, exoluitur. Veluti, si cùm aurei deberẽtur, aureos quis soluerit. Quòd si pro aureis, frumentum aliúdve quid, aut etiam contrà, solutum fuerit, & id factum sit consentiente creditore, etiam hunc in modum à debito liberatur debitor. nec referre putamus, vtrùm is ipse qui debet soluerit, an alius quispiam pro eo. Nam & alio soluente liberatur debitor: siue sciente, siue ignorante, siue etiam inuito eo fiat solutio. Cùm autem reus soluerit, etiam hi qui pro eo interuenerunt liberantur, hoc est, fideiussores & mandatores. Sed & fideiussor soluẽdo, vna & principalem liberat: & se exoluit obligatio

ne. ¶Præterea & acceptilatio tollit obligationem. Est autem acceptilatio, (vt eã definiamus) imaginaria solutio solemnibus quibusdam verbis constãs. Quod enim ex verborum obligatione mihi debetur, id si velim tibi remittere: sic remitti potest, vt ego te debitorem patiar hæc verba dicere, QVOD EGO PROMISI TIBI, HABE'SNE ACCEPTVM? Et ego respõdeam, HABEO. Sed & Græcè acceptilatio fieri potest, dum ita fiat, vt Latinè fieri consueuit, ΕΧΕΙΣ ΛΑΒΩΝ ΔΗΝΑΡΙΑ ΤΟΣΑ? ΕΧΩ ΛΑΒΩΝ id est, tot denarios acceptos habes? Habeo acceptos. Verũ Acceptilatio, vt dictum est, solam verborum obligationẽ dissoluit: non etiam ceteras, quæ re videlicet, aut litteris, vel consensu contrahũtur. Nam id consequens esse visum est,

χῆς. ¶Καὶ ἀκκεπτιλατιῶν δὲ διαλύει τὴν ἐνοχήν. ἀκκεπτιλατιῶν δέ ἐστιν ὡς ἂν ὅρῳ, εἰκονικὴ καταβολή, ῥήμασι τυπικοῖς γινομένη. τὸ γὰρ ἐκ τῆς βέρβις ἐνοχῆς ἐποφειλόμενόν μοι, τοῦτο εἰ βουληθῶ σοι συγχωρῆσαι, δύναται οὕτως γίνεσθαι συγχώρησις, ἐὰν ἀνάσχωμαι τοῦ σοῦ δεβίτωρος σοῦ ταῦτα λέγοντος τὰ ῥήματα, QVOD EGO TIBI PROMISI, HABE'SNE ACCEPTVM? κἀγὼ δὲ ἀποκρίνωμαι, HABEO. τουτέστιν ὅπερ ἐγώ σοι ὡμολόγησα ἔχεις ληφθέν; καὶ ἀποκρίνεται ὁ κρεδίτωρ, ἔχω. ἀλλὰ καὶ ἑλληνιστὶ δύναται γίνεσθαι ἀκκεπτιλατιῶν. μόνον εἰ οὕτως γίνεται ὥσπερ εἴωθε γίνεσθαι ῥωμαϊστί. ΕΧΕΙΣ ΛΑΒΩΝ ΔΗΝΑΡΙΑ ΤΟΣΑ; ΕΧΩ ΛΑΒΩΝ. ἡ δὲ ἀκκεπτιλατιῶν καθὰ εἴρηται, μόνην διαλύει τὴν βέρβις ἐνοχήν· οὐ μὴν τὰς λοιπάς· οἷον τὴν ῥὲ ἢ λίτερις, ἢ κονσένσου. ἀκόλουθον γὰρ ἐνομίσθη εἶ-

§. Item pe acceptilatio nem.

ναι, τὴν ῥήμασι συνισταμένην ἐνοχὴν, ἑτέροις δύναται ῥήμασι συγκαταλύεσθαι. εἰ δὲ ἑτέρωθεν ἐστί μοι τὶς ἔνοχος, οἷον ἀπὸ τοῦ ῥε, λίτερις, ἢ κονσένσο, ἢ ἀπὸ τοῦ negotioruū gestorū, ἢ ex testamēto, βούλομαι δέ σοι τοῦτο συγχωρῆσαι τὸ χρέος, δύναμαί σε ἐπερωτᾶν οὕτως, ΟΜΟΛΟΓΕΙΣ ΔΙΔΟΝΑΙ ΜΟΙ ΟΠΕΡ ΕΠΟΦΕΙΛΕΙΣ ΕΚ ΤΗΣ ΔΕ ΤΗΣ ΑΓΩΓΗΣ; καὶ σοῦ εἰπόντος ΟΜΟΛΟΓΩ, ἡ μὲν προτέρα ἀνῄρηται ἀγωγή. τίκτεται δὲ ἡ βέρβις, ἢ λοιπὸν συστάσης τῆς βέρβις, ἀκολούθως ἡ ἀκκεπτιλατιὼν ἐπιγίνεται. καὶ ἐν ἐκείνῳ μέν ἐστι διαφορὰ σολουτζίονος, καὶ ἀκκεπτιλατζίονος, ὅτι ἡ μὲν σολουτιὼν, πᾶσαν διαλύει ἐνοχήν· ἡ δὲ ἀκκεπτιλατιὼν τὴν βέρβις. ἐν ἐκείνῳ δέ ἐστιν ἐν αὐταῖς κοινωνία, ὅτι ὥσπερ μέρος χρέους καταβληθὲν, ἐν μέρει διαλύει τὴν ἀγωγὴν, οὕτω καὶ εἰς μέρος δύναται γί-

vt obligatio, quæ verbis contracta esset, aliis quoque verbis dissolui posset. Quòd si quis alia ex causa obligatus sit, veluti re, litteris, consensu, aut negotiorum gestorū vel ex testamento: atq; id debitum remittere tibi velim: in hūc modum à te stipulari possum, QVOD EX ILLA ACTIONE MIHI DEBES, ID DARE MIHI SPONDES? Et te dicente SPONDEO, tollitur prior actio, & nascitur verborū obligatio. Constitutáque deinde verborum obligatione, cōuenienter & acceptilatio accedit. Et in illo quidē est inter solutionem & acceptilationem differentia, quòd solutio omnem obligationē dissoluat, acceptilatio verò, solam verborum. Sed in hoc conueniunt, quòd quēadmodum pars eius quod debetur soluta, & ex parte actionem dissoluit: ita & in partem debitis

biti, acceptilatio fieri possit. Quoniam autẽ diximus, eum qui ex alia causa deberet, stipulatione interueniente, debito in verborum obligationem conuerso, per acceptilationem liberari posse: necesse est de acceptilatione & Aquiliana stipulatione dicere.

Quæ stipulatio omnem amplissimè obligationem in sese transferre, & per acceptilationem tollere potest. Stipulatio enim Aquiliana omnes obligationes nouat, & ita a Gallo Aquilio Iurisconsulto composita est, QVIDQVID TE mihi ex quacunque causa dare facere oportet, oportebat, purè vel in diem: quarumque rerum nomine, mihi tecũ actio vel in rem vel in personam est, erit: & quidquid tu meum habes, tenes, aut possides, (est autem differentia inter tenere & possidere: eáque talis. Tenere enim est, naturaliter detinere: Possidere verò, est animo domini detinere) aut

νέσθαι ἡ ἀκκεπτιλατιών. ἐπειδὴ δὲ εἰρήκαμεν τὴν ἑτέρωθεν ἐποφείλουσαν, ἐπερωτηθεῖσαν, καὶ γενομένην ἔνοχον τῇ βέρβις, δύνασθαι τότε διὰ τῆς ἀκκεπτιλατζίωνος ἐλευθεροῦσθαι· ἀναγκαῖον εἰπεῖν περὶ τῆς ἀκκεπτιλατζίωνος, καὶ τῆς ἀκυιλιανῆς ἐπερωτήσεως. ἥ τις ἐπερώτησις πλέον πᾶσαν ἐνοχὴν, εἰς ἑαυτὴν δύναται κατέχειν, καὶ διὰ τῆς ἀκκεπτιλατζίωνος ἀναιρεῖν. ἡ γὰρ ἀκυιλιανὴ ἐπερώτησις, πᾶσαν ἐνοβάτευσεν ἐνοχήν. ὑπὸ δὲ γάλλου ἀκυιλίου τοῦ νομικοῦ, οὕτω σύγκειται. ΕἼ ΤΙ ΜΟΙ ἐξ οἵας δήποτε αἰτίας δοῦναι, ἢ τί ποιῆσαί σε χρὴ, ἢ ἐχρῆν· ἢ πούρως, ἢ ἰν δίεμ. καὶ ὧν πραγμάτων χάριν ἐμοὶ κατὰ σοῦ ἀγωγὴ ἢ ἰν ῥέμ, ἢ περσοναλία ἐστὶν, ἢ ἔσται. καὶ ὅπερ ἂν σὺ ἐμὸν ἔχεις ἢ κρατεῖς, ἢ νέμῃ. διαφορὰ γὰρ τοῦ κρατεῖν καὶ τοῦ νέμεσθαι αὕτη. ὅτι κρατεῖν ἐστὶ φυσικῶς κατέχειν, νέμεσθαι δὲ τὸ ψυχῇ δεσπόζοντος κατέχειν.

ἢ

ἢ ἐνεμήθης, ἢ δόλον ἐποίησας ὅπως μὴ νεμηθῇς. τυχὸν γὰρ κληρονομίαν εἰσελθοῦσαν εἰς ἐμὲ, ὑπὸ τὴν ἑαυτοῦ ἐποιήσω κατοχήν. εἶτα τινὰ τῶν πραγμάτων ἐνεμήθης. καταχθήσῃ γὰρ, καὶ ἐφ' οἷς κατὰ δόλον οὐκ ἐνεμήθης. ὅσον αὖ ἐστὶν ἐν ἕκαστον τούτων τῶν πραγμάτων, τοσαῦτα χρήματα δίδοσθαι. ἐπηρώτησε μὲν αὖλος ἀγέριος. ὡμολόγησε δὲ νουμέριος νιγίδιος. εἶτα μετὰ τὸ γενέσθαι τὴν τοιαύτην ἐπερώτησιν, καὶ πάντα ἐνενεχθῆναι εἰς τὴν βέρβις, τότε ὁ νουμέριος νιγίδιος, διὰ τῆς ἀκυϊλιανῆς ἐκ τοῦ ἐναντίου ἐπηρώτησε αὖλον ἀγέριον. ὅτι εἴπε σοι κατὰ τὴν σήμερον ἡμέραν, ἐγὼ ὁ νουμέριος νιγίδιος, διὰ τῆς ἀκυϊλιανῆς ἐπερωτήσεως ὡμολόγησα, τοῦτο ὅλον ἔχεις λαβών. ἀπεκρίνατο αὖλος ἀγέριος, ἔχω λαβὼν, ἢ καὶ ληφθὲν ἀπενεγκάμην. καὶ ἰδοὺ διὰ μὲν τῶν προτέρων ῥημάτων, συνέστη ἡ βέρβις, ἡ διὰ τῆς ἀκυϊλιανῆς. πᾶσαν αἰτίαν προϋπάρχουσαν

possedisti, aut dolo fecisti ne possideas, (Nam forte cùm hereditatem mihi delatam inuasisses, aliquas tãtùm res possedisti: quoniã & de his teneberis, quas dolo nõ possederis) Quanticumque earum rerum quæque res est, tantam pecuniã dari stipulatus est Au. Agerius, spopondit Num. Nigidius. Et posteaquàm stipulatio talis intercessisset, & omnia in verborum obligatione collata essent: tũc è diuerso per acceptilationẽ Num. Nigidius Au. Agerium interrogabat, Quidquid ego tibi Num. Nigidius per Aquilianam stipulationẽ hodierno die spopondi, id ne omne habes acceptũ? Respondit Au. Agerius, Habeo acceptũ acceptúmq; tulí. Et ecce per priora verba contracta est verborũ obligatio, quæ per Aquilianam stipulationem, omnes priores causas noua

χουσαν

uit. Et per secunda verba nata est acceptilatio, quæ Aquilianam stipulationẽ dissoluit. Hæc igitur est ea, quæ vulgò Aquiliana stipulatio vocatur. ¶ Ad hæc & nouatio actiones tollere consueuit: Nam si id quod tu mihi debes, ego à Titio stipuler, interuentu nouæ personæ noua nascitur obligatio, & prior in posteriorem translata tollitur. Et adeò hæc vera sunt, vt quamuis contingat stipulationem inutilem esse, tollatur tamen prior obligatio & secunda promissorem iure non obliget. veluti, Debebat mihi Titius, id ego à pupillo sine tutoris authoritate stipulatus sum. Perit mihi in hac casus specie debitum. Nam & Titius per nouationem liberatur, & pupillus cum tutore auctore nõ promittat, non obligatur. Non idem iuris est,

χοῦσαι ἐνοβατεύουσιν. διὰ δὲ τῶν δευτέρων ἐτέχθη ἀκκεπτιλατιῶν, τὴν ἀκυϊλιανὴν ἐπερώτησιν διαλύουσα. αὕτη τοίνυν ἐστὶν ἡ παρὰ τῷ πλήθει λεγομένη ἀκυϊλιανὴ διάλυσις. ¶ Καὶ νοβατιῶν εἴωθεν ἀναιρεῖν τὰς ἀγωγάς. θ. Præterea. ἐὰν γὰρ τὸ παρὰ σοῦ ἐποφειλόμενον, ἐπερωτήσω ἐγὼ Τίτιον, παρεντεθέντος καινοῦ προσώπου, καινὴ τίκτεται ἐνοχὴ, καὶ ἀναιρεῖται ἡ προτέρα, εἰς τὴν δευτέραν μετατεθεῖσα. καὶ ἐπὶ τοσοῦτο ταῦτα οὕτως ἔχει, ὅτι εἰ καὶ συμβῇ τὴν ἐπερώτησιν ἄχρηστον εἶναι, ἀναιρεῖται μὲν ἡ προτέρα. ἡ δὲ δευτέρα ὑπεύθυνον οὐ ποιεῖ κατὰ τὸν νόμον τὸν ἐπερωτηθέντα. οἷον ἐχρεώστει μοι Τίτιος, ἐπερώτησα πούπιλλον σίνε τουτώρις αὐκτοριτάτε. ἐν τούτῳ τῷ θέματι ἀπόλλυταί μοι τὸ χρέος. καὶ γὰρ ὁ Τίτιος ὑπὸ νοβατζίωνος ἐλευθεροῦται. καὶ ὁ πούπιλλος οὐ γίνεταί μοι ἔνοχος, οἷα δίχα ἐπιτρόπου ἐπερωτηθείς. οὐκ ἔτι τὸ αὐτό ἐστιν,

ἐὰν

ἐὰν οἰκέτην τις ἐπερωτήσῃ τὸ ἑτέρου χρέος. καὶ γὰρ τηνικαῦτα ἡ προτέρα ἐνοχὴ μένει ἀσάλευτος ἐπὶ σχήματος, ὡσανεὶ μηδὲ μιᾶς μετὰ ταῦτα γινομένης ἐπερωτήσεως. καὶ μή τις λεγέτω, ὅτι ὁ οἰκέτης φυσικῶς ἐπερωτηθεὶς, ἔνοχος γίνεται. ἀμέλει, καὶ οἱ δοθέντες ὑπ' αὐτοῦ ἐγγυηταὶ, καὶ φύσει καὶ νόμῳ ἐνέχονται. ἡ δὲ φυσικὴ ἐνοχὴ νοβατζίωνα ποιεῖν δύναται. ἀλλὰ δεῖ πρὸς τοῦτο λέγειν, ὅτι ποιεῖ νοβατζίωνα, οὐ μόνον τὸ τίκτεσθαι φυσικὴν ἐνοχὴν, ἀλλὰ καὶ τὸ ὑπεῖναι πρόσωπον. ἀπρόσωπος δὲ παρὰ τοῖς νόμοις ὁ δοῦλος. καὶ ταῦτα μὲν ἡνίκα εἰς ἕτερον πρόσωπον ποιούμεθα τὴν νοβατζίωνα, τουτέστιν ἡνίκα πρίμου προχρεωστοῦντός μοι, ἦλθε σεκοῦνδος ὑπὲρ αὐτοῦ ἐπερωτώμενος. εἰ δέ γε τὸν ἐποφείλοντά μοι ἐπερωτήσω, ζητοῦμεν εἰ γίνεται νοβατιών. καὶ ἵνα εἴπω σοι ἔξωθεν τελειότερον, εἰ μὲν ἐνο-

si quis id quod alter debet, à seruo fuerit stipulatus. Tunc enim prior obligatio in suo habitu manet inconcussa, perinde atque si nulla stipulatio postea interuenisset. Neque dixerit quisquam, seruum promittendo naturaliter obligari: itaque & fideiussores ab eo datos naturaliter & ciuiliter teneri: porrò naturalem obligationem vim & ius nouandi habere. Nam ad ea dicendum est, non id nouationi sufficere, quòd vel naturalis obligatio nascatur, sed etiam persona vt aliqua sit, requiri. At seruus in iure ciuili personam non habet. Et hæc quidem cùm in alteram personam facimus nouationem. Hoc est, cùm Primo antè mihi debēte, venit Secundus, qui pro eo promittat. Cùm verò ab eo, qui mihi debet, stipulor, quæritur an nouatio cō tingat: & (vt ego tibi rem omnem foris quibusdam adsumptis perfectè tradā),

&

si quidem ex obligatione, quae re contrahitur, aut litteris, aut consensu, mihi debebas, aut aliqua actione quae ex qua si contractu descendit, tenebaris: dubium non est quin nouatio contingat. Sin autem & antea verbis obligatus eras, & nunc idem a te stipulor: tunc demum fit nouatio, cùm noui aliquid in posteriore stipulatione adiicitur, quod in priore non erat, quoniam fortè aut conditio, aut dies, aut fideiussor adiicitur vel detrahitur: aut quantitas adiicitur. nam si detrahatur, vt si cùm prior stipulatio esset decem aureorum, in secunda quinque sint, nulla contingit nouatio: quoniam in decem aureis, & quinque sunt, nec quicquam noui secunda habet stipulatio.

Quod autem dictum est, adiecta conditione nouationem fieri, id ita intelligendum est, vt tunc fieri dicamus nouationem, si conditio extiterit: si enim defecerit, manet prior obligatio, quoniam

χος ὑπεῖρχές μοι, ἀπὸ τοῦ ῥέ, ἢ λίτεραις, ἢ κονσένσου, ἢ ἀπὸ τῶν ἀγωγῶν, τῶν ἀπὸ κουάσι κοντράκτου ἀναφυομένων, ἀμφιμάχως ἐγίνετο νοβατιών. εἰ δὲ πάλαι ἔνοχος ἦσθα τῇ βέρβις καὶ νῦν ἐπερωτῶ, τότε γίνεται νοβατιὼν, ἡνίκα τι καινότερον παρὰ τὴν προτέραν ἐπερώτησιν ἐμφέρεται τῇ δευτέρᾳ ἐπερωτήσει. τυχὸν γὰρ αἵρεσις, ἢ ἡμέρα, ἢ ἐγγυητὴς προστίθεται, ἢ ὑφαιρεῖται, ἢ καὶ ποσότης προστίθεται. εἰ γὰρ ὑφηρέθη, ἐπειδὴ ἡ προτέρα ἐπερώτησις ἦν δέκα νομισμάτων, ἡ δὲ δευτέρα πέντε, οὐ γίνεται νοβατιὼν, ἐπειδὴ τοῖς δέκα, τὰ πέντε περιέχεται. καὶ οὐδὲν ἔχει καινότερον ἡ δευτέρα. τὸ δὲ εἰρημένον περὶ τῆς προσθήκης τῆς αἱρέσεως, ὅτι ποιεῖ νοβατζίωνα, οὕτω χρὴ νοεῖν, ὡς τηνικαῦτα τότε γίνεσθαι νοβατζίωνα, ἐν ᾧ ἐξῆλθεν ἡ αἵρεσις. εἰ γὰρ ἠτόνησε, μένει ἡ προτέρα ἐνοχή. ἄτοπον γάρ ἐστι λέγειν τὴν ἰν-

χυροτέραν ἐνοχὴν, λέγω δὴ τὴν προτέραν, ὑπὸ τῆς σαθρᾶς ἀναιρεῖσθαι. σαθρὰν δὲ καλοῦμεν τὴν αἱρετικὴν, ἕως οὗ τὰ τῆς αἱρέσεως ἤρτηται. ἀλλ᾽ ἐπειδὴ παρὰ τοῖς παλαιοῖς ὡμολόγητο, τότε γίνεσθαι νοβατζίονα, ἡνίκα nouandi animo, τουτέστι ἀνανεοῦντος ψυχῇ, εἰς τὴν δευτέραν παρεγίνοντο ἐπερώτησιν· τοῦτο δὲ ἦν ἐν ἀμφιβολίᾳ, πότε νοβάνδι ἀνίμω, ἐπὶ τούτων ὁρῶσιν οἱ συναλλάττοντες, καί τινές τε προλήψεις ἕτεραι ὑπὸ ἑτέρων ἐν τούτοις εἰσήγοντο τοῖς θέμασι. διὰ τοῦτο πᾶσαν ἀμφιβολίαν ἀναιροῦσα γέγονε διάταξις τοῦ ἡμετέρου βασιλέως, ἥτις φανερῶς ὥρισε, τότε μόνον γίνεσθαι νοβατζίονα, ἡνίκα τοῦτο αὐτὸ μεταξὺ τῶν συναλλαττόντων συνεφωνήθη, ὅτι διὰ νοβατζίονα τῆς προτέρας ἐνοχῆς ἐπὶ τὴν παροῦσαν ἦλθον ἐπερώτησιν. τούτου δὲ μὴ γινομένου, καὶ ἡ προτέρα μένει ἐνοχὴ ἐπὶ σχήματος, καὶ ἡ δευτέρα

quoniam absurdum est, dicere, validiorẽ obligationem (eam scilicet dico quæ pura est) à debiliore tolli, debilem autẽ vocamus eam, quæ cõditionalis est, quã diu ea pendent quę in conditione sunt. Sed cùm hoc quidẽ inter veteres constaret, tunc fieri nouationem, cùm nouandi animo ad secundam stipulationem aliqui venissent: Illud autem in controuersia esset, quãdo nouandi animo ad eam venirent cõtrahentes: & quasdã de hoc præsumptiones, alij aliis in casibus introducerent. Ideo edita est Imperatoris nostri constitutio: quæ apertè definit, tunc demum nouationem fieri, cùm idipsum inter contrahẽtes expressum fuerit: quòd propter prioris obligationis nouationẽ, ad hanc venerũt stipulationẽ. Hoc autem non facto, & pristina obligatio in suo habitu manet, & secunda ei acce-

προστίθεται

dit. Ac deinceps reus ex vtraq; causa mihi obligabitur: secundùm illius sacræ constitutionis definitionem: quam ex ipsius lectione apertiùs perfectiúsque licet cognoscere.

¶Præter hæc, quæ dicta sunt, & obligationes quæ ex consensu nascuntur, cōtraria volūtate dissoluuntur. Nam si ego cum Titio egerim de re aliqua vēdenda, ita vt ille de me fundum illum centum aureis emeret: ac deinde re nondum sequuta, id est, neque pretio soluto, neque fundo tradito, placuerit inter ambas partes, vt ab emptione & venditione discederetur: inuicem liberamur, ita vt neque venditor ex vendito cum emptore, neq; emptor ex empto cum vēditore agere possit. Et hoc scilicet est illud quod dicitur, re nondum sequuta, id est, re nondum impleta rece-

προστεθῇ, καὶ ὁ ῥεὸς λοιπὸν ἐξ ἑκατέρας αἰτίας ἔνοχος ἔσται μοι, καθὰ διώρισται τῇ αὐτῇ θείᾳ διατάξει. ταῦτα δὲ ἔξεστι τελειότερον τὴν εἰρημένην ἀναγνόντα διάταξιν μαθεῖν.

¶Πρὸς τοῖς εἰρημένοις, τὰ ἀπὸ τοῦ κονσένσου ἐγειρόμενα συναλλάγματα, τῇ ἐναντίᾳ διαλύεται βουλήσει. εἰ γὰρ ἐγὼ πρὸς Τίτιον διελέχθην περὶ πράσεως πραγμάτων, ὥστε αὐτὸν ἀγοράσαι παρ᾽ ἐμοῦ τόνδε τὸν ἀγρὸν ἑκατὸν νομισμάτων· εἶτα re nondum sequuta, τουτέστι μήτε τιμήματος καταβληθέντος, μήτε τοῦ ἀγροῦ τραδιτευθέντος, ἀρέσῃ μεταξὺ τῶν δύο μερῶν ὥστε ἀναχωρῆσαι ἀπὸ τῆς ἀγορασίας καὶ τῆς πράσεως, ἀμοιβαδὸν ἐλευθεροῦμαι. ὡς μήτε τὸν πράτην τὴν ἐξ βενδίτο κατὰ τοῦ ἀγοραστοῦ, μήτε τὸν ἀγοραστὴν τὴν ἐξ ἔμπτο ἔχειν κατὰ τοῦ πράτου. καὶ τοῦτό ἐστι τὸ λεγόμενον, re nondum sequuta, τουτέστι πράγματος μὴ πληρωθέντος ὑπαναχω-

§. Hoc amplius.

ναχωρεῖν. τὸ αὐτὸ φαμὲν, καὶ ἐπὶ τῆς λοκάτι, καὶ πάντων τῶν συναλλαγμάτων ἅτινα ὑπὸ τὴν κονσένσου ἐνοχὴν ἀνάγεται.

dere. Eadem dicimus & in locatione, omnibúsque cõtractibus, qui ad obligationẽ quæ con sensu contrahitur, referuntur.

# INSTITVTIONVM LIBER QVARTVS.

*

## DE OBLIGATIONIBVS QVAE EX delicto nascuntur. Titul. I.

ΕΝ ΤΩι προλαβόντι βιβλίῳ διεξήλθομεν περὶ τῶν ἐνοχῶν τε καὶ ἀγωγῶν, αἵτινες ἀπὸ κοντράκτου τίκτονται. ἀκόλουθόν ἐστιν εἰπεῖν καὶ περὶ τῶν ἀπὸ ἁμαρτήματος ἐγειρομένων ἐνοχῶν. καὶ γὰρ ἀρχόμενοι τοῦ περὶ ἐνοχῶν λόγου, εἰρήκαμεν ἢ ἀπὸ συναλλαγμάτων, ἢ ἀπὸ ἁμαρτημάτων ταύτας ἐγείρεσθαι. ἀλλ' αἱ μὲν ἀπὸ κοντράκτου φυό-

SVPERIORE libro differuimus de obligationibus & actionibus, quæ ex cõtractu nascuntur: consequens est, vt & de obligationibus quæ ex delicto nascuntur dicamus. Etenim cùm sermonẽ de obligationibus institueremus, diximus eas aut ex contractibus, aut ex delictis nasci. Sed hæ quidem, quę ex contractu

tractu nascuntur, in quattuor genera diuisæ sunt: quoniam aut re, aut verbis, aut litteris, aut consensu cõtrahuntur. Hæ verò ad vnum genus rediguntur. Quemadmodum enim illic contractus principatum obtinet, & quattuor obligationes parit: ita & hic delictũ principatum obtinet, & vna ex eo obligatio tanquam ex re nascitur. Sed inde quattuor deducũtur maleficia, vt furtum, rapina, damnum, iniuria. ¶ Est autem furtum, contrectatio rei alienæ fraudulẽta, lædens eum, cui furtum factum est, aut in re ipsa, aut in vsu eius, aut in possessione. In re ipsa, vt si seruum tuum subtraxerim. In vsu eius, veluti, si id quod mihi vtẽdum datum est in vnum diem, diutiùs teneã. In possessione, vt si id quod mihi in causam pignoris aut ex causa depositi possidendum datũ est, tanquam dominus possideam. Porrò delictum hoc furti, non solùm ciuilis,

μέναι ἐνοχαὶ, εἰς τέσσαρα διῄρηνται γένη. ῥὲ, βέρβις, λίττερις, κωνσένσω. αὗται δὲ εἰς ἓν περιΐστανται γένος. ὥσπερ γὰρ ἐκεῖ, ἀρχὴ μὲν τὸ κοντράκτον, τίκτει δὲ τέσσαρας ἐνοχὰς, οὕτω κἀνταῦθα, ἀρχὴ μὲν τὸ δελίκτον, ἡ δὲ ῥὲ ἐξ αὐτοῦ φύεται ἐνοχή. τέσσαρα δὲ ἐντεῦθεν κατάγεται ἁμαρτήματα, οἷον κλοπὴ, ἁρπαγὴ, ζημία, ὕβρις. ¶ Κλοπὴ δέ ἐστιν ἀλλοτρίου πράγματος κακίστη ψηλάφησις, ἀδικοῦσα τὸν τὴν κλοπὴν ὑποστάντα, ἢ περὶ αὐτὸ τὸ πρᾶγμα, ἢ περὶ τὴν χρῆσιν αὐτοῦ, ἢ περὶ νομήν. περὶ αὐτὸ μὲν τὸ πρᾶγμα, οἷον ἐὰν ὑφέλωμαι τὸν σὸν οἰκέτην. περὶ χρῆσιν, οἷον ἐὰν τὸ δοθέν μοι ἐπὶ τῷ χρήσασθαι πρὸς μίαν ἡμέραν, πλειοτέρῳ κρατήσω χρόνῳ. περὶ νομὴν δὲ, ὅτε τὸ δοθὲν ἐπὶ τῷ νεμέσθαι ὡς ἐνέχυρον, ἢ ὡς δεπόσιτον, νέμομαι ὡς δεσπότης. τοῦτο δὲ τὸ τῆς κλοπῆς ἁμάρτημα, οὐ μόνον ὁ πο

θ. Furtum.

λῃστικὸς, ἀλλ' οὐδὲ ὁ φυσικὸς περιέχεται λόγος. λέγεται δὲ αὕτη ἡ κλοπὴ furtum, à furuo, id est nigro. τουτέστιν ἀπὸ τοῦ μέλανος. ἐπειδὴ λάθρα καὶ ἀμαυρῶς, καὶ ὡς ἐπὶ τὸ πλεῖστον ἐν νυκτὶ γίνεται. ἢ à fraude, ἐκ τῆς ἀπάτης. πᾶς γὰρ κλέπτης, καὶ ἀπατεών. vel à ferendo, id est auferendo. τουτέστι ἀπὸ τοῦ ἀφαιρεῖν, ἤγουν τοῦ σφετερίζεσθαι, καὶ ἀποστερεῖν. ἢ ἀπὸ ἑλληνικῆς φωνῆς, ἐκ τοῦ φώρ. φῶρας γὰρ οἱ ἕλληνες τοὺς κλέπτας ὀνομάζουσιν, ἀπὸ τοῦ φέρειν. φέρειν δὲ λέγομεν τὸ λαμβάνειν τὰ ἀλλότρια.

¶. Furtorũ. ¶Δύο δὲ τῶν κλοπῶν εἶναι γένη πρόδηλόν ἐστιν. ἡ γὰρ κλοπὴ ἢ φανερά ἐστιν, ἢ οὐ φανερά. τὸ γὰρ conceptum, καὶ τὸ oblatum, εἴδη μᾶλλόν εἰσιν ἀγωγῶν ἀπὸ κλοπῆς ἐγειρομένων, ἤτοι τῇ κλοπῇ συνισταμένων, ἤπερ γένη κλοπῆς, ὡς προϊόντες μαθησόμεθα. φανερὸς κλέπτης ἐστὶν, ὃν ἐπαυτοφόρῳ λαμβάνεσθαι λέγει.

lis, sed etiam naturalis ratio auersatur. Dictum est autẽ furtum, à furuo, id est, à nigro, quòd clàm & obscure, ac plærumque noctu fiat. Vel à fraude. Nam fur omnis, & fraudator est. Vel a ferendo, id est, ab auferendo, quod interuertere & priuare significat. Vel à Græca voce ἀπὸ τοῦ φώρ. Nam Græci φῶρας appellant fures ἀπὸ τοῦ φέρειν, id est, à ferendo. Quoniã & Græcè dicimus φέρειν, res alienas auferre. ¶ Furtorum autem duo esse genera apertum est: quoniam furtũ aut manifestum est, aut nõ manifestum. Conceptũ enim & oblatum species potiùs sunt actionum, quæ ex furto nascũtur, siue quæ furto cohærent, quàm genera furtorum, sicut infrà docebimur. Manifestus fur est, quem Græci ἐπαυτοφώρῳ deprehendĩ.

dicunt: nec solùm is, qui in ipso furto depræhenditur, sed etiam is, qui in eo loco depræhẽditur, quò furtum fit: veluti quidam in domo furtum fecerat, & nondum ianuam egressus deprehensus est. Quòd si quis in oliueto oliuarum, aut in vineto vuarum furtũ fecerit, quamdiu in oliueto aut vineto deprehẽsus fuerit, manifestus fur est. Aliqui & vlterius manifestũ furtum extendunt, dicentes manifestũ furẽ existimari, quãdiu rem, quam furatus est fur tenens, vel visus vel deprehensus fuerit: siue in publico, siue in priuato loco: siue à domino, siue ab alio quouis: antequã eò peruenerit quò perferre rem, & vbi deponere constituerat. Finge enim (vt rem clarius, apertiúsque intellegas) aliquem antequã furaretur, amicis suis secretò dixisse, se rem illam,

λέγουσιν οἱ Ἕλληνες. οὐ μόνον οὗτος, ὃς ἐν αὐτῷ τῷ πράγματι καταλαμβάνεται, ἀλλ' ἔτι μὴν καὶ οὗτος ὃς ἐν τούτῳ τῷ τόπῳ συνέχεται, ἐν ᾧ γίνεται ἡ κλοπή. οἷον ἐν οἴκῳ τὶς κλοπὴν εἰργάσατο, μήπω δὲ τοῦ πυλῶνος ἐκβὰς κατεσχέθη. εἰ δὲ καὶ ἐν ἐλαιῶνι τὶς ἐλαιῶν ἢ ἀμπελῶνι σταφυλῶν κλοπὴν ποιήσῃ, ἐφ' ὅσον ἐν τῷ ἐλαιῶνι ἢ ἐν τῷ ἀμπελῶνι κατέχεται, φανερὸς κλέπτης ἐστίν. ἕτεροι δὲ περαιτέρω τὴν φανερὰν ἐκτείνουσι κλοπὴν, λέγοντες μέχρι τοσούτου φανερόν τινα κλέπτην νομίζεσθαι, ἕως ὅτου τὸ κλαπὲν πρᾶγμα κατέχων, ἢ ὀφθῇ, ἢ συσχεθῇ, ἐν δημοσίῳ ἢ ἰδιωτικῷ τόπῳ, εἴτε ὑπὸ τοῦ δεσπότου, εἴτε ὑπὸ ἄλλου τινὸς, μέχρις οὗ ἐκεῖσε παραγένηται ἔνθα ἐνεγκεῖν καὶ ἀποθέσθαι ὥρισε τοῦτο τὸ πρᾶγμα. ὑπόθου γὰρ ἵνα διαποδεικτὸν τοῦτο γίνηταί σοι, ὅτι πρὶν κλέψει τὶς τισὶ τῶν οἰκείων ἐξεῤῥησε φίλων, ὅτι κλέψας τόδε

τὸ πρᾶγμα, βούλομαι ἀποθέσθαι ἐν τῷ οἴκῳ λόγου χάριν Πρίμου. ἐὰν μετὰ τὸ ὑφελέσθαι εὑρεθῇ τοῦτο κατέχων, ἢ ὀφθῇ ἐν οἱῳδήποτε τόπῳ πρὶν ἀπαγάγῃ εἰς τὸν οἶκον Πρίμου, καὶ ἀποθῆται, φανερὸς κλέπτης ἐστίν. εἰ δὲ μετὰ τὸ ἀπαγαγεῖν καὶ ἀποθέσθαι εἰς τὸν οἶκον Πρίμου, συλληφθῇ τοῦτο μὴ κατέχων, οὐκ ἂν κριθείη φανερὸς κλέπτης. ἔστιν ἐκ τῶν εἰρημένων εὑρεῖν τίς ὁ μὴ φανερὸς κλέπτης ἐστί. νοεῖν γὰρ ἔξεστιν ὡς ὅπερ οὐκ ἔστι manifestum, ἀναγκαίως τοῦτο nec manifestum ἐστί.

θ. Conceptum.

¶ Conceptum furtum λέγεται ἡνίκα παρά τινι μαρτύρων παρόντων τὸ κλαπέν μου πρᾶγμα ζητηθὲν εὑρεθῇ. κατὰ τούτου γὰρ παρ' ᾧ εὑρεθῇ, ἰδιάζουσα ἀγωγὴ ὥρισται ἡ concepti. οὐ διαφερομένων ἡμῶν εἴτε κλέπτης ἐστὶν οὗτος παρ' ᾧ εὑρέθη, εἴτε οὐκ ἔστι κλέπτης. ἔλαβε δὲ παρ' ἐμοῦ. Oblatum furtū

quam furto auferre in animo habebat, velle in ædibus Primi (verbi gratia) deponere. Si post cōmissum furtū, eam rē habere visus fuerit aut deprehensus, quocumque in loco id fiat, antequam in ædes Primi perferat, ibique deponat, manifestus fur est. Quòd si postquam in ædes Primi eam pertulisset, ibique deposuisset, deprehensus fuerit eam non habēs: manifestus fur nō iudicaretur. Ex his, quæ nunc dicta sunt, facilè colligas, quis nec manifestus fur sit. Quod enim manifestum furtum non est, id sine dubio intellegere potes, nec manifestum esse. ¶ Conceptū furtum est, cùm apud aliquē testibus præsentibus furtiua res quæsita & inuenta est. Nam aduersus eum, apud quē inuēta fuerit, propria actio constituta est, quæ concepti dicitur. Neq; referre putamus, fur sit is apud quem inuenta est, an fur non sit, sed à me acceperit.

Oblatum

Oblatũ furtum vocatur, cùm res furtiua ab aliquo ad me allata, aut mihi data: & deinde apud me præsentibus testibus quęsita & inuenta est. Sed tunc demum, cùm eo animo mihi rem furtiuam aliquis dederit, vt potius apud me quàm apud ipsũ dãtem inueniretur, & vt condemnationis turpitudo penes me potius esset, quã penes ipsum. Hic enim & ego actione concepti teneor, & aduersus eum, qui dederit, actionẽ habeo oblati: etiam si maximè is, qui id fecerit, fur non sit. Quapropter si ea mẽte mihi rem furtiuã non dederit, tenebor quidem actione concepti, sed aduersus eum actionem oblati non habebo. Est & prohibiti furti actio, aduersus eũ constituta, qui rem furtiuam præsentibus testibus quærere volentem prohibet. Præter has inducit Prætor & actionem furti non exhibiti,

λέγεται, ὁπότε κλοπιμαῖον πρᾶγμα, ὑπό τινός μοι προσενεχθῇ, ἤτοι δοθῇ, καὶ τοῦτο παρ' ἐμοὶ ζητηθὲν μαρτύρων παρόντων εὑρεθῇ. ἀλλὰ τότε ἡνίκα τοιαύτῃ διανοίᾳ δέδωκέ τις ἐμοὶ τοῦτο τὸ κλοπιμαῖον πρᾶγμα, ὥς τε παρ' ἐμοὶ μᾶλλον, ἢ παρ' ἐκείνῳ τῷ δόντι εὑρεθῆναι τοῦτο, καὶ τὴν ἐντεῦθεν κατάγνωσιν ἤτοι ἀσχημοσύνην ἐμοὶ μᾶλλον περιτεθῆναι, ἤπερ ἐκείνῳ. ἐν τούτῳ γὰρ ἐγὼ μὲν κατέχομαι τῇ concepti. καὶ δὲ τοῦ δόντος ἔχω τὴν oblati, εἰ καὶ τὰ μάλιστα κλέπτης οὐκ ἔστιν ὁ τοῦτο ποιήσας. οὐκοῦν εἰ μὴ ἐπὶ τοιούτῳ σκόπῳ δέδωκέ μοι τὸ πρᾶγμα, κατασχεθήσομαι τῇ concepti. οὐκ ἕξω δὲ κατ' αὐτοῦ τὴν oblati. ἔστι δὲ καὶ prohibiti furti ἀγωγή, ὁρμοζομένη κατ' ἐκείνου τοῦ κωλύσαντος τοῦ μαρτύρων παρόντων τὸν βουληθέντα ζητῆσαι τὸ κλοπιμαῖον πρᾶγμα. ἐφεῦρε πρὸς τούτοις ὁ πραίτωρ τὴν furti nõ exhibiti,

ἁρμόζουσαι κατ' ἐκείνου ὅστις τὸ ζητηθὲν καὶ εὑρεθὲν παρ' αὐτῷ κλοπιμαῖον πρᾶγμα, οὐ συνεχώρησεν ὑπὸ τοῦ εὑρόντος ληφθῆναι. ταύτας δὲ τὰς ἀγωγάς, οἷον τὴν concepti, oblati, prohibiti, furti non exhibiti, οὐ δυνατὸν εἰπεῖν γένη εἶναι κλοπῶν, ἀλλ' εἴδη, μετὰ τὸ συστῆναι τὴν κλοπὴν ἐπιγινόμενα. ἀμέλει κατὰ τοῦ μὴ κλέψαντος ἁρμόζουσιν αἱ τοιαῦται ἀγωγαί. οὕτως οὐ δυνατὸν ταύτας περιττοτέρους κλοπὰς ὁρίσασθαι. ἃς δὲ εἰρήκαμεν ἀγωγὰς εἴδεσι κλοπῶν ἐφαρμόζεσθαι, ταύτας οὐ δυνατὸν σήμερον ἰδεῖν ἐν πολιτείᾳ καὶ ἐν χρήσει. ὁπότε γὰρ ἡ τοῦ κλαπέντος πράγματος ζήτησις κατὰ τὴν παλαιὰν οὐ πρόεισι παραφυλακήν, τουτέστι μαρτύρων παρόντων, δικαίως ἐξ ἀκολουθίας καὶ αἱ προειρημέναι τῆς κοινῆς ἐξελήλανται χρήσεως ἀγωγαί. τοῦτο γὰρ τῶν ὁμολογουμένων ἐστί, ὅτι πᾶς εἰδὼς κλοπιμαῖον εἶναι πρᾶγμα, ὑποδεξάμενος

qui furtiuam rem apud se quæsitam & inuentam passus nō est ab eo, qui illam inuenisset auferri. Has igitur actiones concepti, oblati, prohibiti, & non exhibiti, genera furtorū esse dicere non possumus: sed species, quę furto iam commisso accidunt. Itaque & aduersus eū, qui furtum non admisit, hæ actiones comprtunt. Vnde nec illud fieri potest, vt ea principalia furta esse definiātur. Sed has actiones, quas incertis furtorum formis cōpetere diximus, hodie in vsu ciuili & agendis rebus non sanè videas. Cùm enim requisitio rei furtiuæ hodie secūdùm veterem obseruationem non fiat, hoc est præsentibus testibus, meritò per consequentiam, & prædictę actiones ex cōmuni vsu recesserunt. Quoniam illud in confessum venit, quicunq; sciēs rem furtivam susce

pit & celauit, hunc furti nec manifesti teneri. Pœna autem furti manifesti, in quadruplũ exercetur: nec manifesti, in duplum: siue liber sit, siue seruus qui furtum admisit.

¶ Furtiuum autem est, non solùm quod noctu aut interdiu clàm aufertur, sed quidquid alienum mobile malo animo inuito domino contrectatur. Quapropter siue creditor pignore, siue is, apud quem res deposita est, ea re vtatur, siue is, qui rem vtendam accepit, ad aliũ vsum eam trãsferat quàm ad quẽ accepit, furtum in his committit. Veluti si quis argentum vtendum à me acceperit quasi amicos côuiuio excepturus: & id peregrè secum tulerit: quamuis spoliare me eo nõ voluerit, tamẽ furti tenetur: quoniam vltrà quàm accepit, vsus est. Sed & si

ξάμενός τε καὶ κρύπτων τοῦτο, τῇ nec manifesti furti κατέχεται. ἡ δὲ ποινὴ τοῦ μὲν manifesti furti, εἰς τὸ τετραπλοῦν ἀνάγεται. τοῦ δὲ nec manifesti, εἰς τὸ διπλοῦν, εἴτε ἐλεύθερος εἴτε δοῦλος εἴη ὁ κεκλοφώς. ¶ Φούρτιβον δέ ἐστιν οὐ μόνον τὸ νύκτωρ, ἢ μεθ' ἡμέραν λαμβανόμενον λάθρα, ἀλλὰ πᾶν πρᾶγμα κινητὸν ἀλλότριον παρὰ γνώμην δεσπότου κακῇ διαθέσει ψηλαφώμενον. διὸ εἴτε ὁ κρεδίτωρ τὸ ἐνέχυρον, εἴτε οὗτος παρ' ᾧ κατετέθη τὸ πρᾶγμα, τῷ ἐνεχυριασθέντι ἢ παρατεθέντι πράγματι κέχρηται, εἴτε ὁ εἰς χρῆσιν λαβὼν ἀλλότριον πρᾶγμα εἰς ἑτέραν χρῆσιν μεταθέσει τοῦτο, ἢ ὥσπερ εἰς ἣν ἔλαβε, κλοπὴν ἐπὶ τούτῳ ἁμαρτάνει. οἷον δὲ ἀργυρὸν ἐχρήσατό τις παρ' ἐμοῦ, ὡς δῆθεν φίλους ἑστιάσων, καὶ τοῦτον μεθ' ἑαυτοῦ ἐπήγαγεν ἐπὶ ξένης, οὐ βουλόμενος ἀποστερῆσαι τοῦτον, οὐδὲν ἧττον κατέχεται τῇ furti ἀγωγῇ. ἐπειδὴ περαιτέρω, ἢ ὥσπερ ἔλαβεν, ἐχρήσατο.

θ. Furtum autem fit

εἰ δὲ καί τις ἵππον διὰ ὥρας χάριν αὐτῷ χρησθέντα, ἐπὶ τῷ τοῦτον ἀπαγαγεῖν μέχρι φανεροῦ διαστήματος, ἀπήγαγε περαιτέρω, κλοπὴν ἁμαρτάνει· ὅπερ ἔγραψαν οἱ παλαιοὶ περὶ ἐκείνου, ὅς τις εἰς παράταξιν τὸν ἵππον τὸν χρησθέντα αὐτῷ ἀπήγαγε.

§. Placuit. ¶ Ἀρέσκει δὲ τοῦτο καθόλου, πάντας ὅσοι τοῖς χρησθεῖσι πράγμασιν ἑτέρως ἢ παρ' ἔλαβον κέχρηνται, κλοπὴν ἁμαρτάνειν, καὶ τῇ furti κατέχεσθαι. εἴγε ὑποπτεύουσιν ἄκοντος τοῦ δεσπότου τοῦτο γίνεσθαι παρ' αὐτῶν, καὶ μαθόντα τὸν δεσπότην οὐκ ἐπιτρέψειν τοῦτο. εἰ γὰρ ἀρέσκεσθαι καὶ μὴ ἀγανακτεῖν ἐπὶ τῷ γενομένῳ τὸν δεσπότην ἐνόμιζον, ἐκτὸς εἶναι τούτου τοῦ τῆς κλοπῆς ἁμαρτήματος ὁριζόμεθα, ἀρίστῳ δὴ λαθὴ λογισμῷ, quia furtũ sine affectu furandi non cõmittitur. ἄνευ γὰρ πονηρᾶς διαθέσεως, οὐχ

§. Sed & si credat. ἁμαρτάνεται κλοπή. ¶ Εἰ δὲ καὶ ἄκοντος τοῦ δεσπότου ταῦτα ποιεῖν ἑαυτοὺς ὑπόπτευον,

μαθὼν

quis equum sibi vtẽdum datum gestandi causa ob auræ temporisq; gratiam ad certum spatium, lõgiùs aliquò duxerit: furtum committit: quod veteres in eo scripserunt, qui equum sibi vtendum datum in aciem abduxerat. ¶ Illud tamen in vniuersum placet: omnes eos, qui rebus sibi commodatis aliter quàm vtendas acceperunt, vtuntur, furtum cõmittere, & furti teneri: si se intellegant id inuito domino facere, eùmque si resciscat, non permissurum. Quòd si contẽtum esse dominũ, nec irasci eam ob rem putabant, extra furti crimen eos esse definimus: optima sanè ratione, quia furtum sine malo animo & adfectu furandi non cõmittitur. ¶ Sed & si inuito domino id se facere credebant, &

dominus cùm rescisset, malè id non accepit: neque hic causa furti locũ habebit. Sic igitur vt actio furti competat, duo necesse est cõcurrant: vt & ego scilicet re inuito domino vtar, non ignarus id ei minimè gratum futurum: & is, cùm rem intellexerit, in malam partem accipiat. Quorum si alterum desideretur, actio furti nasci nõ posit. itaq; ex hoc tale quiddã quęsitum est. Et hęc habeto in modum præuiæ cuiusdã inspectionis. Si quis seruum meum corruperit, & mores eius in deterius mutarit: actionem aduersus eum habeo, quæ dicitur Serui corrupti. Et ad duplum eius ea competit, quanto minoris pretij seruus factus est. Aut cùm is periit, ad duplum æstimationis. His ita pro præuia inspectione cognitis: vide nunc rem, de qua agimus. Titius cum seruo meo agebat corrumpens eum, & vt fugeret monebat:

μαθὼν δὲ ὁ δεσπότης οὐκ ἠγανάκτησε τῷ γεγονότι, οὐδὲ οὕτω χώρα γενήσεται τῷ τῆς κλοπῆς λόγῳ. ὥστε οὖν ἵνα furti ἁρμόσῃ, δεῖ τὰ δύο συνδραμεῖν, κἀμὲ παρὰ γνώμην δεσπότου κεχρῆσθαι, εἰδότα ὡς ἀγανακτήσει ἐπὶ τῷ πραττομένῳ ὁ τοῦ πράγματος κύριος, κἀκεῖνον ὀργισθῆναι μαθόντα. ἓν δὲ τούτων ἐλλεῖψαν οὐκ ἐᾷ τεχθῆναι τὴν furti. ἀμέλει ἐντεῦθεν τοιοῦτόν τι ἐζητήθη. ἔχε δὲ ταῦτα ὡς ἐν προθεωρίᾳ. ἐάν τις τὸν ἐμὸν ὑπονοθεύσῃ δοῦλον, καὶ χείρονας αὐτοῦ τοὺς τρόπους ἀποτελέσῃ, κατέχεταί μοι ἀγωγῇ τῇ λεγομένῃ serui corrupti, ἥτις εἰς τὸ διπλάσιον τοῦ ἐπὶ τῇ ἐλαττώσει τοῦ οἰκέτου διατιμήσεως ἁρμόζει. ἢ ἡνίκα ἀπώλετο ἐπὶ τῷ διπλῷ τοῦ τιμήματος. ἐπειδή σοι ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. Τίτιος διελέχθη τῷ ἐμῷ οἰκέτῃ, τοῦτον ὑπονοθεύων καὶ φυγεῖν ὑποτιθέ-

πειθόμενος αὐτῷ, προσελθεὶς ἅμα καὶ τούτου ὥστε αὐτὸν ὑφελέσθαι τι τῶν ἐμῶν πραγμάτων. ὁ οἰκέτης γνώριμόν μοι τοῦτο κατέστησεν. οὐ πεισθεὶς ἐγὼ τούτῳ τῷ οἰκέτῃ, βουλόμενος δὲ τὸν Τίτιον ἐν αὐτῷ καταλαβεῖν τῷ ἁμαρτήματι, ἐπέτρεπον ταῦτα πράττειν τῷ οἰκέτῃ. ὁ δὲ λαβών τι τῶν παρ᾽ ἐμοὶ ὄντων σκευῶν, ἀπῄει πρὸς Τίτιον. εἱπόμην ἐγὼ λάθρα, γνῶναι βουλόμενος εἰ ἀληθῆ τὰ παρὰ τοῦ οἰκέτου μοι λεχθέντα. γενόμενος ὁ οἰκέτης κατὰ τὸν συντεθέντα τόπον παρὰ αὐτοῦ καὶ Τιτίου, δέδωκε Τιτίῳ τὸ σκεῦος. εὗρον διὰ τῶν γινομένων τὸν οἰκέτην μὴ ψευδόμενον. ζήτησίς ἐστι ποία μοι κατὰ Τιτίου δίδοται προφάσει τῶν γινομένων ἀγωγή. καὶ τέως οὐ δυνατὸν εἰπεῖν ἁρμόζειν τὴν furti. εἰ γὰρ τὰ μάλιστα γὰρ κακῇ διαθέσει λαβὼν ἐψηλάφα τὸ σκεῦος ὁ Τίτιος, ἀλλ᾽ οὐ παρὰ γνώμην δεσπότου συνέβαινε τοῦτο. ἀλλ᾽ ἡ serui corrupti.

simul & ille adiret, vt rerum mearũ aliquid surriperet. Seruus id non me clam habuit. Ego cùm omnino ei fidem non haberem, sed Titium in ipso delicto vellem deprehendere, permisi seruo, vt ea omnia faceret. At is sublata re quadam ex supellectili mea, ad Titium abibat: clàm ego sequebar, sciendi cupidus an vera essent, quæ is mihi dixisset. Cúmque is ad locum inter se & Titium constitutum venisset, Titio dedit rem illam surreptam. Atque ita ex his, quæ acta sunt, inueni seruum non mentiri. In quæstionem cadit, quæ mihi actio propter rem gestam competat. Et quidem in primis, vix fieri potest, vt quis actionẽ furti competere dicat. Vt enim maximè Titius rem illã mala mente & adfectu furandi contrectarit, id tamen inuito domino non contigit. An ergo Serui corrupti actio locum

locum habet? Sed tamen ne hæc quidẽ dari posse videtur, quoniam mores serui non sunt corrupti, quin immò cũ antea ignoraretur, quam fidelis esset domino suo, id nũc demũ apparuit. Futurum est igitur, vt vna in re multis delictis commissis Titius, nulla tamen actione teneatur. Quidam tamen apud veteres furti actionem competere dicebãt. Sed quoniam multę ea de re inter veteres erant altercationes: cùm alij actionem omnem negarent, alij solùm actionem furti darẽt: relata res est ad Principem nostrum, & edita ab eo est constitutio, quæ huiusmodi calliditatibus obuians, ita vlciscitur Titium, vt non solùm actione furti, sed etiam serui corrupti eum teneri iusserit. Nam quãuis mores eius serui in deterius mutati nõ sint, & ideo cessent regulæ quæ de actione Serui corrupti traduntur: tamẽ cum malum consilium ad perniciem probitatis serui tendate

ἀλλ' οὐδὲ ταύτην ἐγχωρεῖ παρέχεσθαι. ὁ γὰρ οἰκέτης οὐ χείρων τοὺς τρόπους, μᾶλλον δὲ καὶ πάλαι διαλανθάνων εὔνοιαν τῷ δεσπότῃ, νῦν γέγονε φανερός. καὶ συμβαίνει κατὰ τὸν τοιοῦτον πολλὰ Τίτιον πταίσαντα, μηδὲ μιᾶς κατέχεσθαι ἀγωγῇ. τινὲς δὲ τῶν νομικῶν ἐδίδασκον ἐντεῦθεν τὴν furti. ἀλλ' ἐπειδὴ ζητήσεις ὑπῆρχον τῶν νομικῶν, τῶν μὲν πάσαν ἀρνουμένων ἀγωγήν, τῶν δὲ παρεχόντων τὴν furti, ἐπὶ τὸν ἡμέτερον τοῦτο ἀνηνέχθη βασιλέα, καὶ γέγονε παρ' αὐτοῦ διάταξις, ἥτις ἕνεκα τῆς τοιαύτης κακουργίας τιμωρουμένη τὸν Τίτιον, οὐ μόνον τῇ furti, ἀλλὰ καὶ τῇ serui corrupti ἔνοχον αὐτὸν εἶναι ἐκέλευσε. εἰ καὶ τὰ μάλιστα γὰρ οἱ τοῦ δούλου τρόποι χείρονες οὐ γεγόνασι, καὶ διὰ τοῦτο ἤργησαν οἱ τῆς serui corrupti κανόνες, ἀλλ' ὅμως ἐπειδὴ τοῦ ὑπονοθεύοντος ἡ κακίστη βουλὴ πρὸς ἀπώλειαν χρηστῶν τρόπων τοῦ

οἰκέτου χωρεῖ, ἐθέσπισεν ἐπὶ τιμωρίᾳ τοῦ Τιτίου δίδοσθαι τὴν servi corrupti, ὥσπερ εἰ τῇ ἀληθείᾳ τὸν οἰκέτην διέφθειρεν, ἵνα μὴ ἀτιμώρητος ἐπὶ τούτῳ μείνας ὁ Τίτιος, ἐφ᾽ ἕτερον οἰκέτην ὁρμήσῃ, ὃν δυνατὸν ἴσως τῶν χρηστῶν ἀπαγαγεῖν τρόπων.

§. Interdum etiam.

¶ Ἔσθ᾽ ὅτε καὶ ἐπὶ ἐλευθέροις προσώποις ἁμαρτάνεται κλοπή. οἷον ἐάν τις τοὺς ὑπεξουσίους παῖδας ὑφέληται λάθρα, υἱὸν ἢ θυγατέρα, ἢ ἔγγονον ἢ ἐγγόνην. κινῶ δὲ τὴν furti εἰς τὸ διαφέρον. καὶ ποῖον διαφέρον ἐστὶν ἐνταῦθα, εἰπεῖν ἀναγκαῖον. ὑπόθου ὅτι τελευτῶν τις ἐνεστήσατο κληρονόμον τὸν ἐμὸν υἱὸν ὑπὸ αἵρεσιν τήν, ἐὰν εὑρεθῇ διάγων ἐν ταύτῃ τῇ πόλει. ἔκλεψας δὲ τοῦτον καὶ εἰς ἑτέραν ἀπήγαγες πόλιν, κατὰ τὸν καιρὸν τῆς τελευτῆς τοῦ τεστάτωρος. συνέβη αὐτὸν ἐν αὐτῇ μὴ εὑρεθῆναι τῇ πόλει. ἠτόνησεν ἡ αἵρεσις, καὶ τῆς κληρονομίας ἐξέπεσε. κινῶν ἐγὼ κατὰ σοῦ τὴν furti, λήψομαι

dat, constituit in pœnam Titij, vt actio serui corrupti daretur, perinde atque si re ipsa seruus corruptus fuisset: ne ex huiusmodi impunitate Titius & alium quempiam aggrediatur, quem facilè sit à bona fruge ad malos mores impellere. ¶ Interdum & in liberis personis furtum committitur: veluti si quis liberos, quos in potestate habemus, clàm subripiat, filium filiámve aut nepotẽ vel neptem. Furti autem agitur in id quod interest: & q͂d hîc intersit nostra, dicendum est. Finge filium meum ab aliquo sub hac conditione heredẽ scriptum esse, si in hac ciuitate viuere inuẽtus fuerit. Tu eum furto subripuisti, & in aliam abduxisti ciuitatem. Cùm testator moreretur, euenit, vt in ciuitate filius non inueniretur. Defecit cõditio, & filius hereditatẽ amisit. Ego furti tecum agã: & in quan

tum rationes mex lęsę sunt, cõsequar. Porrò in vsufructu, qui mihi erat adquirendus, lęsus sum: huius ęstimationem petam. ¶ Sępe & in re sua quis furtum committit: veluti, si debitor, rem quam creditori pignoris causa dederat, clanculum subtraxerit. Quoniam in eo creditorem lędit, quia commodo eum spoliet, quod in causa pignoris est. ¶ Interdum quoque & is furti tenetur, qui furtum non fecerit. Id autem in eo contingit cuius ope & consilio furtum factum est: quo in numero est is, qui cùm nummos aliquis in manu sua haberet, eos ipse excussit, vt alius raperet: vel ob tentu togę corporis ve obiectu aspectui tuo obstitit, vt alius rem tuam subriperet: vel oues tuas aut boues in fugam auertit, vt alius eos caperet. Ecce res tuas hic non attigit, & tamen furti tene-

ψομαι ὅσον ἐζημιώθην. ἐζημιώθην δὲ τὸν ὑσούφρουκτον τῆς κληρονομίας, ὃς ἔμελλέ μοι προσπορίζεσθαι· τούτου τὴν διατίμησιν ἀπαιτήσω. ¶ Πολλάκις δὲ ἐπὶ τῷ οἰκείῳ τις ἁμαρτάνει πράγματι κλοπήν. οἷον εἰ ὁ δεβίτωρ τὸ πρᾶγμα ὃ ἐνεχείρασε τῷ δανειστῇ ὑφείλετο λάθρα. ἀδικεῖ γὰρ τὸν δανειστήν, τῆς ἀπὸ τοῦ ἐνεχύρου ὑστερῶν ὠφελείας. ¶ Ἔσθ᾽ ὅτε τις καὶ μὴ κλέψας κατέχεται τῇ furti. τοῦτο δὲ συμβαίνει ἐπ᾽ ἐκείνου cuius ope & consilio furtum factum est. τουτέστιν οὗ σπουδῇ καὶ συμβουλῇ ἡμαρτήθη ἡ κλοπή. οἷον νούμμους τις ἐπεφέρετο ἐν τῇ οἰκείᾳ χειρὶ, τούτους ἐξετίναξεν ἕτερος, ὥστε ἄλλον ἁρπάσαι· ἢ ἐπεσκότισε τῇ σῇ θέᾳ, ὥστε ἄλλον τὸ σὸν ὑφελέσθαι πρᾶγμα· ἢ τὰ πρόβατα, ἢ τοὺς βόας τοὺς σοὺς ἐφυγάδευσεν, ὥστε ἄλλον τούτους λαβεῖν· ἰδοὺ ἐνταῦθα οὐχ ἥψατο τῶν πραγμάτων τῶν σῶν, ἀλλ᾽ ὅμως κατέχεται τῇ furti

6. Aliquando.

6. Interdum quoque.

furti ἀγωγῇ. μόνον μέντοι τοῦτο ἔξωθεν ἴσθι, εἰ ἕτερος ἐψηλάφησε τὰ ἀπολλύμενά σου πράγματα. δίχα γὰρ ψηλαφήσεως, οὐδέποτε κλοπὴ ἁμαρτάνεται. τοῦτο δὲ ἔγραφον οἱ παλαιοὶ ἐπ' ἐκείνου, ὅς τις ῥάκει ἐρυθρῷ διεσόβησε τὰ βουκόλια. εἰ δὲ τοῦτο κατὰ τρυφὴν καὶ οὐκ ἐπιτηδὲς ἵνα κλοπὴ ἁμαρτηθῇ γεγένηται, ἡ in factum ἀγωγὴ παρέχεται, κατὰ τοῦ ταῦτα πράξαντος· κατὰ δὲ τοῦ ὑφελομένου ἡ furti. ἡνίκα δὲ τῇ Μαιβίου σπουδῇ ὁ Τίτιος κλοπὴν εἰργάσατο, ἀμφότεροι κρατοῦνται. κἀκεῖνος δὲ σπουδῇ καὶ βουλῇ κλοπὴν πλημμελεῖται, ὃς κλίμακα θυρίσιν ἢ ἐπέθηκεν, ἢ αὐτὰς ἔκλασε τὰς θυρίδας, ἢ καὶ θύραν ἐπὶ τῷ ἕτερον κλέψαι. ἢ ὅς τις σίδηρα ἐπὶ τῷ κλάσαι κλεῖν ἢ θυρίδας, ἢ κλίμακας ἔχρησεν ὥστε ταῖς θυρίσιν ὑποτεθῆναι, ἐπιστάμενος ἐφ' οἷα πράξει τις ταῦτα κιχρᾶται. εἰ δέ τις οὐδεμίαν σπουδὴν πρὸς ποιη-

tur: dumtaxat (vt id obiter & ἔξωθεν, ac velut foris assumptū sciamus) si quis alius res tuas amissas contrectauerit. Quoniam sine contrectatione furtum numquam intellegitur committi. Et hoc veteres in eo scripsère, qui rubro panno turbatum armentū fugauerat. Quòd si quid eorum per lasciuiam & non data opera vt furtum admitteretur, factum fuerit: in factum dabitur actio aduersus eum, qui eorū quid fecerit: & furti, aduersus eum, qui abduxerit aut subripuerit. At vbi ope Mæuij Titius furtū fecit, vterque tenetur. Et illius quoq; ope & consilio furtum videtur admitti, qui aut scalas fenestris admouit, aut fenestras ipsas vel ostium effregit, vt alius furtum faceret: aut qui ferramēta ad seram vel fenestras effringendas, vel scalas vt fenestris admouerētur, cōmodauit, non ignarus in quem vsum eas commodaret. Sin,

autem quis nullam ad faciendum furtũ opem adhibuit, sed tantum consilio instruxit, & volentem furtum facere cohortatus est, furti non tenetur. ¶ Si aut seruus meus, aut filius quem in potestate habeo, rerum mearum aliquã furetur: furtum quidẽ admittitur, & res furtiua fit, neque ab vllo vsucapi potest, donec in potestatẽ domini reuertatur. Furti tamen aduersus eos, qui furtum fecẽre, actio non nascitur, quoniam neque alia vlla actio ex contractu vel ex delicto inter hos cõsistere potest. Quòd si ope & cõsilio alterius furtum ab his, qui iuri nostro subiecti sunt, factum fuerit: quoniam furtum vtiq; committitur, consequens est, vt ille furti teneatur, cuius ope id factum est: quamuis cum eo, qui rem subtraxit, propter potestatem quam in eo habemus, nulla furti sit actio. ¶ Hęc habeto in modum præuię cuiusdã in-

τέαν κλοπὴν ἐπεδείξατο, ἀλλὰ μόνον συνεβούλευσε, καὶ τὸν θέλοντα κλέψαι προετρέψατο, οὐ κατέχεται τῇ furti.

¶ Ἐὰν ὁ ἐμὸς οἰκέτης, ἢ ὁ ἐμὸς ὑπεξούσιος, κλέψῃ τι τῶν ἐμῶν, κλοπὴ μὲν ἁμαρτάνεται, καὶ φούρτιβουμ ἀποτελεῖται τὸ πρᾶγμα, καὶ ὑπ' οὐδενὸς οὐσουκαπιτευθῆναι δύναται, μέχρις οὗ εἰς τὴν τοῦ δεσπότου κατοχὴν ὑποστρέψει. ἡ μέντοι furti οὐ τίκτεται κατὰ τῶν κλεψάντων, ἐπειδὴ οὐδὲ ἑτέρα τις ἀγωγὴ ἀπὸ συναλλάγματος, ἢ ἀπὸ ἁμαρτήματος μεταξὺ τούτων συστῆναι δύναται. εἰ δὲ συμβουλῇ καὶ σπουδῇ ἑτέρου κλοπὴ παρὰ τῶν ἡμετέρων ὑπεξουσίων γένηται ἡμῖν, ἐπειδὴ κλοπὴ πλημμελεῖται, ἁρμοδίως ἐκεῖνος τῇ furti κατασχεθήσεται, οὗ σπουδῇ τοῦτο πέπρακται, εἰ καὶ ὁ ἀφελόμενος διὰ τὸν τῆς ὑπεξουσιότητος λόγον οὐχ ὑποβάλλεται ταύτῃ.

¶ Ἔχε ταῦτα ὡς ἐν προθεωρίᾳ. οἱ γεγονότες ἡμῖν ἔνοχοι

θ. Hi qui in parentum.

θ. Furti autem.

ἔκ τινος συναλλάγματος, ἐποφείλουσιν ἐπ' αὐτοῖς οἷς ἐνέχονται. ἔσθ' ὅτε δόλον μόνον, ἔσθ' ὅτε καὶ diligentiam, τουτέστι σπουδήν. ἢ γὰρ οὐκ ὀφείλουσι δόλον περὶ ταῦτα πλημμελεῖν, ἢ οὐ χρὴ ῥαθύμους εἶναι, περὶ τὴν τούτων φυλακήν. ἀλλ' εἰ μὲν μηδὲν κερδαίνουσιν, ἀπὸ δόλου μόνου κατέχονται. εἰ δέ τι πρόσεστιν αὐτοῖς κέρδος, τότε καὶ ἀπὸ ῥαθυμίας ὑπεύθυνοι γίνονται. κέρδος δὲ λέγω, οὐ μόνον τὴν τῶν χρημάτων λῆψιν, ἀλλὰ καὶ τὴν τοῦ σκοποῦ ἀποπλήρωσιν. ἐπειδὴ οὖν ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. ζήτησις γέγονε κλοπῆς γινομένης, ἄρα τίνι ἁρμόζει ἡ furti ἀγωγή. ἀλλ' ἴσως εἴπῃ τις ἄν, ὅτι τῷ δεσπότῃ δίδοται. ἀλλ' οὐκ ἔστι τοῦτο ἀληθές, ὁπότε καὶ δεσπότην ἔγνωμεν κατεχόμενον, ἡνίκα παρὰ τοῦ οἰκείου κρεδίτωρος τὸ ἐνέχυρον ὑφέληται. ἀλλὰ δίδοται ἐκείνῳ οὗ διαφέρει. διαφέρει

spectionis. Qui nobis ex aliquo contractu obligati sunt: praestare debent in rebus ad quas tenentur, aliàs solum dolum, aliàs etiam diligentiam. Quoniam aut nullum in his dolum committere debent: aut neglegentes esse in custodiendis nō oportet. Sed si quidem nihil inde ad ipsos commodi redit, de solo dolo tenentur: sin autē cōmodi aliquid habent, & ex neglegentia obligantur. Porrò commodum dico, non solum quod in pecuniaria praestatione consistit, sed etiam quod in explenda cuiusque intentione. His ita in modum praeuię inspectionis cognitis, videto nūc rem qua de agimus. Vetus est quaestio: cui furto commisso, actio detur? Et facile quispiam fortè dixerit, domino dari. Sed verum id non est: quando iam diximus, ipsum quoq; dominum furti teneri, qui pignus à creditore suo subtraxit. Verum ei datur

enim

cuius interest. Eius autem interest, qui furto admisso læditur. Is verò læditur, qui re salua, commodum eius habet, quamuis dominus non sit. Itaque nec domino competit, nisi eius quod interest ratio subsit. Quid autem id sit, paulò apertius dicere necesse est. Mutuum ego à Titio accepi, & rem meã ei in causam pignoris dedi: eam aliquis Titio subtraxit. Vtri dabitur furti actio? Et dicimus, creditori. Quam ob rem? Quoniam eius interest: ipse enim admisso furto læditur. Nam & re salua cõmodum ex ea habebat, vtpote cui per eam de debito consultum esset. Itaque & dolum & diligẽtiam debet: velut id pro fructu consequens, quòd incumbendo pignori, debiti sui causam (vt dictum est) indemnem seruat. Meritò igitur ipsi dabitur furti actio, & non mihi domino. Nam ego pigneratitia cũ

δὲ ἐκείνῳ, ὃν λυπεῖ γινομένη ἡ κλοπή. λυπεῖ δὲ ἐκεῖνον, ὃς κερδαίνει τοῦ πράγματος σωζομένου, εἰ καὶ μὴ δεσπότης ἐστίν. ἀμέλει οὔτε δεσπότῃ ἑτέρως ἁρμόσει, εἰ μὴ διαφέροντος ὑπέστη λόγος. τί δὲ τοῦτο ἐστίν, ἀναγκαῖον εἰπεῖν σαφέστερον. ἐδανεισάμην ἐγὼ παρὰ Τιτίου, ἐνεχυράσας τούτῳ πρᾶγμα ἐμόν. ὑφείλετό τις τοῦτο παρὰ Τιτίου, τίνι δοθήσεται ἡ furti ἀγωγή; καὶ λέγομεν ὅτι τῷ κρεδίτωρι. τίνος ἕνεκα; ὅτι αὐτῷ διαφέρει. λυπεῖ γὰρ αὐτὸν γινομένη ἡ κλοπή. ἐπειδὴ καὶ αὐτὸς ἐκέρδαινε σωζομένου τοῦ πράγματος, ἔχων τὴν ἐπὶ τῷ χρέει δι' αὐτοῦ ἀσφάλειαν. ἀμέλει διὰ τοῦτο ἐποφείλει καὶ δόλον καὶ diligentiam. οἷα καρπούμενος ὡς εἴρηται τὴν τοῦ χρέους ἀσφάλειαν, διὰ τῆς τοῦ ἐνεχύρου κατοχῆς. εἰκότως αὐτῷ δοθήσεται ἡ furti ἀγωγή, καὶ οὐκ ἐμοὶ τῷ δεσπότῃ. ἐγὼ γὰρ ἕξω κατ' αὐτοῦ

τοῦ τὴν pignoratitiam, οἷα ῥαθυμήσαντος περὶ τὴν τούτου παραφυλακήν. ἕξει δὲ τὴν furti αὐτὸς ὁ κρεδίτωρ, εἰ καὶ ἐγὼ ὁ δεβίτωρ εὐπορώτατος εἰμί. συμφέρει γὰρ αὐτῷ, μᾶλλον κρατεῖν τὸ ἐνέχυρον, καὶ περιποιεῖν ἑαυτῷ τὸ ἀσφαλὲς ἐντεῦθεν, ἢ περσοναλίαν κατ' ἐμοῦ κινεῖν. ἐπὶ τοσοῦτον δέ ἐστιν ἀληθὲς τὸ τὸν κρεδίτωρα ἔχειν τὴν furti, ὅτι εἰ καὶ τὰ μάλιστα ἐγὼ ὁ δεβίτωρ, ὑφέλωμαι τὸ ἐνέχυρον, οὐδὲν ἧττον τῷ κρεδίτωρι ὡς εἴρηται πολλάκις δοθήσεται ἡ furti. ¶Δέδωκα κναφεῖ κναπτέαν, ἢ πλύτῃ πλυτέαν ἐσθῆτα, ἢ ῥάπτῃ ῥαπτέαν, μισθοῦ ῥητοῦ ὁρισθέντος. κλοπῆς γενομένης ἀπώλετο ταύτας. ὁ κναφεὺς ἢ ὁ ῥάπτης μᾶλλον ἕξει τὴν furti, ἤπερ ὁ δεσπότης. τῷ γὰρ δεσπότῃ οὐ διαφέρει τοῦτο ἀπολέσθαι τὸ πρᾶγμα. ἔχει γὰρ ἐπὶ τῷ ἐσθήματι τὸ ἀσφαλές, δυνάμενος κατὰ τοῦ ῥάπτου, ἢ κναφέως κινεῖν τὴν locati, καὶ τὸ οἰκεῖον ἀπαιτεῖν

¶.Item si fullo.

eo agam, vt negligenter in re custodienda versato. Habebit autem creditor actionem furti, etiã si maximè idoneus & soluendo ego debitor sim. Quia expedit ei, vt pignori potius incumbat, & inde rem suam indemnẽ seruet: quàm vt actione in personam mecũ agat. Porrò adeo verum est creditorem furti actione agere, vt etiam si ego debitor pignus subtraxerim, nihilominus (vt sæpius iam dictũ est) creditori furti actio competat. ¶De di fulloni poliendã, aut lotori lauandã, vel sartori sarciendam vestẽ certa mercede constituta: furto admisso ea periit. Magis est, vt fullo aut sartor actionem furti habeat quàm dominus, quia domini non interest eam rem perire: Nã de indemnitate vestis illi prospectum est, cùm locati agere possit cum fullone aut sartore, & ita rem suam persequi.

πρᾶγ

Ideo autem sartor & fullo actionē furti habent, quoniam ipsorum interest furtum factū non esse. Lucrantur enim re salua mercedem cōstitutam. Sed & is, qui rem alienam bona fide emit, & eam furto amisit, omnino furti actionem habet, idque, cùm tamen dominus nō sit, quemadmodum & creditor. Fulloni autem & sartori nō aliter datur furti actio, quàm si soluendo sint: hoc est, nisi domino rei soluere æstimationem possint. Nam si æstimationem rei furto amissæ soluere non possint, tunc domino furti datur actio: cùm ab eis æstimationem rei amissæ non possit consequi. Hic enim ipsius interest, rem saluam esse: quippe qui æstimationē eius ex bonis fullonis aut sartoris, seruare sibi non possit. Et hæc dicimus, siue ex par

πρᾶγμα. ὁ δὲ ῥάπτης, ἢ ὁ κναφεὺς διὰ τοῦτο κινοῦσι τὴν furti, ἐπειδὴ διαφέρει αὐτοῖς τὸ μὴ γενέσθαι τὴν κλοπήν. κερδαίνουσι γὰρ σωζομένου τοῦ ἐσθήματος τὸν ὡρισμένον μισθόν. εἰ δέ τις bona fide πράγματος ἀλλοτρίου γενόμενος ἀγοραστὴς ὑπέστη τούτου κλοπήν, ἕξει τὴν furti παντὶ τρόπῳ. καὶ τοῦτο δεσπότης οὐκ ὤν, ὥσπερ καὶ ὁ κρεδίτωρ. τῷ δὲ κναφεῖ καὶ τῷ ῥάπτῃ οὐχ ἑτέρως δίδοται ἡ furti, εἰ μὴ εἴησαν εὔποροι. τουτέστιν εἰ μήπου τῷ δεσπότῃ τὴν τοῦ πράγματος διατίμησιν καταβάλλειν δύνανται. εἰ γὰρ δοῦναι τὸ τίμημα τοῦ κλαπέντος πράγματος οὐκ ἰσχύουσι, τότε τῷ δεσπότῃ δίδοται ἡ furti. ἅτε μὴ δυναμένῳ ἐξ αὐτῶν λαβεῖν τοῦ κλαπέντος τὴν διατίμησιν. τότε γὰρ αὐτῷ διαφέρει τὸ σώζεσθαι τὸ πρᾶγμα, οἷα τῆς διατιμήσεως τοῦ ἐσθήματος οὐ φυλαττομένης αὐτῷ, ἐκ τῆς τοῦ κναφέως ἢ ῥάπτου εὐπορίας. ταῦτα δὲ λέγομεν, εἴτε εἰς μέ-

ρος, εἴτε ὁλόκληρον εὔπορος ὁ κναφεὺς ἢ ὁ ῥάπτης ὑπάρχει. ¶ Τὰ ἐπὶ τοῦ κναφέως καὶ ῥάπτου εἰρημένα ἅπαντα, ταῦτα μετέφερον οἱ παλαιοὶ καὶ ἐπὶ τοῦ χρησαμένου. εἰ γάρ τινι ἔχρησα τὸ ἐμὸν βιβλίον, ἐκλάπη δὲ τοῦτο, ἐπειδὴ τὴν commodati εἶχον ἀγωγὴν κατὰ τοῦ χρησαμένου, δι᾽ ἧς ἐσώζετό μοι τὸ τίμημα τοῦ χρηθέντος, οὐκ ἐμοὶ τῷ δεσπότῃ, ἀλλὰ τῷ χρησαμένῳ ἡ furti παρείχετο. ἐπειδὴ αὐτὸν ἐλύπει ἡ συμβᾶσα κλοπή. ἐκέρδαινε γὰρ σωζομένου τοῦ πράγματος. τὸ δὲ κέρδος ἦν οὐκ ἐν λήψει χρημάτων, ἀλλ᾽ ἐν ἀποπληρώσει σκοποῦ. ἐπληροῦτο δὲ αὐτοῦ ὁ σκοπὸς διὰ τὸ τῆς χρήσεως ἀπολαύειν, καὶ τούτου χάριν diligentiam ἐχρεώστει ἐπὶ τῷ πράγματι. ὥσπερ καὶ ὁ κναφεὺς τῷ λαμβάνειν τὸν μισθόν. εἰ δὲ ἄπορος ἦν ὁ χρησάμενος, εἰς ὁλόκληρον ἢ ἐν μέρει, ὁ νόμος ἐπ᾽ ἐμὲ

b. Quæ de fullone.

te, siue in solidum soluĕdo non sit fullo aut sartor. ¶ Quæ autĕ in fullone aut sartore dicta sunt omnia, eadem veteres & ad eum cui res commodata est, transferebant. Nam si cui librum meum commodassem: & is furto amissus fuisset, quoniam actionem cōmodati aduersus eum, cui cōmodassem, habebā, per quam mihi pretium rei commodatæ conseruabatur: non mihi domino, sed commodatario dabatur furti actio, is enim lædebatur furto admisso, quoniam re salua commodum ex ea habebat. Cōmodum autem hoc, non in eo erat, quòd pecuniarum aliquid caperet, sed in eo quòd intentionem suam expleret. Intentionem verò suam explebat, quòd vsu eius frueretur. Atq; ideò, & dilegĕtiam rei debebat, quemadmodum & fullo, qui mercedem accipiebat. Quòd si soluendo non erat commodatarius, in solidum vel ex parte, ad me furti actio iu-

re

re trāsferebatur. Et hæc quidem apud veteres ita ad exemplū fullonis & sartoris, in eo quoque qui vtendum accepisset, tractabantur. Sed cùm quæstio hæc ad imperatorē nostrū relata esset, constitutio est ab eo edita, qua cautū est, vt commodatario furtum passo, in potestate domini rei furto ablatæ sit, cōmodati actionē aduersus eū, qui rem cōmodato accepit, mouere: aut furti cum eo agere, qui rem subripuit: vt tamen altera electa ad alteram actionē dominus ex penitentia venire non possit, sed si furem eligat, is qui rem vtendam accepit, liberetur. Quòd si commodator aduersus eum, qui rem vtendam accepit, venerit, ipsi quidem cōmodatori nullo modo aduersus furem furti actio dabitur, sed eam illi dat constitutio, qui rem vtendam accepit. Tunc autem rei dominus per actionem commodati agendo

τὴν furti μετέφερε. ἀλλὰ ταῦτα μὲν κατὰ μίμησιν τοῦ ῥάπτου καὶ κναφέως παρὰ τοῖς παλαιοῖς ἐπὶ τοῦ χρησαμένου ἐτρακταΐζετο. διάταξις δὲ τοῦ ἡμετέρου γέγονε βασιλέως, ζητήσεως τοιαύτης ἀνενεχθείσης εἰς αὐτὸν, ὥς τε κλοπὴν ὑποστάντος τοῦ χρησαμένου ἐξουσίαν εἶναι τῷ δεσπότῃ τοῦ κλαπέντος, εἴτε τὴν commodati βούλεται κατὰ τοῦ χρησαμένου κινῆσαι, εἴτε τὴν furti κατὰ τοῦ κλέπτου. καὶ τῆς ἑτέρας ἐπιλεχθείσης, μὴ δύνασθαι τὸν δεσπότην ἐκ μεταμελείας ἐπὶ τὴν ἑτέραν παραγίνεσθαι ἀγωγήν. ἀλλ' εἰ μὲν ἐπιλέξηται τὸν κλέπτην, ἐλευθεροῦσθαι τὸν χρησάμενον. εἰ δὲ ὁ χρήσας ἔλθῃ κατὰ τοῦ χρησαμένου, αὐτῷ μὲν τῷ χρήσαντι οὐκ ἔτι κατὰ τοῦ κλέπτου ἡ furti δοθήσεται. τῷ δὲ χρησαμένῳ ταύτην ἡ διάταξις παρέχει κατὰ τοῦ κλέπτου. ὅτε δὲ ὁ δεσπότης τοῦ πράγματος κινήσας τὴν commodati, ἀπόλλυσι τὴν furti,

ti, ἡνίκα εἰδὼς ὡς ἐκλάπη τὸ πρᾶγμα τὸ χρησθὲν, ἐπελέξατο τὴν commodati. γνοὺς δὲ μετὰ τὴν τοῦ χρησαμένου προκατάρξιν, εἰ βούλεται καταλιπεῖν τὴν commodati, χωρῆσαι δὲ ἐπὶ τὴν furti, δίδωσιν αὐτῷ παρρησίαν τοῦτο ποιεῖν ἡ διάταξις, καὶ παραγίνεσθαι κατὰ τοῦ κλέπτου. μηδεμίας αὐτῷ δικαιολογίας ἀντιτιθεμένης. ἐπειδὴ μήπω γνοὺς τὸ ἀληθὲς προκατήρξατο κατὰ τοῦ χρησαμένου. εἰ μὴ ἄρα ὁ χρησάμενος τῷ δεσπότῃ τοῦ πράγματος, τὸ ἱκανὸν ἐποίησεν ἐπὶ τῷ κλαπέντι πράγματι πρὶν ὁ δεσπότης μάθῃ τοῦτο κεκλέφθαι. τηνικαῦτα γὰρ ὁ μὲν κλέπτης οὐχ ὑποκείσεται τῷ δεσπότῃ τῇ furti. ἐναχθήσεται δὲ παρὰ τοῦ χρησαμένου, ὃς οἰκείοις χρήμασι τῷ δεσπότῃ τοῦ πράγματος ἐθεράπευσε τὴν ζημίαν. ὡμολογημένου κἀκείνου, ὅτι εἰ ἀγνοῶν ὑφαιρεῖσθαι τὸ πρᾶγμα ὁ δεσπότης ἐκίνησε τὴν

amittit actionẽ furti: quando dominus sciens rem esse subreptam, actionem commodati elegit. Sin autem nescius aut dubitans rem subreptam esse, cõmodati actionẽ instituerit, & re deinde cõperta post litẽ cum commodatario contestatam, relinquere velit actionem commodati, & furti malit agere: eadem cõstitutione id ei facere permissum est, & aduersus furẽ venire: sublata omni oppositione, quoniam rerum omnium ignarus, iudicium cum cõmodatario accepit. Nisi forte commodatarius domino rei, antequam eam dominus sciuisset furto ablatam esse, de re furto ablata satisfecerit. Tunc enim fur domino furti non tenebitur, sed à commodatario conuenietur, qui sua pecunia domino rei damnũ resarciuit. Quoniam & illud in cõfesso est, si dominus cùm nesciret rem subreptam esse, commodati

modati

commodati, εἶτα μαθὼν ἐν τῷ μεταξὺ μετῆλθεν ἐπὶ τὴν furti, οὐκ ἔτι δυνήσεται πα-λινδραμεῖν ἐπὶ τὴν κομμοδάτι. ἠλευθέρωται γὰρ ὁ χρησάμενος τῆς ἐξ αὐτοῦ ἀγωγῆς· εἰ καὶ τὰ μάλιστα ἡ κατὰ τοῦ κλέπτου ἀγωγὴ οὐκ ἔχει χρηστὸν ἀποτέλεσμα, διὰ τὸ πολλάκις ἄπορον εὑρεθῆναι τὸν κλέπτην. κρατείτω δὲ ταῦτα εἴτε εἰς μέρος, εἴτε εἰς ὁλόκληρον εὔπορος ἦν πρὸς τὴν καταβολὴν τοῦ τιμήματος τοῦ χρησθέντος πράγματος.

¶ Παρεθέμην τινὶ πρᾶγμα ἐμὸν, diligentiam οὐκ ἔτι ἐποφείλει ἐπὶ τῷ παρακαταθέντι πράγματι, οἷα μηδὲν κερδαίνων, ἀλλ' ἐκ τοῦ ἐναντίου μᾶλλον αὐτὸς τῷ δεσπότῃ κέρδους αἴτιος γίνεται, ὡς ἐν ἀσφαλεῖ τόπῳ μᾶλλον τὸ ἐμὸν παραθέμενος πρᾶγμα. μόνον δὲ ἐπὶ τούτῳ ὑπεύθυνος ἐστι τῇ depositi, ἐὰν κατά τινα δόλον αὐτοῦ βλαβῇ τὸ πρᾶγμα. ὅθεν ὑφαιρεθέντος τούτου, ἐπειδὴ οὐκ ἐνάγεται πρὸς τὴν τοῦ πράγμα-

modati actioné instituerit, & postea hoc cognito, ad actionem furti transierit, regressum ei amplius ad actioné cómodati non esse. Nam ab ea liberatus est commodatarius, etiam si non omnino optimum furti actio exitú habuerit: propterea quod sæpe fures non esse soluendo deprehendantur. Ac obtinét hæc, siue in partem siue in solidum par fuerit soluendo pretio rei commodatę.

¶ Rem meam apud Titium deposui. Is in re deposita diligentiam non debet: quoniam nullú habet ex ea commodú, quin immò propius est, vt ipse domino sit causa commodi, vtpote cuius res in tutiore loco collocata sit. Sed tãtùm in eo depositi obnoxius est, si quid dolo ipsius in re dãni acceptum sit. Quam ob causam si res ei subrepta fue-

§. Sed is apud quē.

τος ἀποκατάστασιν, διὰ τὸ μηδὲν διαφέρειν αὐτῷ τῷ σώζεσθαι τὸ πρᾶγμα, οὐ κινήσει κατὰ τοῦ κλέψαντος τὴν furti· ἀλλ' ἁρμόσει αὐτὴ τῷ δεσπότῃ.

8. In summa. ¶ Ἐντέλει δὲ ἐκεῖνο οὐκ ἄτοπον εἰδέναι, ὡς ζήτησις γέγονε, εἰ ἄρα ἀνήβος ἀλλότριον ὑφελόμενος πρᾶγμα κρατεῖται τῇ furti. ἐπεὶ δὴ πονηρᾶς ἐστέρηται διαθέσεως ἡ τοιαύτη ἡλικία, καὶ μᾶλλον ὡς κατὰ τρυφὴν καὶ ἐμπαιγνίαν, ἢ κατὰ δόλον ἀφαιρεῖσθαι δοκεῖ τὸ πρᾶγμα. ἀλλ' ἤρεσε τότε ἔνοχον αὐτὸν γίνεσθαι τῇ furti, ἐὰν ἐστὶ προσέξιμος πουβερτάτι, καὶ οἶδεν ἑαυτὸν διὰ τοῦτο κλέπτοντα πλημμελεῖν.

6. Furti actio. ¶ Ἡ furti, εἴτε ἐπὶ ἀπαιτήσει τοῦ διπλασίονος, ἢ τοῦ τετραπλασίονος κινεῖται, ποινῆς μόνον ἀπαίτησιν, οὐ τοῦ πράγματος ἔχει. τὸ δὲ πρᾶγμα ἔξωθεν ἀπαιτήσει ὁ τοῦ πράγματος δεσπότης, ἢ διὰ τῆς ἰν ρέμ, ἢ διὰ τοῦ κονδικτιτίου. ἀλλ' ἡ μὲν in rē, κατὰ παντὸς νομέως οὐ-

rit, cùm ad restitutionem rei cum eo non agatur, furti agere cum eo, qui illā subripuerit non potest: propterea quòd eius non intersit rē saluam esse: sed ea actio domino competet. ¶ Deniq; non absurdum fuerit & illud scire, quæstionis fuisse an impubes rem alienam amouēdo furti teneatur? quoniam ætas hæc mala mente & furandi affectu caret, & magis per lasciuiam lusúmque quàm dolo rem videtur auferre. Sed placuit ita demum furti eum obligari, si proximus pubertati sit, & ob id intelligat se furto cōmisso delinquere. ¶ Furti actio siue ex ea ad duplum siue ad quadruplum agatur, pœnæ tantum persequutionē, non etiam rei continet. Nam rem ipsam extrinsecus persequetur dominus, aut per rei vindicationem, aut per conditionem. Sed rei vindicatio aduersus quemuis possessorē

dabitur:

dabitur: siue fur ipse possidet, siue alius quispiam. Condictio verò furtiua solùm aduersus furẽ heredémve eius dabitur, etiã si rem subreptã non possideant.

τῳ δοθήσεται, εἴτε ὁ κλέπτης αὐτὸ νέμεται, εἴτε ἕτερός τις. ὁ δὲ φουρτίβος κονδικτίτιος κατὰ μόνου τοῦ κλέπτου, ἢ κληρονόμου αὐτοῦ δοθήσεται, εἰ καὶ μὴ νέμονται τὸ κλαπέν.

## DE VI BONORVM RAPTORVM. Titul. II.

EOS, qui res alienas rapiũt, iura impunitos esse non sinunt. Tenentur enim furti, quoniam nemo magis rem alienam inuito domino contrectat, quàm qui eã vi rapuit. Vnde rectissimè dictum est, raptorem, furem esse improbissimũ. Sed tamen propriã actionem eius delicti nomine, Prætor introduxit: quæ vi bonorum raptorũ dicitur. Et hæc intra annum ex quo rapina facta est, ad quadruplum: post annum ad simplum dabitur. Atque est ea & illi vtilis, qui

ΤΟὺς ἀλλοτρία ἁρπάζοντας πράγματα, οὐκ ἐῶσιν ἀτιμωρήτους οἱ νόμοι. κρατοῦνται γὰρ τῇ furti. οὐδεὶς γὰρ μᾶλλον τὸ ἀλλότριον πρᾶγμα ἄκοντος ψηλαφᾷ τοῦ δεσπότου, εἰ μὴ ὁ κατὰ βίαν ἁρπάσας τοῦτο. ὅθεν ὀρθότατα λέγεται τοῦτον ἀναιδέστατον εἶναι κλέπτην, τὸν ἅρπαγα. ἀλλὰ καὶ ὁ πραίτωρ, ἰδιάζουσαν ἐπενόησε περίφρασιν τούτου γοῦν τοῦ πράγματος ἀγωγὴν τὴν vi bonorum raptorum. αὕτη δὲ εἴσω μὲν ἐνιαυτοῦ ἐξ οὗ τὴν ἁρπαγὴν συνέβη γενέσθαι, εἰς τὸ τετραπλοῦν. μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν κινηθήσεται. ἔστι δὲ χρήσιμον ἐπὶ μιᾷ καὶ τούτῳ, ὃς ἑνὸς πρά-

γμα

γματος ἁρπαγὴν ὑποστῇ. οὐδὲ γὰρ ἐπειδὴ τὸ ὄνομα τῆς ἀγωγῆς πληθυντικῶς πέφρασται, ἐπὶ ἑνὸς οὐχ ἁρμόσει πράγματος ἁρπαγέντος. δίδοται γὰρ οὐδὲν ἧττον. οὐ διαφερομένων ἡμῶν εἴτε τίμιον, εἴτε εὐτελὲς εἴη τὸ ἁρπαγέν. τὸ δὲ τετραπλάσιον, ἐπὶ τῆς vi bonorum raptorum, οὐχ ὅλον ἐστὶν ἐν ποινῇ, καὶ ἔξωθεν ἡ τοῦ πράγματος ἀπαίτησις. ὥστε συμβαίνειν τούτῳ τῷ λόγῳ, ἐν τριπλῷ εἶναι τὴν ποινήν. ταῦτα δὲ λέγομεν, εἴτε συλληφθῇ ὁ ἅρπαξ ἐν αὐτῷ τῷ πλημμελεῖν, εἴτε μή. τὸ δὲ καταγελάστων ἐστί, κουφοτέρας αἱρέσεως εἶναι τὸν ἁρπάζοντα βίᾳ, τοῦ λάθρα ὑφαιρουμένου. τοῦτο δὲ ἐὰν ἐξετασθείη τῇ furti nec manifesti, ψευδὴς ὁ λόγος εὑρίσκεται. ἀλλ' εἴρηται πρὸς τοῦτο ἐπὶ τῆς κλοπῆς, εἰ μὲν συσχεθῇ ἤτοι ὁραθῇ ὁ κλέπτης ἐστὶν αὕτη ἡ furti manifesti, εἰς τὸ τετραπλάσιον ἔχουσα τὴν ποινήν. εἰ δὲ

vel vnam rem tantùm rapina amisit. Nec enim quòd actionis nomen plurali numero elatum est, in rapina vnius rei non competit, quoniam nihilo minus datur. Nec putamus referre, magni an minimi pretij sit ea quæque res, quæ rapta est. Porrò quadruplum in actione vi bonorum raptorum, non totum in pœna est, & scilicet extra pœnam est rei persequutio. Itaque consequens est ex hac ratione, vt pœna in triplo sit. Hęc autem dicimus, siue raptor in ipso delicto compræhensus sit, siue non sit. Ridiculum enim foret leuioris conditionis esse eum qui vi rapit, quàm is est, qui clàm amouet. Quæ tamē ratio falsa esset, si exemplo furti nec manifesti, res hæc exigeretur. Sed ad hoc dictum est in tractatu furti cùm fur visus aut depræhensus esset, esse actionem furti manifesti, quæ pœnam quadrupli cōtinet: cùm non vi-

sus

stus esset aut comprehensus, tunc ad duplum dari actionem furti nec manifesti. At qui rapinā admisit, semper ad quadruplum tenetur, siue in ipso delicto deprehensus fuerit, siue etiam latuerit. In vniuersum igitur, in furto aliâs duplum, aliâs quadruplum: in rapina verò indistinctè triplum in pœna est, siue comprehensus sit, siue non, is qui rapinam cōmisit. Atque eam ob rem, aut plus aliquid, aut certè non minus videtur habere. ¶Vi bonorū raptorū agitur, quū dolo malo quis rapuit. Vnde constat, si quis aut errore ductus, aut iuris imprudens rem suam rapuit, cùm putaret domino licere, rem suam vel vi à possessoribus auferre, iudicio Vi bonorū raptorum eum cōdemnandū non esse. Atque his quæ dicta sunt, & illud consequens est, vt neque

μὴ συλληφθῇ, ἢ μὴ ὀφθῇ, τότε ἐστὶν ἡ furti nec manifesti, εἰς τὸ διπλοῦν. ὁ δὲ τὴν ἁρπαγὴν ἐργασάμενος, κατέχεται εἰς τὸ τετραπλοῦν, εἴτε ἐν αὐτῷ τῷ πράγματι φωραθῇ, εἴτε καὶ λάθῃ. καθόλου οὖν ἐπὶ τῆς κλοπῆς, ποτὲ μὲν τὸ διπλάσιον, ποτὲ δὲ τὸ τετραπλάσιον, ἐπὶ δὲ τῆς ἁρπαγῆς, ἀδιαστίκτως τὸ τριπλοῦν ἐστιν ἐν ποινῇ, εἴτε συνελήφθη, εἴτε μὴ ὁ τὴν ἁρπαγὴν ἐργασάμενος. καὶ κατὰ τοῦτο δοκεῖ, ἢ πλέον τι ἔχειν, ἢ οὐκ ἐλαττοῦσθαι. ¶ Τὴν vi bonorum raptorum, συμβαίνει κινεῖσθαι, ἡνίκα δόλῳ γένηται ἡ ἁρπαγή. ἐντεῦθεν δῆλον, ὡς εἴ τις ἀπατηθεὶς, καὶ τὸν νόμον ἀγνοῶν τὸ οἰκεῖον ἥρπασε πρᾶγμα, ὑποπτεύσας ἐξεῖναι τῷ δεσπότῃ τὸ οἰκεῖον πρᾶγμα, καὶ βίᾳ δύνασθαι λαμβάνειν ἀπὸ τῶν νεμομένων, οὐκ ὀφείλει ἐν τῷ δικαστηρίῳ τῆς vi bonorū raptorū καταδικάζεσθαι. ἀκόλουθον δὲ τοῖς εἰρημένοις ἐστὶ, μήτε

§. Ita tamen.

τῆ

τῷ furti ἔνοχον αὐτὸν γένεσθαι. ὅς πεπλανημένῳ λογισμῷ ἥρπασε, καὶ οὐ κακούργως. ἀλλ' ἵνα μὴ τοῖς βουλομένοις ἁμαρτάνειν τοιαύτη ἐφευρεθῇ ὁδὸς, δι' ἧς τὰ οἰκεῖα κακουργήματα ἀζημίως ἐπιδείκνυνται, καὶ τὴν οἰκείαν θεραπεύουσιν ἀπληστίαν, καλλίστη γέγονεν ἐκ τῶν θείων διατάξεων ἐπὶ τούτων φροντίς. ὥς τε μὴ συγχωρεῖσθαι τινὶ κινητὸν ἢ ἀκίνητον πρᾶγμα, εἰ καὶ οἰκεῖον τοῦτο νενόμικεν, ἁρπάζειν τε καὶ βίᾳ λαμβάνειν. εἴρηται γὰρ ταῖς αὐταῖς διατάξεσιν, ὅπως τοιοῦτον τινὸς πλημμεληθέντος, ὁ ἁρπάξας εἰ μὲν ὡς οἰκεῖον πρᾶγμα τοῦτο ἁρπάζει, τῆς τοῦ πράγματος ἐκπίπτῃ δεσποτείας. εἰ δὲ τὸ ἀλλότριον οἰκεῖον ἐνόμιζεν εἶναι, ἀποκαθιστάτω μὲν κατὰ πρώτην τάξιν τὸ πρᾶγμα. διδότω δὲ καὶ πρὸς τούτοις καὶ τὴν τοῦ πράγματος διατίμησιν. ὅπερ οὐ μόνον ἐπὶ τῶν κινητῶν πραγμάτων, ἐφ' οἷς καὶ ἡ ἁρπαγὴ δύναται γίνεσθαι, ἔγραψαν αἱ διατά-

furti obligari intellegatur, qui errans ac simplici animo, non per dolum rapuit. Ne tamen hi, quib' rapere omnia & trahere in animo est, viam sibi apertã putarent, qua impune improbitatẽ suã exercere, ac auaritię suæ morem gerere possent: optimè per constitutiones Imperatorum & hac in parte prospectũ est, & cõsultum: ne cui liceret rem aliquam mobilem aut immobilem, quamuis eã suam putaret esse, rapere & vi auferre. Namque his constitutionibus cauetur: vt qui tale quid designauerit: raptor, si rem suam se putabat rapere, idq; non falsò, rei suæ dominio excidat: sin rem quæ erat aliena, suã credebat esse, in primis rem ipsam restituat, ac deinde etiã æstimationem eius præstet. Quod non solùm in mobilibus rebus, in quibus rapina committi potest, constitutiones definierunt: sed etiã

ξεις

in inuasionibus, quę in res immobiles fierent: veluti in domos, aut fundos. Ideo autem hęc cõstituta sunt, vt ab omni rapina & inuasione mortales his modis prudentiores facti abstinerent.

¶ In actione vi bonorum raptorũ non omnino exigimus, vt rerum raptarum dominus sit is, qui rapinam passus est. Nam siue in bonis eius sit, id est, in dominio eius, siue non quidẽ in dominio, sed tamen solùm ex bonis eius sit: locũ habebit actio vi bonorum raptorum. Et huiuscemodi quidem sunt, quorum ipsi domini non sumus, sed quę in facultatibus nostris sunt: veluti, vtendũ ab aliquo accepi, aut conduxi seruũ, aut cùm mutuum dedissem accepi pignus, aut apud me res deposita est: sic vt mea intersit eam rem mihi non au-

ξεις, ἀλλὰ καὶ ἐπὶ τῶν ἐφόδων, ἃς ἐπὶ τοῖς ἀκινήτοις πράγμασι, οἰκίαις φημὶ καὶ ἀγροῖς γίνεσθαι συμβαίνει. διετύπωσεν δὲ ταῦτα, ὥς τε πάσης ἁρπαγῆς τε καὶ ἐφόδου, τούτῳ τῷ τρόπῳ τοὺς ἀνθρώπους σωφρονιζομένους ἀπέχεσθαι. ¶ Ἐπὶ τοῦ vi bonorum raptorum, οὐ πάντως ἀπαιτοῦμεν δεσπότην εἶναι τοῦ ἁρπαγέντος πράγματος, τὸν τὴν ἁρπαγὴν ὑπομείναντα. εἴτε γὰρ in bonis αὐτοῦ ἐστίν, τουτέστιν ὑπὸ τὴν αὐτοῦ τελεῖ δεσποτείαν, εἴτε οὐ δεσπόζεται ὑπ᾽ αὐτοῦ, μόνον μέν τοι ex bonis αὐτοῦ ἐστιν· τουτέστιν, οὐ δεσπόζεται μὲν ὑπ᾽ αὐτοῦ, ἐν δὲ τῇ αὐτοῦ ἐστι περιουσίᾳ, χώραν γενήσεται τῇ vi bonorum raptorum. τοιαῦτα δέ ἐστιν ἃ οὐ δεσπόζεται μὲν ἀφ᾽ ἡμῶν, ἐν δὲ τῇ ἡμετέρᾳ ἐστὶ περιουσίᾳ. οἷον ἐχρησάμην παρά τινος, ἢ ἐμισθωσάμην οἰκέτην. ἢ δανείσας ἔλαβον ἐνέχυρον, ἢ ἐμοὶ παρετέθη μοι πρᾶγμα, οὕτως ὥς τε μοὶ διαφέρειν, τὸ μὴ ἀφαιρεθῆναί μοι τοῦτο τὸ

πρᾶγμα

πρᾶγμα. τοῦτο δὲ συμβαίνει εἴγε λαμβάνων τὸ depositũ, pactum ἐποίησα, ὥς τε καὶ ἀπὸ ῥαθυμίας με κατέχεσθαι. τὰ γὰρ γινόμενα πάκτα εἰώθασιν ἀμείβειν τὰς τῶν συναλλαγμάτων φύσεις. ἰδοὺ γὰρ ἐκ τοῦ συμφώνου κινηθήσεται ἡ depositi, οὐ μόνον ἀπὸ δόλου, ἀλλὰ καὶ ἀπὸ διλιγεντίας. εἰ δὲ bona fide νέμομαί τι, ἤγουν καὶ vsumfructum ἔχω ἐν ἀλλοτρίῳ πράγματι, ἢ καὶ ἕτερόν τι δίκαιον, οἷον vsum, ὡς διαφέρειν μοι μὴ ἁρπαγῆναι τοῦτο, καλῶς λέγομεν ἐπὶ πάντων τούτων ἁρμόζειν τῷ τὴν ἁρπαγὴν ὑποστάντι τὴν vi bonorum raptorum. ταῦτα δὲ εἰρημένα, εἰ καὶ μὴ τῆς αὐτοῦ δεσποτείας ἐστὶν, ἀλλὰ τῆς αὐτοῦ περιουσίας ὑπάρχει. κινῶν δὲ ἐπὶ τούτοις τὴν vi bonorum raptorum, οὐ τὴν δεσποτείαν λήψεται τῶν ἁρπαγέντων. πῶς γὰρ ἣν οὐκ εἶχεν; ἀλλ᾽ ἐκεῖνο μόνον ὅπερ ἐκ τῆς αὐτοῦ περιουσίας ἀφαι-

ferri. Id autem contingit, si cùm depositum acciperem, pactum fecerim, vt & ex neglegentia tenerer. Quoniam pacta, quę inter contrahẽtes fiunt, naturas cõtractuum mutare solent. Ecce enim ex eo quod inter nos conuênit, depositi mecum agetur, non solùm doli nomine, sed etiam dilegentię. Sed & si bona fide quid posideam, aut vsumfructum habeam in re aliena, aut ius aliquod aliud, veluti vsum, vt mea intersit, rem raptam non esse: rectè dicimus in his omnibus, ei qui rapinam passus est, actionem Vi bonorum raptorum competere. Et hęc quę dicta sunt procedũt, etiam si in dominio eius nõ sint, sed tantùm in facultatibus. Agendo autem vi bonorũ raptorum, non dominium rerum raptarum consequetur: quomodo enim, quod non habebat? sed id tãtùm, quod ex bonis eius ablatum est: hoc est,

ius quod in re habebat: veluti vsumfructum, vel vsum, in eo quod raptum est, habebat: quoniã eo per rapinam spoliatus est, is illi & restituitur. Et generaliter dicendum est: quibus ex causis furti nec manifesti actio datur re clàm amota, ex iisdem causis omnes habere actionem Vi bonorum raptorum.

ρεῖται, τουτέστιν ὅπερ εἶχεν ἐπὶ τῷ πράγματι δίκαιον. οἷον vsumfructum, ἢ vsum, εἶχεν, ἐπὶ τῷ ἁρπαγέντι. ἐπειδὴ ὅπερ τούτου ἐστερήθη διὰ τῆς ἁρπαγῆς, τοῦτο αὐτῷ καὶ ἀποκαθίσταται. γενικῶς δὲ λεκτέον ἐστὶν, ὅτι ἐξ ὧν αἰτιῶν ἡ furti δίδοται nec manifesti κλοπῆς γινομένης, ἐκ τούτων τῶν αἰτιῶν πάντες ἔχουσι τὴν vi bonorum raptorum.

## DE LEGE AQVILIA. Titul. III.

De damno alteri dato statuit lex Aquilia, eum qui damnũ dedit, puniens. Sed constitutio eius omnis in tria capita diuiditur. Et primo quidem capite de pecude, disserit. Sic enim ait: SI QVIS alienum seruum alienámve quadrupedem, quę pecudum numero sit, iniuria occiderit: quanti id quod occisum est, eo anno quo occisum est, plurimi fue-

Περὶ τῆς ἑτέρῳ προσγινομένης βλάβης, ὁ ἀκουίλιος νομοθετεῖ, τὸν ζημιοῦντα κολάζων. ἡ δὲ τούτου νομοθεσία εἰς τρία διαιρεῖται κεφάλαια. διαλέγεται δὲ ἐν τῷ πρώτῳ κεφαλαίῳ περὶ τῶν πέκους, ἤγουν κτήνους. φησὶ γὰρ οὕτως. ΕΑΝ ΤΙΣ ἀλλότριον οἰκέτην, ἢ ἀλλότριον τετράποδον, ὅπερ ἐν τῷ ἀριθμῷ τῶν πεκούδων ἐστι, ἀδίκως ἀνέλῃ, ὅσου τὸ ἀναιρεθὲν πρᾶγμα πλείονος ὑ-

παρέχειν ἐν τῷ τῆς ἀναιρέσεως ἐνιαυτῷ, τουτέστιν ὁ ζημιώσας τῷ δεσπότῃ δοῦναι καταδικάζεται. ἑρμηνεύσωμεν δὲ τὰ εἰρημένα τῷ νόμῳ, ἀσαφῆ κατά τι δοκοῦντα. καὶ τὸ μὲν εἰρημένον, ΕΆΝ ΤΙΣ ἈΛΛΌΤΡΙΟΝ ΟἸΚΈΤΗΝ ἈΔΊΚΩΣ ἈΝΈΛΗ, τῶν ὡμολογημένων ἐστίν. εἶπε δὲ ἢ ἀλλότριον τετράποδον, καὶ οὐκ ἠρκέσθη τούτῳ, οὐδὲ ἀδιαστίκτως καὶ ἀποτόμως εἶπε περὶ τούτου, ἀλλὰ προσέθηκεν ὅπερ ἐν τῷ ἀριθμῷ τῶν πεκούδων ἐστί. τοῦτο δὲ πρὸς ἐκεῖνο βλέπει. ἐὰν γὰρ ἀπροσδιορίστως εἶπε περὶ τετραπόδων, μὴ συνάψας τὸ εἶναι αὐτὰ ἐν ἀριθμῷ τῶν πεκούδων, ἔμελλε τὸ πρῶτον τοῦ νόμου κεφάλαιον ἕλκεσθαι καὶ ἐπὶ θηρίων ἀγρίων ἐμοὶ διαφερόντων, ἢ κυνῶν, ἡνίκα τις ἀνεῖλε ταῦτα. ἀλλ' οὐκ ἐβουλήθη περὶ τούτων τι ὁ νόμος εἰπεῖν. περὶ γὰρ τούτων μόνον διηλέχθη, ἅ τινα κυρίως νέμεσθαι, καὶ ἀγεληδὸν εἰώθε βόσκεσθαι, ὁποῖα εἰσὶν ἵπποι, ἡμίονοι, βόες, πρό-

βατα,

rit, tantum is, qui damnum dederit, domino dare condemnabitur. Interpretemur verba legis, quę nōnihil obscura videntur esse. Et quidem quod ait: SI QVIS ALIENVM SERVVM INIVRIA OCCIDERIT, in expedito est. Quod verò dixit, Alienám ve quadrupedē: nec eo contenta fuit, ac neque indistinctè loquuta est aut abruptè, sed addidit, quę pecudū numero sit, id illò spectat. Nam si indefinitè de quadrupedibꝰ dixisset, non adiuncto, vt pecudum numero essent, futurum erat, vt primum hoc caput & ad feras bestias ad me pertinentes, & ad canes traheretur, si quis ea occidisset. Sed de his loqui lex noluit. De his enim solis cauetur, quę propriè & gregatim pasci solent. Quod genus sunt equi, muli, bo-

tes, oues, capræ. De suibus quoque idem placuit, quoniam & sues pecudum appellatione continentur: Et eos enim gregatim pasci, in confessum venit, cùm id & Poëta Homerus in Odyssea doceat, sicut Aelius Martianus in suis institutionibus refert, hos ex illo versus adducens:

βατα, αἶγες. καὶ περὶ χοίρων δὲ τὸ αὐτὸ ἤρεσε. καὶ γὰρ οἱ χοῖροι τῇ τῶν πεκούδων περιέχονται προσηγορίᾳ. ἐπεὶ τούτους γὰρ ἀγεληδὸν νέμεσθαι συνωμολόγηται. τοῦτο γὰρ καὶ ὁ ποιητὴς Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ διδάσκει, ὡς ὁ Αἴλιος Μαρκιανὸς ἐν τοῖς οἰκείοις αὐτοῦ ἀναφέρει ἰνστιτούτοις τούτων μεμνημένος τῶν ἐπῶν,

Δήεις τόν γε σύεσσι παρήμενον, αἱ δὲ νέμονται
Πὰρ Κόρακος πέτρῃ, ἐπί τε κρήνῃ Ἀρεθούσῃ.

id est,

*Assidet is suibus, quorum grex magnus in agris*
*Pascitur, ad Coracos Petram, fontémque Arethusam.*

Quod enim ait νέμονται, id gregatim pasci significat. ¶ Porrò quod in lege dicitur, INIVRIA OCCIDERIT: sic id intellegimus, παρανόμως, id est, sine iure. Itaque nisi cùm nullo iure cædes facta est, is qui occidit, extra periculum est, nec erit huic legi locus. veluti, si seruum tuũ latronem occidam, lege Aquilia non teneor: Sed tunc demum, cùm illatum

Τὸ δὲ ΝΕΜΟΝΤΑΙ δηλεῖ τὸ ἀγεληδὸν βόσκεσθαι. ¶ Τὸ δὲ εἰρημένον τῷ νόμῳ, INIVRIA OCCIDERIT, τοῦτο νοοῦμεν, παρανόμως ἐφόνευσε, τουτέστι sine iure, οὐκοῦν εἰ μὴ παράνομος εἴη ὁ φόνος, ἀκινδύνως ὁ φονεύσας. καὶ οὔποτε χώρα τούτῳ τῷ νόμῳ. οἷον ἡνίκα τὸν σὸν οἰκέτην ἀνέλω λῃστὴν ὄντα, οὐ κατέχομαι τῷ ἀκουιλίῳ. ἀλλὰ τότε ἡνίκα τὸν ἐπαγό- θ. Iniuria.

μένον μοι παρ' αὐτοῦ κίνδυνον, οὐχ ἑτέρως ἠδυνήθην ἐκκλῖναι εἰ μὴ διὰ τῆς ἐπαχθείσης αὐτῷ παρ' ἐμοῦ πληγῆς. εἰ γὰρ δυνάμενος διαφυγεῖν τοῦτον ἀνεῖλον, κατέχομαι τῷ ἀκυιλίῳ. οὐκ ἔστιν ὑπεύθυνος τῷ ἀκυιλίῳ, ὁ ἐκ τυχηρᾶς ἀνελὼν περιστάσεως, ἡνίκα μὴ πρόσεστι ῥᾳθυμία τῷ γινομένῳ. οὐχ ἧττον γὰρ τοῦ δόλου τὸν κατὰ ῥᾳθυμίαν ἀνελόντα ὁ νόμος τιμωρεῖται. διὸ ἐάν τις ἐν τῷ παίζειν ἀκοντίοις, ἢ καὶ γυμνάζεσθαι παρελθόντα τὸν σὸν οἰκέτην πλήξας ἀνεῖλεν· εἰ μὲν στρατιώτης ἦν ὁ τοῦτο ποιήσας ἐν τῷ κάμπῳ, ἢ ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα γυμνάζεσθαι τοῖς στρατιώταις συνηθὲς, ἀνεύθυνος ὁ πλήξας. εἰ δὲ ἰδιώτης ἦν, καὶ ἐν τούτῳ τῷ τόπῳ ἀνεῖλεν, ἐπειδὴ ἰδιώτης ἐν ὅπλοις γυμνάζεσθαι οὐ νενόμισται, ὑπεύθυνος ἔσται ὁ πλήξας τῷ ἀκυιλίῳ. τὸ αὐτὸ φαμὲν εἰ καὶ στρατιώτης ἐν τόπῳ, ἐν ᾧ μὴ συνηθὲς

mihi ab eo periculum aliter euitare nō potui, quàm vulnere illi à me illato. Nā si cùm effugere possem, eum occidi: lege Aquilia teneor. At ne is quidē lege Aquilia tenetur, qui fortuitò & casu occidit: dum nulla interuenerit culpa aut neglegentia. Quoniam non minus cum lex vlciscitur, qui per culpam occidit, quàm qui per dolum. Quapropter, si quis dum iaculis ludit vel exercitatur, seruum tuum transeuntem traiecit, siquidem is, qui hoc fecit, miles est, & in campo id fecit, aliòve quo loco, vbi se milites exercitare solēt: occisor non tenetur. Sin autem paganus est, quamuis in eodem loco occiderit, quoniam paganus in armis exercitari non creditur, lege Aquilia tenetur is, qui seruum traiecit. Idem & in milite dicimus, qui alio in loco quam vbi milites exercitare se consueuer

sueuerunt, tale aliquid admisit. Nam & hic in legē Aquiliam incidet. ¶ Si quis cùm arborem putaret, deiecto ramo seruum meum prætereuntem percussit & occidit, lege Aquilia tenetur. Id autem dicimus, cum via publica aut vicinalis suberat. Exclamare enim debuit, vt omnis qui transiret futurum rami lapsum caueret. Nam cùm hoc non fecerit, neglegentiæ seu culpę nomine lege Aquilia tenetur. Sed si cùm ille exclamasset, seruus id cōtempsit, extra crimen omne & culpā est putator. Et publica quidē via est, quæ & militaris dicitur, apud Græcos βασιλικὴ, qua omnes homines in diuersa loca euntes vtuntur. Vicinalis verò est, quæ in vicos ducit, dicta à Vico, quem Græci κώμην vocant. Per hanc enim transit omnis, qui in vicum abit. Si quis tamen scor-

γυμνάζεσθαι στρατιώτας, παραπλήσιον ἥμαρτεν. ὑποπεσεῖται γὰρ τῷ ἀκυϊλίῳ. ¶ Ἐάν τις κλαδεύων ἐκ τοῦ δένδρου, κλάδου κατενεχθέντος, τὸν ἐμὸν οἰκέτην παρελθόντα πλήξας ἐφόνευσε, κρατεῖται τῷ ἀκυϊλίῳ. τοῦτο δὲ λέγομεν, εἰ τοῦτο γέγονεν ὁδοῦ πουβλικίας ἢ βικιναλίας ὑποκειμένης. ἔδει γὰρ αὐτὸν ἐκβοῆσαι, ὥστε πάντας παρελθόντας τὴν ἐσομένην φυλάττεσθαι πτῶσιν τοῦ κλάδου. τοῦτο γὰρ μὴ ποιήσας προφάσει τῆς ῥαθυμίας, ἤτοι culpæ, ὑπεύθυνος ἔσται τῷ ἀκυϊλίῳ. εἰ δὲ αὐτὸς μὲν ἐξεβόησε, τῆς δὲ τούτου βοῆς κατεφρόνησεν ὁ οἰκέτης, ἀνέγκλητος ὁ κλαδεύων. καὶ publica μέν ἐστιν ὁδὸς, ἥ τις καὶ μιλιταρία λέγεται, παρὰ δὲ τοῖς Ἕλλησι βασιλική· ᾗ πάντες ἄνθρωποι κέχρηνται ἐπὶ διαφόρους ἀπιόντες τόπους. Vicinalis δὲ, ἡ ἐπὶ κώμας ἄγουσα. Vicus γὰρ ἡ κώμη. διὰ ταύτης γὰρ βαδίζει πᾶς ἐπὶ τὴν κώμην ἀπιών. εἰ μέν τοι

θ. Itē si putator.

ἄπωθεν τῆς ὁδοῦ ἢ ἐν μέσῳ τυχὸν τοῦ ἀγροῦ ἐκλάδευεν, εἰ καὶ μὴ ἐξεβόησεν, πλὴν, ἐπεὶ ἐν τοιούτῳ γέγονε τόπῳ, ἐν ᾧ οὐδενὶ τῶν ἐξωτικῶν ἐξουσία τοῦ βαδίζειν ἦν, ἀναμάρτητος ὁ

§.Pręterea. πλήξας. ¶ Ἰατρός τις τὸν ἐμὸν οἰκέτην φλεβοτομήσας κατέλιπεν ἀθεράπευτον, τετελεύτηκεν ὁ οἰκέτης· ὁ ἀκουΐλιος ἁρμόζει κατὰ τοῦ ἰατροῦ. ἐπειδὴ δὲ εἰρήκαμεν τὸν κούλπᾳ φονεύσαντα, κατέχεσθαι τῷ ἀκουϊλίῳ, εἰδέναι χρὴ ὡς καὶ ἡ ἀπειρία εἰς κοῦλπαν ἀνάγεται. οἷον ἰατρόν τις ἑαυτὸν εἶναι λέγων, ἀτέχνως τὸν οἰκέτην τὸν σὸν ἀνεῖλεν, ἢ φάρμακον αὐτῷ δέδωκεν οὐ δεομένῳ, ἢ κατὰ καιρὸν οὐχ ἁρμόδιον.

§.Imperit. ¶ Εἰ δὲ καὶ μουλίων ἐπικαθήμενος ὀχήματι τὴν τῶν ἡμιόνων ἐξ ἀπειρίας ὁρμὴν ἐπισχεῖν οὐκ ἠδυνήθη, καὶ τὸν ἀλλότριον ἀνεῖλεν οἰκέτην, ὡς ἀπὸ κούλπας ἔνοχος ἐστὶ τῷ ἀκουϊλίῳ. εἰ δὲ καὶ ἐξ ἀσθενείας κρατῆσαι τῶν ἡμιόνων οὐκ ἴσχυ

ſum à via aut in medio forte fundo ramos cædebat, etiam ſi non exclamauerit, cùm id eo loco factum ſit, vbi nulli extraneorũ ius erat verſandi, non tenetur occiſor. ¶ Medicus quidã, cùm ſeruo meo venam ſecuiſſet, curationem eius deſeruit, mortuus eſt ſeruus. Lex Aquilia aduerſus medicum competit. Quoniam autem diximus, eum qui culpa occidit, lege Aquilia teneri, ſciendum eſt & imperitiam ad culpam referri. Veluti, cùm ſe medicum quiſpiam profiteretur, per imperitiã ſeruum tuũ occidit, quia aut medicamentũ cùm nihil opus eſſet ei dederit, aut non ſuo tempore dederit. ¶ Sed & mulio, ſi cùm in vehiculo eſſet, ex imperitia mularum impetum cohibere non potuit, & alienum ſeruum occidit, vt ex culpa tenetur lege Aquilia. Quin etiam ſi per debilitatem mulas retinere non po

euit,

ruit, quas tamē alius firmior cohibere poterat: ita res culpæ mulionis adscribetur, & locus erit legi Aquiliæ. Quæ de mulione dicta sunt, & ad eum qui equo vehitur trahere possumus: si cùm impetum equi per debilitatem aut imperitiā cohibere nō posset, alienum seruum occidit ¶Interpretati sumus prima legis verba, dicamus & de cæteris. Ait lex: QVANTI ID IN EO ANNO PLVRIMI FVERIT: quid sibi volunt hęc verba? Et dicimus his verbis hanc sententiam exprimi: ut si quis alienum seruum, quum is claudus esset aut luscus, aut mancus, occiderit, & is in eo anno, quo vulnus accepit integer, ac ideo maioris pretij fuerit: iudex rem retro le-

σε, δυνατὸν ἦν τούτας ὑφ' ἑτέρου μᾶλλον εὐσθενοῦς ἐπισχεθῆναι, εἰς τὴν τοῦ μουλίωνος κοῦλπαν ἀναχθήσεται τὸ γεγονός, καὶ γενήσεται χώρα τῷ ἀκυϊλίῳ. τὰ ἐπὶ μουλίωνος εἰρημένα, καὶ ἐπὶ ἱππέως ἕλκειν δυνάμεθα. εἴγε τὴν ὁρμὴν τοῦ ἵππου, ἢ δι' ἀσθένειαν μὴ δυνηθεὶς ἐπισχεῖν, ἢ δι' ἄγνοιαν, ἀλλότριον ἀνεῖλεν οἰκέτην. ¶Ἡρμηνεύσαμεν τὰ πρῶτα ῥήματα τοῦ νόμου, εἴπωμεν καὶ περὶ τῶν ἑξῆς. λέγει ὁ νόμος, QVANTI ID IN EO ANNO PLVRIMI FVERIT. ἤτοι ὅσου ἐν τῷ αὐτῷ ἐνιαυτῷ πλείονος ὑπῆρχε. τί βούλεται ταῦτα τὰ ῥήματα; καὶ λέγομεν ὡς διὰ τῶν εἰρημένων τοῦ νόμου, αὕτη ἀποτελεῖται ἡ ἔννοια. ἵνα ἐάν τις τὸν ἀλλότριον οἰκέτην χωλὸν ὄντα ἢ ἑτερόφθαλμον, ἢ τῆς μιᾶς ἐστερημένον χεῖρος ἀνέλῃ, τοῦτο δὲ συνέβαινεν ἐν αὐτῷ τῷ ἐνιαυτῷ, καθ' ὃν ἐδέξατο τὴν πληγὴν, ἀκέραιον εἶναι καὶ διὰ τοῦτο τιμιώτερον· εἰς τοὐπίσω ἀνακαλῶν ὁ δικαστὴς θ. His autē

τὴν τούτου διατίμησιν ποιεῖται. καὶ εἰ τυχὸν ὁ ἀναιρεθεὶς οἰκέτης ἀκέραιος καὶ ὑγιὴς ὑπῆρχε πρὸ ἐννέα ἢ δέκα ἢ ἕνδεκα μηνῶν, καὶ διὰ τοῦτο πλείονος ἄξιος ἦν εἰς ἐκεῖνον τὸν χρόνον ἀνάγων τὴν διατίμησιν, ποιεῖται τὴν καταδίκην. ἐκ τούτου δὲ κατασκευάζεται pœnalem εἶναι τὴν τοῦ ἀκουιλίου ἀγωγήν· οὐ γὰρ μόνον εἰς τοσοῦτον τὶς καταδικάζεται εἰς ὅσον ἐζημίωσεν, ἀλλ' ἔσθ' ὅτε καὶ πλέον. ἐντεῦθεν ὡμολόγηται κατὰ κληρονόμων ταύτην τὴν ἀγωγὴν μὴ παραπέμπεσθαι, ἅτε pœnalē. εἰ γὰρ εἰς τοσοῦτον εἰς ὅσον τὶς ἐζημίωσεν ἔνοχος ἐγίνετο, ἀμάχως καὶ ὁ τούτου κληρονόμος τῇ αὐτῇ ὑπεβάλλετο ἀγωγῇ.

6. Illud. ¶ Καὶ ταῦτα μὲν ἐκ τῶν ῥημάτων ἐστὶ λαβεῖν. ἐκ δὲ τῆς ἑρμηνείας ἣν ἐκ τῆς ἐννοίας ἀποτελεῖσθαι συμβαίνει τοῦ νόμου, ἀρέσκει οὐ μόνον τὴν τοῦ ἀναιρεθέντος οἰκέτου διατίμησιν γίνεσθαι κατὰ τὰ εἰρημένα, τουτέστιν ἀνακαλοῦντος ἑαυ-

τὸν

gêdo æstimationem eius ineat. Et si fortè seruus qui occisus est, integer & sanus ante nouem, decem, aut vndecim mêses fuerit, & ideo maioris pretii æstimatione ad illud têpus relata reum côdemnet. Ex hoc autê efficitur, pœnalem esse legis Aquiliæ actionem: quia non tanti quisque condemnatur, quantum damni dederit: sed etiam aliquãdo pluris. Vnde in confessum venit aduersus heredes actionem hanc tanquam pœnalem non transmitti. Nam si tâti quisque quantum damni dedisset obligaretur, haud dubiè & heres eius eadem actione teneretur.

¶ Et hæc quidem ex verbis ipsis descendunt. Illud autem ex interpretatione quam legis sententia exprimit, placet: non solum peremptí serui æstimationem secundum ea quæ dicta sunt, ha-

bẽdam esse:hoc est, retro se referente iudice: sed etiã, si quid aliud ob peremptũ corpus damni nobis illatum fuerit, & hoc æstimandum est: veluti, Seruum meum aliquis moriens heredem scripsit: poterã huic iubere, vt hereditatẽ adiret, eãmque mihi adquireret. Antequã id à me fieret, seruũ hunc meum aliquis occidit. Quoniam accidit, vt ego & hereditatem amittam, non solùm condemnabitur is qui illum occidit, ad corporis ęstimationẽ, vt prędictum est: sed etiã ad hereditatis quã amisi. Simile quiddam & ex hac specie euẽnit. Iugum aliquis habebat mularum, quę sibi inuicem similes erant, & ideo maioris quoque pretij: ac si quis ambas ęstimasset, pretium earum ducentos aureos colligebat: sin singulas, quinquaginta aureis vnaquęque ipsarum ęstimabatur. Si quis ergo vnam ea-

τὸν τοῦ δικαστοῦ· ἀλλὰ καὶ εἴ τι ἕτερον ἐκ τοῦ τοῦ σώματος ἀναιρέσεως προσγέγονεν ἡμῖν ζημίωμα, καὶ τοῦτο διατιμηθῆναι χρή. οἷον τὸν ἐμὸν οἰκέτην τελευτῶν τις ἐνεστήσατο κληρονόμον. ἐδυνάμην τοῦτον κελεῦσαι ὑπελθεῖν τὴν κληρονομίαν, καὶ ταύτην ἐμοὶ προσπορίσαι. πρὶν δὲ τοῦτο γενέσθαι παρ' ἐμοῦ, ἀνεῖλεν τοῦτον τις τὸν οἰκέτην. ἐπειδὴ ἀπολέσαι συμβαίνει με τὴν κληρονομίαν, οὐ μόνον καταδικασθήσεται ὁ τοῦτον ἀνελὼν εἰς τὴν τοῦ σώματος διατίμησιν, ὡς προείρηται, ἀλλὰ καὶ εἰς τὴν τῆς κληρονομίας ἧς ἐξέπεσον. παραπλήσιον ἐκ τούτου τοῦ θέματος ἀναφύεται. εἶχέ τις ζεῦγος μουλῶν, οἵ τινες ἐοίκασιν ἀλλήλοις, καὶ διὰ τοῦτο πλείονος ὑπῆρχον ἄξιοι. καὶ εἰ μέν τις τὰς δύο διετιμήσατο, εἰς σ νομίσματα ἡ διατίμησις αὐτῶν συνήγετο. εἰ δὲ κεχωρισμένως, ν νομίσματα ἑκάστης ἐγίνετο τὸ τίμημα. ἐὰν οὖν τούτων τὴν

μίαν ἀνέλῃ, οὐ μόνον τῆς ἀναιρεθείσης τὴν διατίμησιν, ἀλλὰ καὶ τῆς περιλειφθείσης παρέξει τῆς διατιμήσεως τὴν ἀπομείωσιν, ἤγουν ἑκατὸν νομίσματα, τὸ αὐτὸ καὶ εἴ τις εἶχε τέθριππον, εἶτα ἕτερος ἀνεῖλε, τὸν ἐν τούτῳ ἀριστεύοντα. ὃς καὶ τίμιον ἐποίει τὸ τέθριππον, ἤγουν ἐκέκτητό τις κωμῳδὸν, καὶ τὸν τούτου ὑποκριτήν. ὁ δὲ ὑποκριτὴς ἐκόσμει τὸν κωμῳδὸν, καὶ θαυμαστὸν ἐδείκνυεν, ἐν τοῖς ἀγῶσιν αὐτῷ συνών. ἀνεῖλέ τις τοῦτον τὸν ὑποκριτήν. ἐπ' ἀμφοτέρων τῶν θεμάτων ὁ ἀνελὼν οὐ μόνον τοῦ φονευθέντος τὴν διατίμησιν, ἀλλὰ καὶ τοῦ περιόντος παρέξει τὴν τῆς διατιμήσεως ἀπομείωσιν.

¶.Liberum. ¶ Τῷ δὲ τοῦ ἀναιρεθέντος δούλου δεσπότῃ ἐξουσία δίδοται καὶ τὸ πριβάτον κινεῖν δικαστήριον, φημὶ τὸν ἀκουΐλιον, καὶ τὴν προσγινομένην αὐτῷ θεραπεύειν ζημίαν. κινήσει δὲ πρὸς τούτοις καὶ τὸ publicum ἔγκλημα,

rum occiderit, non eius tantùm quę perempta est ęstimationem pręstabit, sed etiam quanti pretiũ eius quę superest, minutum est, nempe centum aureos. Idémque est, si quis quadrigam equorũ habeat, & alius eum q ex his optimè se habet, & toti quadrigę pretium conciliat, occidat: aut si quis comœdum & huius histrioné habeat, & cùm histrio hic comœdum instrueret adiuuarétque & semper ei in ludis adhęrens omnibus illum admirandum redderet: aliquis hunc histrioné perimat: In vtraque hac specie, occisor nõ eius tantùm ęstimationem qui occisus est, sed etiam quanti pretium eius qui superest, minutum est pręstabit.

¶Liberum est auté, domino occisi serui, & priuato iudicio agere, ex lege (inquã) Aquilia, & ita damnum sibi illatũ persequi. Faciet et ã adhęc & publici crĩ

minis reum ex lege Cornelia de sicariis. Neque enim priuata actione mota publica accusatio extinguitur. Hucusque igitur primum caput obtinet. Porrò secundum in vsu nō est. ¶ Tertio capite, de ceteris quęstionibus pertractat lex. Itaque si quis seruū meum, vel eam quadrupedem, quę pecudum numero est, vulnerauerit, aut eam quadrupedem quę pecudum numero non est, vt canem ferámve bestiam, vrsos aut leones aut lupos occiderit vel vulnerauerit, in tertiū hoc legis caput incidit. Sed & in ceteris omnibus animalibus, item in rebus quę animam nō habent, damnum domino illatū, ex hoc capite resarcitur. Ait enim lex, Quidquid enim vstum, aut ruptum, aut fractum fuerit, actio ex hoc capite constituitur.

τὴν Corneliam de sicariis. οὐδὲ γὰρ ἡ priuata κινηθεῖσα ἀγωγὴ, τὴν publicam σβέννυσιν. κατέχει οὖν μέχρι τούτου τὸ πρῶτον κεφάλαιον, τὸ δὲ δεύτερον οὐκ ἔστιν ἐν χρήσει. ¶ Ἐν δὲ τῷ τρίτῳ κεφαλαίῳ περὶ πάσης τῆς λειπομένης ζητήσεως ὁ νόμος διέξεισι. διὸ ἐάν τις τὸν ἐμὸν οἰκέτην, ἢ τὸ ἐμὸν τετράποδον, ὅπερ ἐν ἀριθμῷ τῶν πεκούδων ἐστὶ, τραυματίσῃ, ἤγουν ἐκεῖνο τὸ τετράποδον, ὅπερ οὐ συναριθμεῖται τοῖς πεκούδοις· οἷον κύνα, ἢ θηρίον ἄγριον, ἄρκους ἢ λέοντας, ἢ λύκους ἀνέλῃ, ἢ τραυματίσῃ, τῷ τρίτῳ ὑποβάλλεται τοῦ νόμου κεφαλαίῳ. ἀλλὰ καὶ ἐπὶ πάντων τῶν λοιπῶν ζώων, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀψύχων, ἡ προσγινομένη τῷ δεσπότῃ ζημία, ἐκ τούτου θεραπεύεται τοῦ κεφαλαίου. λέγει γὰρ ὁ νόμος· quicquid enim combustum, aut ruptum, aut fractum fuerit. τουτέστιν ἐάν τι καυθῇ, ἢ ῥαγῇ, ἢ κλασθῇ, ὥστε ἁρμόζειν τὴν ἀγωγὴν ἐκ τοῦ τρί- 3. Capite

τοῦ κεφαλαίου. ἐκ περιττοῦ δὲ ὁ νόμος ἐχρήσατο ταῖς δύο λέξεσι τῷ vstum, καὶ τῷ fractum. ἡ γὰρ τοῦ rupti προσηγορία πάσας ταύτας ἐξήρκει δηλῶσαι τὰς αἰτίας. Ruptum γὰρ λέγομεν τὸ διαφθαρὲν οἱῳδήποτε τρόπῳ. ὅθεν οὐ μόνον τὰ καυθέντα ἢ κλασθέντα, ἀλλὰ καὶ ἡ σχισθεῖσα ἐσθὴς, καὶ τὰ συνθλασθέντα σκεύη, ἢ καυθέντα, ἢ ὡς εἰώθασι λέγειν διπλωθέντα. τί γὰρ ὅτι ἀργυρᾶ ἦν. ἢ καὶ ὁ ἐκχυθεὶς οἶνος, ἢ ἔλαιον, καὶ ὅσα τοιαῦτα· καὶ τὰ οἱῳδήποτε τρόπῳ διαφθαρέντα. ὅθεν οὐ μόνον ἀπολλύμενα, ἢ χείρονα γεγονότα τῷ rupto περιέχεται. ἀμέλει τοι εἴ τις εἰς τὸν ἐμὸν οἶνον κάλλιστον ὄντα, ἢ εἰς τὸ ἔλαιον πρωτεῖον ὑπάρχον, ἐνέβαλέ τι τοιοῦτον, δι' οὗ ἠφανίζετο ταῦτα, ὑποκείσεται τὰ τοιαῦτα τῷ τρίτῳ κεφαλαίῳ. ἐκεῖνο δὲ τῶν ὡμολογημένων ἐστὶν, ὥσπερ ἐκ τοῦ πρώτου κεφαλαίου τότε κατέχεταί τις

Ex abundantia autē videtur lex duabus illis dictionibus, Vstum & Fractū, vsa esse. Nam sola Rupti appellatio, omnibus his causis significandis satis erat adcommoda. Ruptū enim intelligitur, quod quocumque modo corruptum est. Vnde non solum quę vsta sunt aut fracta, sed etiam scissa vestis, aut collisa vasa, siue vt aliqui dicūt διπλωθέντα, id est, duplicata, (quid enim si argentea erant?) aut etiam effusum vinum vel oleum, vel si qua talia, & quęcumque aliquo modo corrupta, perempta, aut deteriora facta sunt, sub rupti significatione continentur. Quapropter si quis in vinum meū, cum id optimum esset, aut in oleum quod excellentissimū erat tale aliquid miscuerit inieceritque, quò ea spurcarentur & corrumperentur: ex hoc tertio capite ob eas res tenebitur. Illud autem in confesso est, quemadmodum ex primo capi-

te

ita demum quis lege Aquilia tenetur, cùm dolo aut culpa alienum seruum aut pecudem occidit: ita & ex hoc capite, ob dolũ aut culpam quem de dãno teneri. In hoc igitur vtraque capita conueniũt. In illo planè differũt, quòd primo capite de seruis aut pecudibus occisis agatur: hoc verò caput, quod olim tertium erat, & nunc secundum est, de ceteris omnibus damnis tractet. Neque rursus in hoc tãtum differunt, verũ & in illo: quòd ex primo capite iudex ad annum retrò referat, in his verò quę ex tertio capite procedunt, ad triginta dies. Sed & illic adiecta est dictio Plurimi, hic autem omissa est: vt liberũ sit iudici ad eũ diem ex triginta dieb⁹ æstimationem referre, quo res minimi pretij fuerit: & ita hanc reo gratiam facere: aut ad eum diẽ quo

τοῦ ἀκυϊλίου, ἐπειδὴ ἂν δόλῳ ἢ κούλπᾳ τὸν ἀλλότριον οἰκέτην ἢ τὸ pecus ἀνέλῃ. οὕτω καὶ ἐκ τοῦ τρίτου, ὁ δόλος ἢ ἡ κούλπα ἐνάγεσθαι ποιεῖ τὸν ζημιώσαντα. ἐν τούτῳ μὲν κατὰ τοῦτο ἐοίκασιν ἀλλήλοις τὰ δύο κεφάλαια. ἐν ἐκείνῳ δὲ διενηνόχεν, ὅτι τὸ μὲν πρῶτον κεφάλαιον, περὶ οἰκέτου, ἢ πεκούδων φησὶν ἀναιρέσεως, τὸ δὲ τρίτον ποτὲ, νῦν δὲ δεύτερον, περὶ πάσης διαλαμβάνει τῆς λειπομένης ζημίας. καὶ οὐ μόνον ἐπὶ τούτῳ, ἀλλὰ καὶ ἐπ' ἐκείνῳ ὅτι ἐπὶ μὲν τοῦ πρώτου κεφαλαίου, ἐπὶ ἐνιαυτὸν ὁ δικαστὴς ἑαυτὸν ἀνακαλεῖ, ἐπὶ δὲ τῶν συμβαινόντων ἐκ τοῦ τρίτου κεφαλαίου, ἐπὶ τριάκοντα ἡμέρας. κἀκεῖ μὲν πρόσκειται τὸ plurimi. ἐνταῦθα δὲ ἐσιγήθη. ὡς ἐντεῦθεν παρρησίαν ἔχειν τὸν δικαστὴν, εἰς ἐκείνην ἀναφέρειν ἐκ τῶν τριάκοντα ἡμερῶν τὴν ἡμέραν ἐν ᾗ ἐλάττονος ἦν ἄξιον τὸ πρᾶγμα, καὶ χαρίσασθαι τῷ ἐναγομένῳ. ἢ εἰς ἣν πλείονος ὑπῆρχε. καὶ ἀφε-

ληφθῆναι τὸν ἐνάγοντα. ἀλλὰ κάλλιστόν φησιν ὁ Σαβῖνος, ὁμοίαν εἶναι ποιητέαν τὴν διατίμησιν, ὥσπερ εἰ κἀνταῦθα τὸ plurimi προσέκειτο ῥῆμα. ὁ γὰρ ῥωμαϊκὸς χυδαῖος δῆμος, κατὰ τὸν καιρὸν τῆς διαστάσεως τοῦ χυδαίου δήμου καὶ τῆς συγκλήτου, τοῦ ἀκυϊλίου (δήμαρχος οὗτος ἦν) τὸν παρόντα νόμον τεθέντος, ἠρκέσθη τῷ plurimi ῥήματι ἐν τῷ πρώτῳ κεφαλαίῳ.

§. Ceterum.

¶ Κανόνι δὲ γενικῷ δεῖ περιλαβεῖν πότε ὁ δίρεκτος ἀκυΐλιος ἁρμόζει· πότε δὲ ὁ οὐτίλιος. καὶ τέως εἰδέναι χρή, ὅτι ὁ νόμος ἑαυτὸν δίδωσιν, ἐπειδὰν ἀδικηθῇ σῶμα. ἀλλ' εἰ μὲν ἐκ σώματος ἡ βλάβη προσγενήσεται, τυχὸν ψιλαῖς ταῖς ἐμαυτοῦ χερσίν, ἢ μετὰ ξύλου, ἢ λίθου, ἢ ἑτέρου τινὸς ὀργάνου πλήξας ἀνεῖλον, ἢ ἐτραυμάτισα, δίρεκτος ὁ ἀκυΐλιος ἁρμόζει. εἰ δὲ σῶμα μὲν ἠδικήθη, οὐκ ἀπὸ σώματος δὲ γέγονεν ἡ βλάβη, δίδοται τὸν οὐτίλιον

plurimi fuerit, & actori fauere. Sed rectè ait Sabinus perinde habendam esse æstimationem, atque si & hic dictio Plurimi fuisset adiecta. Nam Plebs Romana, eo tempore quo inter Plebem & Patres erat dissensio, Aquilio (is tunc Tribunus plebis erat) hanc legem rogante, contenta fuit, quòd in primo capite dictione plurimi fuisset vsa.

¶ Ceterum generali aliqua regula cõcludendum est, quando directa actio in lege Aquilia, & quando vtilis competat. Atque illud in primis sciendum est, tunc legem sese dare, eique tunc locum esse, cùm corpus læsum fuerit. Sed si corpore datum est damnum, veluti nudis fortè manibus meis, aut ligno, lapide, vel alio quouis instrumento percussum occidi aut vulneraui, directa competet actio ex lege Aquilia. Sin autem læsum quidem corpus est, non tamen corpore datum est

est damnum, tunc vtilis datur actio: veluti, seruum aliquis meum aut pecus tādiu inclusit, vt fame perirent: aut iumentum meum ita egit, vt tantum iter non ferret, sed rumperetur: aut ouem meā vel bouem ita turbauit, vt in præcipitia fugeret & ibi periret, vel in aliquo læderetur: aut seruo aliquis alieno persuasit, vt in arborem ascenderet, vel in puteum descenderet, non ignorans difficilē & periculosum ascensum vel descēsum esse, & deinde seruus ascendens vel descendens cùm pes eum falleret, aut extinctus est, aut aliqua parte corporis læsus. Quid ergo, si quis alienum seruū de ponte, vel de ripa in flumen deiecerit, & is in aquas collapsus, suffocatus fuerit? Et directam hic ex lege Aquilia actionem dari oportet. Qui enim seruū impulit, is corpore suo occidit. Quòd

ἀκουίλιον χρή. οἷον τὸν ἐμὸν τις οἰκέτην, ἢ τὸ ἐμὸν πέκους ἐνέκλεισε ἐπὶ χρόνον, ὥς τε λιμῷ διαφθαρῆναι. ἢ τὸ ἐμὸν ὑποζύγιον, οὕτως ἤλασε σφοδρῶς, ὡς μὴ ἐνεγκεῖν τὸ πλῆθος τοῦ διαστήματος, ἀλλὰ διαρραγῆναι. ἢ τὸ ἐμὸν τυχὸν πρόβατον, ἢ τὸν ἐμὸν βοῦν, οὕτως τις διετάραξεν, ὡς ἐνεχθῆναι αὐτὸν κατὰ τοῦ κρημνοῦ καὶ ἀπολέσθαι, ἢ κατά τι βλαβῆναι. ἢ ἐάν τις τὸν ἀλλότριον οἰκέτην πείσῃ ἀνελθεῖν εἰς δένδρον, ἢ κατελθεῖν εἰς φρέαρ, εἰδὼς δυσχερεστάτην καὶ ἐπικίνδυνον τὴν ἄνοδον, ἢ τὴν κάθοδον εἶναι. εἶτα ὁ οἰκέτης ἀνιὼν ἢ κατιὼν ὠλίσθησε καὶ ἢ ἐτελεύτησεν, ἢ περί τι μέρος ἐβλάβη τοῦ σώματος. τί οὖν ὅτι τὸν ἀλλότριον οἰκέτην τις ἀπὸ γεφύρας ἢ ὄχθης ἔρριψε κατὰ τοῦ ποταμοῦ. εἶτα οὗτος κατενεχθεὶς ἐν τῷ ὕδατι ἐπνίγη. ἐνταῦθα τὸν δίρεκτον ἀκουίλιον διδόναι χρή. ὃς γὰρ ὤθησε τὸν οἰκέτην οἰκείῳ σώματι τὴν ἀναίρε-

σιν

σιν εἰργάσατο. εἰ δὲ μηδὲ σώματί τις ἔβλαψεν, οὐδὲ σῶμά ἐστι τὸ ἀδικηθὲν, ζημία δέ τις προσγέγονεν, ἐπεὶ δ᾽ ἀργοῦντος τοῦ διρέκτου, οὐκ ἐπειδὴ ἀπὸ σώματος, καὶ τοῦ οὐτιλίου δὲ, διὰ τὸ μὴ ἠδικηθῆναι σῶμα, ἤρεσε τὸν ζημιώσαντα ὑποπίπτειν τῇ in factum. οἷον τὸν ἐμὸν οἰκέτην, ὡς ἁμαρτάνοντά τι δεσμοῖς περιέβαλον. τοῦτον ἕτερος οἴκτῳ καὶ φιλανθρωπίᾳ κινηθεὶς, εἰδὼς ὅτι φεύξεται, λύσας ἀφῆκε τῶν δεσμῶν.

si neq; corpore suo quis damnum dederit, neque corpus sit quod lęsum est, & damnum tamen datū sit. Quum & directa actio cesset, quia corpore non sit dānum datum, neque locū habeat vtilis, quia corpus læsum nō sit: placuit eum, qui damnum dederit, actione in factū teneri. veluti, Seruū meum ob delictum in vincula conieceram, hūc aliquis humanitate ductus & misericordia motus, cùm futurum sciret vt fugeret, solutis vinculis dimisit.

## DE INIVRIIS. Titul. IIII.

Οὐκ ἐῶσι τοὺς ὑβριστὰς ἀτιμωρήτους οἱ νόμοι. γενικῶς δὲ iniuria λέγεται, πᾶν ὃ μὴ κατὰ νόμον γίνεται. quod non iure fit. ἰδικῶς δὲ λέγεται contumelia, a contemnendo, ἣν οἱ Ἕλληνες ὕβριν καλοῦσιν. λέγεται δὲ καὶ culpa, ὅπερ οἱ Ἕλληνες ἀδίκημα καλοῦσιν, ὥσπερ ἐπὶ τοῦ

NON committunt iura, vt impunè ferant, qui alteri iniuriam fecerint. Generaliter autē dicitur Iniuria, omne quod non iure fit. Specialiter verò, contumelia dicitur, a contemnendo, quam Græci ὕβριν appellant. Dicitur autem & culpa, quod Græci ἀδίκημα vocant, sicut

ſicut in lege Aquilia accipitur. Dicimus enim damnum iniuria datum. Aliquādo verò dicitur iniquitas & iniuſtitia, quā Grçci ἀδικίαν vocant. Cùm enim Pretor aut iudex nō iure contra quem pronuntiat, dicimus eum iniuriam accepiſſe. ¶ Porrò Iniuria committitur, nō facto tantùm, ſed etiam verbo. Et facto quidem, cùm quis aut pugnis pulſatus, aut fuſtibus vel loris cæſus fuerit, aut ſi cui factū fuerit conuitium. Conuitium autem eſt, cùm quis in celebri aliquo vrbis loco, contumelia tali me afficit, vt eam ob cauſam magna hominum turba cōcurrat. Facto etiam iniuria fit, cùm quis prudens ac ſciens ſibi me nihil debere, tanquam creditor in poſſeſsione bonorum meorum eſt. Verbo autem fit iniuria, cùm quis in infamiam meā vel proſam orationem, vel carmen, conſcripſit, vel compoſuit

ἀκυϊλίου, λέγομεν γὰρ damnū
iniuria datum, τουτέστι ζη-
μίαν ἢ ἀδίκως γινομένην. πότε
δὲ λέγεται iniquitas καὶ in-
iuſtitia, ἣν οἱ ἕλληνες ἀδι-
κίαν λέγουσιν. ὁπότε γὰρ ὁ
πραίτωρ, ἢ ὁ δικαστὴς, οὐ δι-
καίως κατά τινος ἀποφαί-
νεται, λέγομεν τὸν ἀδικηθέντα
iniuriam accepiſſe. ¶ Ἡ θ. Iniuria.
δὲ ὕβρις ἁμαρτάνεται οὐ μό-
νον ἔργῳ, ἀλλὰ καὶ λόγῳ. καὶ
ἔργῳ μὲν, ὁπότε τις πὺξ ἢ ῥά-
βδοις, ἢ ἱμάντι τυπτηθῇ, εἴτε
κονδύλιον τις ὑποστῇ. Conui-
tium δὲ ἐστιν, ἡνίκα τις ἐν ἐ-
πισήμῳ τόπῳ τῆς πόλεως, ὕ-
βριν ἐπαγάγῃ μοι, ὥστε καὶ
ὄχλον ἐντεῦθεν συναχθῆναι.
ἔργῳ δὲ γίνεται ἡ ὕβρις, καὶ
ἡνίκα τις εἰδὼς, ὡς οὐδὲν αὐ-
τῷ ἐποφείλω, ἐπὶ νομὴν γέ-
γονε τῶν ἐμῶν πραγμάτων, ὡς
δὴ δανειστής. λόγῳ δὲ ἐάν τις
πρὸς ἐμὴν ὕβριν πεζὸν λό-
γον ἔγραψεν, ἢ ἔμμετρον ἔ-
πος, ἢ συντέθηκε κατ' ἐμοῦ,
ἢ ἐξέδωκε. ἢ οὐδὲν μὲν τούτων

ἔπραξε· δόλον δὲ ἐποίησεν, ἵνα τι τούτων γένηται. ἕκαστος γὰρ τούτων κρατεῖται τῇ iniuriarum. οἷον Πρῶτος ἔγραψε ἔπος ὑβριστικὸν κατ' ἐμοῦ, Σεκοῦνδος συνέθετο, Τέρτιος τοῦτο ἐκδέδωκε, Κουάρτος οὐδὲν τούτων μὲν ἔπραξε, δόλῳ δὲ οἰκείῳ παρεσκεύασεν, ἢ γραφῆναι, ἢ συντεθῆναι, ἢ ἐκδοθῆναι τὴν κατ' ἐμοῦ ὕβριν. εἰ δὲ καί τις περιιούσῃ τῇ οἰκοδεσποίνῃ, ἢ τῷ πραιτεξτάτῳ, ἢ τῇ πραιτεξτάτῃ περιιούσῃ, τουτέστι τῷ νέῳ ἢ τῇ νέᾳ. οἱ γὰρ νέοι ἄγοντες τὴν ἡλικίαν τὴν πραιτέξτα ἐχρῶντο, φόρημα δὲ τοῦτο ῥωμαϊκόν. ἐὰν οὖν ἑνὶ τῶν προειρημένων περιιόντι παρακολουθῇ τις συνεχῶς, μηδὲν φθεγγόμενος, ἤγουν καὶ λέγων τι ἐπὶ τῷ τοὺς σώφρονας αὐτῶν διαστρέψαι τρόπους, κατέχεται τῇ iniuriarum. καὶ ἑτέροις δὲ πλείστοις τὴν ὕβριν ἁμαρτάνεσθαι τρόποις τῶν ὡμολογημένων ἐστίν. ¶ Ὑφίσται

§. Patitur.

in me aut ediditaue, eorum quidem nihil fecit, sed dolo ipsius factum est, vt quid eorum fieret. Horum enim singuli actione iniuriarū tenentur. Velut Primus famosum in me carmen scripsit, Secundus cōposuit, Tertius id edidit, Quartus verò, nihil eorum quidem cōmisit, sed dolo fecit, vt aut scriberetur, aut componeretur, aut ederetur hęc iniuria in me emissa. Sed & si quis matremfamilias in publico euntem, aut prætextatum prętextatámve in publico euntes, hoc est, puerum vel puellam: (nam qui in minori ætate erant, prætexta vtebantur, Ge stamen id erat Romanorum). Si quis ergo aliquem horū in publico euntem assectetur, nihil omnino proloquens, aut fortè etiam dicens aliquid, quo probi eorum mores corrumpantur, actione iniuriarum tenetur. Sed & aliis quā plurimis modis iniuriam admitti, in cōfesso est. ¶ Patitur

autē quis iniuriam, non solùm per semetipsum, sed etiam per liberos suos, quos in potestate habet. Item per vxorem. Ex contrario autē, si maritus iniuria sit adfectus, vxor iniuriarum agere nō potest. Id enim magis placuit, quãuis aliqui contra senserint. Sic igitur, cùm aut liberorum aliquis quem in potestate habeo, aut vxor mea iniuriam accepit, ego iniuriarum agere possum. Itaq; si filiam in potestate habeam, quæ nupta sit Titio, túque iniuriam ei feceris: & ipsa, quę iniuriam accepit, & Titius maritus eius, & ego pater ipsius, tecum actionem iniuriarū habemus. E diuerso, si maritus iniuria sit adfectus, vxor iniuriarum agere non potest: quoniam à maritis vxores, non ab vxoribus maritos defendi ęquum est. Sed & socer, nurus nomine quæ filio ipsius quem in potestate habet, denupsit, nihil prohibet

δὲ τις ὕβριν, οὐ μόνον δι' ἑαυτοῦ, ἀλλὰ καὶ διὰ τῶν οἰκείων παίδων, οὓς ὑπεξουσίους ἔχει, καὶ διὰ τῆς γαμετῆς. ἐκ δὲ τοῦ ἐναντίου, ἐὰν ὁ ἀνὴρ ὑβρισθῇ, ἡ γυνὴ τὴν iniuriarum οὐ δύναται κινεῖν. τοῦτο γὰρ ἤρεσεν, εἰ καί τινες ἐναντιώθησαν. ὥς τε οὖν τοῦ ἐμοῦ ὑβρισθέντος ὑπεξουσίου παιδὸς, δίδοταί μοι ἡ iniuriarum, περὶ ὕβρεως, ἢ καὶ τῆς γαμετῆς. ἀμέλει, ἐὰν ἡ ἐμὴ ὑπεξουσία θυγάτηρ γαμηθῇ Τιτίῳ, σὺ δὲ ταύτην ὑβρίσῃς, καὶ αὐτὴ ὑβρισθεῖσα, καὶ Τίτιος ταύτης ἀνὴρ, κἀγὼ δὲ ὁ ταύτης πατὴρ ἕξομεν κατὰ σοῦ τὴν iniuriarum. ἐκ δὲ τοῦ ἐναντίου, ἐὰν ὁ ἀνὴρ ὑβρισθῇ, ἡ γυνὴ τὴν iniuriarum οὐ δύναται κινεῖν· δεφενδεύεσθαι γὰρ ὑπὸ τῶν ἀνδρῶν τὰς γυναῖκας, οὐ μὴν τοὺς ἄνδρας ὑπὸ τῶν γυναικῶν δίκαιόν ἐστι. καὶ πενθερὸς δὲ τῆς νύμφης ὀνόματι τῆς γεγαμημένης τῷ ὑπεξουσίῳ παιδὶ αὐτοῦ, ἀκωλύτως κινήσει τὴν

§. Seruis. iniuriarum. ¶ Ἐὰν ὁ ἐμὸς οἰκέτης ὑβρισθῇ, οὐδεμία αὐτῷ ἀγωγὴ ἁρμόζει. ἐξ ὧν δὲ αὐτὸς ὑβρισθῇ, δοκῶ ἐγὼ ὁ δεσπότης ὕβριν ὑποστῆναι. ἀλλ' οὐχ οἱ τινὲς τρόποι υἱοῦ, ἢ γαμετῆς ὑβρισθέντων, δίδοασί μοι τὴν iniuriarum, οἱ αὐτοὶ καὶ ἐπὶ οἰκέτου. ἐπὶ γὰρ δούλου τότε ὑβρίζεσθαι δοκῶ, ἡνίκα σκαιόν τι κατ' αὐτοῦ ἐπλημμελήθη, καὶ ὅπερ φανερῶς εἰς ὕβριν ὁρᾷ τοῦ δεσπότου. οἷον ἐάν τις τὸν ἐμὸν μαστίξῃ οἰκέτην. ἁρμόζει γὰρ ἐπὶ τούτου τοῦ θέματος ἡ iniuriarum. εἰ δέ τις conuitium ποιήσῃ τῷ ἐμῷ οἰκέτῃ, ἢ πὺξ αὐτὸν τυπτήσῃ, οὐδεμία μοι δίδοται ἀγωγή.

§. Si cum. ¶ Ἐπίκοινον εἶχον οἰκέτην μετὰ Τιτίου, ἐτύπτησας αὐτὸν, καὶ ἐμοὶ καὶ Τιτίῳ ἡ iniuriarum ἁρμόζει. καὶ οὐ καθ' ὃ μέρος τοῦ οἰκέτου δεσπόζω ἡ τῆς ὕβρεως γίνεται διατίμησις. ἀλλ' ἐκ τῆς ποιότητος τοῦ προσώπου ἑνὸς ἑκάστου τῶν δεσποτῶν ἡ τῆς ὕβρεως

quo minus iniuriarum agat. ¶ Si seruus meus iniuria adfectus fuerit, nulla ei actio competit, sed iniuriam quę illi facta est, ego dominus passus esse videor. Verùm non quibus modis per liberos vel vxorẽ iniuria adfectos, iniuriarum mihi datur actio: iisdem in seruo dãda est. Tunc enim demum per seruum iniuriã pati videor, cùm atrocius in eũ quid cõmissum est, & quod apertè ad domini contumeliã spectet. Veluti, si quis seruum meum flagellis ceciderit. Nam in hoc casu iniuriarũ actio mihi competit. Sin autẽ vel pugno eum percusserit, vel conuitium ei fecerit, nulla mihi datur actio.

¶ Cõmunem cum Titio seruum habebam. Eum tu verberasti & mihi & Titio iniuriarum actio competit. Neque verò pro ea parte, qua dominus sum serui, fit iniuriæ æstimatio, sed ex qualitate & persona dominorum iniuria æstimatur.

tur. Quid enim si alter è dominis Senator sit, & alter plebeius? Quod si eiusdem serui Titius vsumfructum, & Mæuius proprietatẽ habeat, & tu eum iniuria afficias, in iuriarũ soli Meuio teneberis. ¶ Liber aliquis bona fide seruiebat, hũc ego iniuria affeci, non tibi competet iniuriarũ actio: sed ipsi qui bona fide seruit, dabitur, vt is suo nomine agere possit. Id autem dico, nisi si fortasse, in tuam contumeliam ei iniuriã fecerim. Tunc enim & tibi dabitur actio iniuriarum. Idémque dicimus, si seruus alienus bona fide tibi seruiat. Hoc enim iniuriam passo, tum demum tibi dabitur actio iniuriarũ, cùm docere poteris id in tuam contumeliam factum esse. ¶ Pœnæ autem iniuriarum ex lege Duodecim Tabularum, si cuius membrum ruptum fuerat, erat

κρίνεται. τί γὰρ εἰ ὁ μὲν ἐστι συγκλητικὸς τῶν δεσποτῶν, ὁ δὲ ἰδιώτης; τοῦ αὐτοῦ οἰκέτου τίτιος μὲν ἔχει τὸν vsumfructũ, μαίβιος δὲ τὴν δεσποτείαν, ὕβρισας τοῦτον, ἔνοχος ἔσῃ τῇ iniuriarũ μόνῳ τῷ μαιβίῳ. ¶ Ἐλεύθερός τις ἐδούλευε bona fide. ὕβρισα τοῦτον ἐγὼ· οὐχ ἁρμόσει σοι ἡ iniuriarum, αὐτῷ δὲ τῷ bona fide δουλεύοντι δοθήσεται. ὥς τε αὐτὸν suo nomine κινεῖν ταύτην. ταῦτα δὲ λέγω, εἰ μὴ ἄρα σαφῶς διὰ τὴν εἰς σε καταφρόνησιν, ὑβριστικῶς αὐτῷ προσῆλθον. τότε γὰρ καὶ σοὶ δοθήσεται ἡ iniuriarum. τὸ αὐτὸ φαμὲν καὶ ἡνίκα ἀλλότριος οἰκέτης bona fide σοὶ ἐδούλευεν. ὑβρισθέντος γὰρ αὐτοῦ, τηνικαῦτα δοθήσεταί σοι ἡ iniuriarum, ἡνίκα ἀποδείξεις διὰ τὴν εἰς σε καταφρόνησιν πεπρᾶχθαι ταῦτα. ¶ Ἡ δὲ τῆς iniuriarum ποινὴ ἐκ τοῦ δωδεκαδέλτου νόμου, εἰ μὲν μέλος τινὸς ἐρράγη ταυτοπάθεια ἦν. τὸ αὐτὸ

θ. Sed si libero.

ι. Pœna.

γὰρ ὑφίστατο, ὁ μέλος ῥήξας τινός. εἰ δὲ ὀστοῦν ἔκλασεν, εἰς χρήματα ἐγίνοντο αἱ καταδίκαι. καὶ ἦν τοῦτο ἀφόρητον τοῖς παλαιοῖς, διὰ τὴν προοῦσαν αὐτοῖς πενίαν. μετὰ δὲ ταῦτα οἱ πραίτωρες ἀναιρεθείσης τῆς ἀπὸ τῶν δυωδεκαδέλτου τιμωρίας ἐπινενοημένης, τοῖς ὑβρισθεῖσιν ἐπέτρεπον διατιμήσασθαι τὴν ὕβριν, ἣν ὑπέστησαν, ὅσης βούλονται ποσότητος. καὶ τυχὸν αὐτὸς ὁ ὑβρισθεὶς ἔλεγεν, ὅτι ΔΙΑΤΙΜΩΜΑΙ ΤΗΝ ΥΒΡΙΝ ΗΝ ΥΠΕΣΤΗΝ ΕΚΑΤΟΝ ΝΟΜΙΣΜΑΤΩΝ. καὶ ὁ τῶν iniuriarum ἀκροώμενος, ποτὲ μὲν εἰς τοσοῦτον κατεδίκαζεν, τουτέστιν εἰς τὰ ἑκατόν. ποτὲ δὲ εἰς ἐλάττονα ποσότητα τὴν καταδίκην ἔφερεν, ὡς ἂν αὐτῷ δίκαιον ὤφθη. ἀλλ' ἡ μὲν ὑπὸ τῶν δυωδεκαδέλτου εἰσενεχθεῖσα ποινή, εἰς ἀσυνήθειαν ἐχώρησεν. ἡ δὲ ἐπὶ τῶν πραιτώρων ἐπινοηθεῖσα ἐν τοῖς δικαστηρίοις συ-

talio. Idem enim patiebatur, qui membrum cuiuspiam rupisset: sin vero os fregeras, in pecuniam fiebant condemnationes. Quod & ipsum veteribus graue erat, ob magnam ipsorum paupertatem Postea autem Prętores, sublata pœnis, quæ à Lege Duodecim Tabularum inuenta fuerant, permittebant his qui passi erant iniuriam, vt iniuriam quam passi fuerant, quanticumque vellent, ęstimarent. Et fortè dicebat is, qui adfectus erat iniuria: INIVRIAM QVAE MIHI ILLATA EST, CENTVM AVREIS AESTIMO. Atque is, ad quem ea de re in ius ibatur, modò tanti condemnabat, id est, in centum aureos, aliàs in minorem summam condemnationem moderabatur, prout ei iustum visum fuerat. Sed pœna quidem quę à Lege Duodecim Tabularum introducta est, in desuetudinem abiit: quæ verò à Prætoribus inuenta est, frequēs

est

est in Iudiciis. Nam secundùm gradum dignitatis vitæq; honestatê eius, qui iniuriam accepit, aliàs crescit, aliàs minuitur iniuriæ æstimatio. Finge enim ab eodem homine eãdem iniuriam afferri viro alicui Senatorio, & Plebeio cuipiam honestè viuenti, & item alicui infimæ sortis homini. Nempe scilicet, senatoris iniuria (verbi gratia) C L. aureis æstimabitur: plebeij verò honestioris C. humilioris autem L. Atque hi æstimationum gradus seruantur & in seruis iniuria adfectis. Aliter enim iniuria æstimabitur in seruo, cui omniũ mearum rerum procurationem credidi: & aliter in seruo, cui vnius tantum actus administrationem commisi. Tradita fortè cura possessionũ mearũ, quæ hoc aut illo in loco sitæ sunt: & aliter in vilissimo ac mediastino & cõpedito seruulo.

¶ Atqui neque lex Cornelia commisit,

νεχής ἐστι. κατὰ γὰρ τὸν βαθμὸν τοῦ ἀξιώματος, καὶ τὸ ἀξιόπιστον τῆς πολιτείας τοῦ ὑβρισθέντος, ποτὲ μὲν αὔξει, ποτὲ δὲ μειοῦται ἡ τῆς ὕβρεως διατίμησις. ἔσθ' ὅτε γὰρ ἡ αὐτὴ ὕβρις, ὑπὸ τοῦ αὐτοῦ προσφέρεται συγκλητικῷ ἀνδρὶ καὶ ἰδιώτῃ σεμνῶς πολιτευομένῳ. τοῦ μὲν συγκλητικοῦ λόγου χάριν ἡ ὕβρις διατιμηθήσεται ἑκατὸν πεντήκοντα νομισμάτων. τοῦ δὲ σώφρονος ἰδιώτου ἑκατόν. τοῦ δὲ ἀσέμνου πεντήκοντα. οὕτως οἱ τῶν διατιμήσεων βαθμοί, σώζονται καὶ ἐπὶ οἰκετῶν ὑβρισθέντων. ἑτέρως μὲν γὰρ διατιμηθήσεται ἡ ὕβρις, ἐὰν τὸν διοικητὴν οἰκέτην πάσης μου τῆς περιουσίας ὑβρίσῃς. καὶ ἑτέρως ἡνίκα ὑβρίσῃς τὸν οἰκέτην μου, ᾧ μίαν ἐνεχείρησα φροντίδα, τυχὸν διοικητὴν αὐτὸν ποιήσας, τῶν ἐν τῷδε τῷ τόπῳ διακειμένων μου κτημάτων. ἄλλως δὲ ἐπὶ τοῦ ἀτελεστάτου καὶ ἐν δεσμοῖς ὄντος οἰκέτου. ¶ Οὐδὲ ὁ κορνήλιος

θ. Sed & lex.

νόμος περὶ ὕβρεως διαλεχθῆναι ἠμέλησεν. ἐπενόησε γὰρ καὶ αὐτὸς τὴν iniuriarum. ἥ τις ἁρμόζει ἐὰν ἐλεύθερος λέγῃ ἑαυτὸν ὠθῆναι ἢ τυπτηθῆναι. ἢ ὅτι βίᾳ τις εἰσῆλθεν εἰς τὸν αὐτοῦ οἶκον. τὸν δὲ αὐτοῦ οἶκον νοοῦμεν, εἴτε ἐν ἰδίᾳ οἰκείᾳ ᾤκει, εἴτε μισθοῦ, εἴτε προῖκα, εἴτε ὡς ξένος ἐδέχθη.

§. Atrox. ¶ Τραχεῖα δὲ ὕβρις κινεῖται, ἢ ἀπὸ πράγματος, ἢ ἀπὸ τόπου, ἢ ἀπὸ προσώπου. ἀπὸ πράγματος, οἷον ἐάν τις ὑπό τινος δέξηται τραύματα, ἢ ῥάβδοις τυπτηθῇ. ἀπὸ τόπου, οἷον ἐάν τις ἐν θεάτρῳ, ἢ ἐν ἀγορᾷ, ἢ ἐπ' ὄψεσι τοῦ πραίτωρος, τουτέστι τοῦ ἄρχοντος ὕβριν ὑποστῇ. ἀπὸ προσώπου, οἷον ἐὰν ἄρχων ὑβρισθῇ, ἢ ἐὰν συγκλητικός τις ἀπὸ εὐτελοῦς ὕβριν ὑποστῇ. ἢ τοὺς ἀνιόντας οἱ παῖδες, ἢ τοὺς πάτρωνας ὑβρίσωσιν οἱ ἀπελεύθεροι. ἑτέρως γὰρ ἡ τοῦ συγκλητικοῦ, καὶ ἡ τοῦ γονέως, καὶ ἡ τοῦ πάτρωνος, ἑτέρως δὲ ἡ τοῦ ἐξωτικοῦ καὶ εὐτελοῦς προσώπου

vt iniuriam præteriret. Nam & ea actionem iniuriarum introduxit, quæ competit, si liber homo pulsatum se aut verberatum queratur, aut aliquem vi in domum suam venisse dicat. Domum autē cuiusque intelligimus, siue in propriis ædibus habitet, siue in cōductis, siue gratis, siue hospitio exceptus sit.

¶ Atrox iniuria iudicatur: vel ex facto, vel ex loco, vel ex persona. Ex facto, veluti, si quis à quopiam vulnera acceperit, aut fustibus cæsus sit. Ex loco, veluti, si cui in Theatro, aut in foro, vel in conspectu Prætoris, id est, magistratus iniuria facta sit. Ex persona, veluti si magistratus iniuriā passus fuerit, aut si Senatori ab humili persona iniuria illata sit, aut si parentes iniuria affecerint liberi, vel patronos liberti. Aliter enim senatoris, & parentis patronique, & aliter extranei, vel humi-

sis personæ æstimatur iniuria Nonnunquam & vulneris locus atrocẽ facit iniuriam, veluti siquis in oculo percussus fuerit. Nec interesse putamus patrisfamilias an filiofamilias hæc iniuria adferatur. Nam in omnibus atrox hæc iniuria putanda est.

¶ Illud autem velut in summa sciendum est, de omni iniuria eum, qui passus est, posse, vel criminaliter iniuriarum agere, vel pecuniariè siue ciuiliter. Et si quidem ciuiliter agitur, æstimatio secundum ea, quę diximus, fiet, & in tãtum condemnabitur reus. Sin autem criminaliter, officio Iudicis continetur, vt extraordinariè, quam velit, reo pœnam imponat: aut relegationem fortè, aut partis bonorum publicationem. Hoc tamen seruandum vbique est, quod D. Zenonis constitutio ne est introductum, vt viris illustribus & qui maiore dignitate præditi sunt, vel

σώπου ὕβρις διατιμᾶται. ἔσθ' ὅτε καὶ τόπος πληγεὶς τραχεῖαν ἀποφαίνει τὴν ὕβριν. οἷον ἐάν τις τὸν ὀφθαλμὸν πληγῇ. οὐ διαφέρει δὲ πότερον αὐτεξουσίῳ, ἢ ὑπεξουσίῳ ἡ ὕβρις αὕτη προσηνέχθη. ἐπὶ πάντων τραχεῖα ὕβρις νομισθήσεται. ¶ Ὡς ἐν τέλει δὲ ἰστέον, ὅτι δέδοται παρρησία τῷ ὑβρισθέντι εἰ βούλεται ἐγκληματικῶς κινεῖν τὴν iniuriarũ, ἢ χρηματικῶς, ἤτοι πολιτικῶς. καὶ εἰ μὲν πολιτικῶς ταύτην κινήσῃ, καὶ ἡ διατίμησις τῆς ὕβρεως, κατὰ τὰ εἰρημένα γενήσεται. καὶ εἰς τοσοῦτον ἡ καταδίκη ἐπιτεθήσεται. εἰ δὲ ἐγκληματικῶς, ὀφφίκιον ἔσται τοῦ δικαστοῦ, ὥστε ἔξωθεν ἣν βούλεται ποινὴν ἐπαγαγεῖν τῷ ὑβρίσαντι· τυχὸν ἐξορίαν, ἢ εἰς μέρος δήμευσιν. φυλαττέσθω δὲ πανταχοῦ τὸ εἰσενεχθὲν ὑπὸ διατάξεως τοῦ τῆς θείας λήξεως Ζήνωνος. ὥστε τοῖς ἰλλουστρίοις, καὶ τοῖς μείζοσι κατὰ τὸ ἀξίωμα, ἐξεῖναι

θ. In summa.

διὰ προκουράτωρος τὴν iniuriarum ἐγυμνάζειν ἐγκληματικῶς. καί τοι διὰ προκουράτωρος ἔγκλημα κινεῖν κεκώλυταί τις. διὰ προκουράτωρος δὲ ἔξεστι τοῖς εἰρημένοις ὑποδέχεσθαι τὴν iniuriarum, καθὰ τῇ αὐτῇ περιέχεται διατάξει. σαφέστερον δὲ πάντα μαθεῖν δυνατὸν τὸν ταύτην ἀναγνοῦντα διάταξιν.

§.Non solū ¶ Οὐ μόνον δὲ ὁ τυπτήσας με τῇ iniuriarum κρατεῖται, ἀλλὰ κἀκεῖνος οὗ κατὰ δόλον τοῦτο γέγονεν, ἢ ὃς ἐσπούδασε τυφθῆναί με.

§.Hęc actio ¶ Ἡ iniuriarum ἀποσβέννυται τῇ παραποιήσει. ὅθεν ἐὰν τις ὑβρισθεὶς καταφρονήσῃ τοῦ γινομένου, τουτέστι μὴ ἀγανακτήσῃ ἐπὶ τῷ πραχθέντι, μηδὲ ὡς δεινὸν τοῦτο δέξηται, μετὰ τὸ οἰκεῖον λόγον ἅμα τῷ ὑβρισθῆναι, τηνικαῦτα ἐκ μεταμελείας τὴν συγχωρηθεῖσαν ὕβριν, οὐ δύναται κινεῖν.

per procuratorem actionem iniuriarū exercere liceat: quāuis nemo per procuratorem, reum criminis facere possit. Per procuratorem quoque his, quos iam diximus, actionem iniuriarum excipere licet: sicut eadem constitutione cautum est. Sed hęc omnia clarius apertiúsque cognoscet, qui dictam constitutionem legerit.

¶ Non solum autem is iniuriarum tenetur, qui me percussit, verumetiam is, cuius dolo id factū est, aut qui procurauit, vt ego percuterer. ¶ Iniuriarum actio dissimulatione tollitur. Itaq; siquis iniuria affectus, id contempsit, hoc est, non indignatus est, neque vt rem indignam iniquo animo & grauiter tulit, tūc ex pœnitētia remissam iniuriam recolere non potest.

DE

## DE OBLIGATIONIBVS QVAE EX quasi delicto nascuntur. Titul. V.

CVM dictum sit de actionibus, quae ex delicto nascuntur, dicamus & de his quę ex quasi delicto sũt. Cùm inter me & Titium lis esset, Męuius ius de ea re dicebat. Et mihi iniuriam fecit. Nam fortè cum nihil deberẽ, cõdemnauit me: &, quod à iurisconsultis dicitur, litem suã fecit. Videamus contractus id sit, an quasi contractus, an verò delictum. Et quidem contractus non est. Nam contractus vtriusq; consensum requirit. Porrò non de consensu meo iudex mihi iniuriam fecit. Neque rursus est quasi contractus. Nam quasi contractus quiuis vtriusq; consensum non requirat, attamen vt iure ciuili licitus sit ac permissus, oportet: quemadmodum videmus in obligatione negotiorũ gestorũ. quę ratio hîc cessat. Neque enim permissum est iudici, vt quem velit liti

Εἰπόντες τὰς ἀπὸ δελίκτων ἀγωγάς, εἴπωμεν καὶ τὰς ὡσανεὶ ἀπὸ δελίκτων. ἐμοὶ καὶ Τιτίῳ ἐδίκαζε Μαίβιος. ἠδίκησέ με. τυχὸν γὰρ μηδὲν ἐποφείλοντά με κατεδίκασε. καὶ τὸ λεγόμενον παρὰ τοῖς νομικοῖς litem suam ἐποίησε. τουτέστι καθ' ἑαυτοῦ δίκην ἤγειρε. σκοπῶμεν ἄρα τὸ πότερον κοντράκτον ἐστίν, ἢ κουάσι κοντράκτον, ἢ δέλικτον. καὶ πάντως κοντράκτον οὐκ ἔστι. τὸ γὰρ κοντράκτον, τῶν δύο τὴν συναίνεσιν ἀπαιτεῖ. οὐ κατὰ συναίνεσιν δὲ ἐμὴν ἠδίκησέ με ὁ δικαστής. οὐ δὲ κουάσι κοντράκτον. τὸ γὰρ κουάσι κοντράκτον, εἰ καὶ μὴ τῶν δύο τὴν συναίνεσιν ἀπαιτεῖ, ἀλλ' οὖν ὀφείλει παρρησίαν ἔχειν ἐκ νόμων, εἰς τὸ γίνεσθαι, ὥσπερ ἐστίν, ἐπὶ τῶν negotiorum gestorum. ἀργεῖ δὲ οὗτος ὁ λόγος ἐνταῦθα. οὐδεμία γὰρ δέδοται παρρησία τῷ δικαστῇ ἀδικεῖν ὃν βούλεται

τῶν

τῶν δικαζομένων. ἀλλ' οὔτε δέλικτον τοῦτο. ἔσθ' ὅτε γὰρ ἐξ ἀπειρίας τοῦ δικάζειν, οὐ κακῇ διανοίᾳ τοῦτο ἔπραξεν. ὅθεν ἐπειδὴ ἥμαρτέ τι ὁ δικαστὴς, ὡς ἀπὸ τοῦ κουάσι δελίκτου κατέχεται· καὶ εἰς τοσοῦτον καταδικάζεται, εἰς ὅσον ἂν δοκιμάσῃ ὁ δικάζων αὐτῷ καὶ τῷ ἀδικηθέντι, ζελῶσαι αὐτῷ λόγῳ ποινῆς καταβάλλειν. τῷ γὰρ βλαβέντι ἡ in factum

8. Item is ex cuius. ἁρμόζει. ¶ Ὑπὸ τὸ κουάσι δέλικτον ἀνάγεται κἀκεῖνο τὸ θέμα. ἔμενον ἐγὼ ἔν τινι οἰκίᾳ, ἧς ὑπῆρχον δεσπότης, ἢ καὶ μισθοῦ ταύτην εἶχον, ἢ προῖκα· ἔρριψέ τις ἐντεῦθεν λίθον, ἢ κέραμον, ἢ ἐξέχεεν ὕδωρ, καί τις τῶν παριόντων ἐβλάβη. ἐναχθήσομαι ἐγὼ τῇ in factum. διὰ τοῦτο οὐδὲ κυρίως δέλικτον τοῦτο ἐστίν. ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον, διὰ τὸ ἑτέρου πταῖσμα οἰκέτου τυχὸν, ἢ ἐλευθέρου συνοικοῦντός μοι καὶ ταῦτα ποιήσαντος, ἐγὼ κρατοῦμαι.

gancium iniuria adficiat. [illegible] qui nec delictum est. Quoniam interdum fieri potest, vt non malo animo, sed iuris dicendi imperitia & per imprudentiam tale quid committat. Vnde quoniam aliquid deliquit, quasi ex delicto tenetur: & tanti cōdemnatur, quātum iudici, qui inter eum, & illum cui iniuria facta est, ius dicit, æquum videtur, eum alteri pœnę nomine dare oportere. Nam ei qui lęsus est, actio in factum cōpetit. ¶ Ad quasi delictum & illa species pertinet. Habitabam in domo quapiam, cuius fortè dominus erā, aut mercede eam habebam, vel gratis. Ex ea tegulam aliquis deiecit aut lapidem, vel aquam effudit, ita vt alicui eorum, qui transibant, noceret: In factum mecum agetur. Ideo autem hoc non propriè delictū esse intellegitur, quia plerumque ob alterius culpā, serui forsitā, aut etiā liberæ personę, quæ mecum habitat, à quibus id factū sit, ego teneor.

Huic

Huic & illa species similis est. Habitabā ego in his ędibus, porrò fenestrę earū in locum publicum spectabāt, quà cuiq; liberum erat iter facere. Porrò in mea fenestra positū erat aliquid aut suspensū, quod si caderet, nocere alicui poterat. Quo casu pœna decem aureorum cōstituta est. In priore verò specie, cùm quid aut deiectum est aut effusum, dupli, quantum damni datum fuerit, actio est. Quòd si liber homo illac preteriēs occisus fuerit, in quinquaginta aureos fit condemnatio. Sin verò viuat, nocitúmque ei esse dicatur, in tantum condemnabitur domus illius, ex qua id factum fuerit, habitator, in quantum ob eam rem eum cō dēnari iudici æquū videbitur oportere. Cōputare enim debet iudex & mercedes, quæ medicis prętantur: & ceteros sumptus, qui in curationē facti sunt. Ad hæc & operas,

ἔοικε τούτῳ τῷ θέματι κἀκεῖνο. ᾤκουν ἐγὼ ἐν τῇ δὲ τῇ οἰκίᾳ. αἱ δὲ θυρίδες αἱ ἐμαὶ ἑώρων εἰς τόπον δημόσιον, δι' οὗ τοῖς βουλομένοις ἐξῆν παριέναι. ἐν τῇ θυρίδι τῇ ἐμῇ ἐτέθη τι, ἤγουν ἐκρεμάσθη, ὥστε καὶ πεσὸν, ἠδύνατο τὸν παριόντα βλάψαι. ἔστι δὲ ποινὴ δέκα νομίσματα ἐν τούτῳ τῷ θέματι. ἐν δὲ τῷ προλαβόντι, ἔνθα ἐρρίφη τι καὶ ἐξεχύθη, τὸ διπλάσιον τῆς ζημίας, ἣν ὁ βλαβεὶς ὑπέστη. εἰ δὲ ἐλεύθερος παριὼν ἐντεῦθεν ἐφονεύθη, εἰς πεντήκοντα νομίσματα ἐστὶν ἡ καταδίκη. εἰ δὲ ζῇ μὲν, βλάπτεται δὲ, εἰς τοσοῦτον καταδικασθήσεται ὁ ἐν τῇ οἰκίᾳ μένων, ἐξ ἧς ταῦτα γέγονεν, εἰς ὅσον ἂν συνίδῃ ὁ δικάζων χρῆναι αὐτὸν καταδικασθῆναι. ὀφείλει γὰρ ὁ δικαστὴς συμψηφίσαι τὸν τοῖς ἰατροῖς παρεχόμενον μισθὸν, καὶ τὰ λοιπὰ δαπανήματα, ἅ τινα περὶ τὴν ἐπιμέλειαν γέγονεν. ἔτι δὲ καὶ ὧν ἐστερήθη ὁ παριὼν. τυχὸν

χὸν γὰρ τέκτων ἦν. εἶτα πληγεὶς τὴν χεῖρα ἐργάσασθαι τέως οὐκ ἠδύνατο. σκοποῦμεν πόσον ἤμελλε λαμβάνειν ἐργαζόμενος ἐν ταύταις ταῖς ἡμέραις, ἐν αἷς διὰ τὴν πληγὴν ἐργάσασθαι οὐκ ἠδυνήθη. ἢ καὶ εἰ γέγονεν ἀχρεῖος, οὐ μόνον τοῦ παρελθόντος χρόνου, ἀλλὰ καὶ τοῦ μέλλοντος, τὰς ὀπέρας διατιμώμεθα.

§.Si filiusfam. ¶ Ὁ ἐμὸς ὑπεξούσιος υἱὸς ᾤκει ἐν οἰκείᾳ, κεχωρισμένος ἀπὸ τοῦ ἰδίου ἐμοῦ δηλαδὴ πατρός. ἐκ τῆς διαίτης αὐτοῦ ἐρρίφη τι, ἢ ἐξεχύθη, ἢ ἐκρεμάσθη ἐκ τοῦ αὐτοῦ θυρίδος, ἢ καὶ ἐτέθη, οὗ ἡ κατάπτωσις ἐπικίνδυνος τοῖς παριοῦσιν. ἤρεσε τῷ Ἰουλιανῷ κατὰ τοῦ πατρὸς μηδεμίαν εἶναι ἀγωγήν, ἀλλὰ κατ' αὐτοῦ τοῦ παιδός. τὰ αὐτὰ φαμέν, ὅτε ἡνίκα ὁ ἐμὸς ὑπεξούσιος δικάσας ἠδίκησέ σε. κατ' αὐτοῦ γὰρ ἕξεις τὴν in factũ. οὐ κατ' ἐμοῦ τοῦ πατρός.

§.Itẽ exercitor. ¶ Ἐξερκίτωρ τις ἦν νεώς, ἢ

quibus caruit is, qui inter transeundum læsus est. Quoniam fortè faber erat, & cùm manui eius nocitum esset, opus interim facere non potuit. Spectamus enim, quantum his diebus, per quos ob afflictã manum ab opere cessauit, lucri facturus ex labore suo fuerit. Sed & si inutilis factus est, nõ solum præteriti temporis, sed etiam futuri operas æstimamus. ¶Filius meus quem in potestate habebam seorsum à me patre suo in ædibus quibusdam habitabat. Ex cœnaculo eius deiectũ quid est vel effusum, aut in fenestra eius positum quid est aut suspensum, cuius casus prætereuntibus nocere possit: placuit Iuliano nullam esse aduersus patrem actionem, sed aduersus ipsum filium. Idémque dicimus, cùm tibi is, quem in potestate mea habeo, iniuriam iudex fecerit. Quoniã cum ipso in factũ agere poteris, non mecũ, quãuis pater eius sim. ¶ Aliquis exercitor

nauis

navis erat, aut cauponæ, aut stabuli. Si in caupona, aut navi, vel stabulo dolo aut furto cuiusquã damnum mihi datũ fuerit: ipse actione in factum mihi tenebitur, velut ex quasi delicto. Dumtaxat, si nihil ab eo fraudis admissum sit, sed ab aliquo ex ministris aut famulis, quorũ opera navim, cauponam, aut stabulum exercet. Nam ex contractu dominum navis, cauponę aut stabuli obligatum esse, non posis dicere. Neque enim quicquam cum eo contractum est. Quoniã tamen nonnihil id culpæ eius adscribi potest, quòd opera malorum hominũ vtatur, ideo quasi ex delicto tenetur.

¶ Hæc autem in factum actio, heredibus quidem eius, qui iniuriam accepit, dabitur: sed adversus exercitoris heredes non competet.

καπηλεῖον εἶχεν, ἢ πανδοχεῖον. ἐὰν ἐν τῷ καπηλείῳ, ἢ ἐν τῷ πλοίῳ, ἢ τῷ πανδοχείῳ κατὰ δόλον τινὸς, ἤγουν κλέψαντος ὑποστῶ ἐγὼ ζημίαν, κατασχεθήσεται αὐτὸς τῇ in factum, ὡς ἀπὸ τοῦ κουάσι δελίκτου. μόνον μέντοι, εἰ μηδεμίαν αὐτὸς ἥμαρτε κακουργίαν, ἀλλά τις τῶν ἐργατῶν, ἢ τῶν μισθωτῶν, δι' ὧν ἡ ναῦς ἐπλεῖτο, ἢ τὸ καπηλεῖον, ἢ τὸ πανδοχεῖον διῳκεῖτο. ἀπὸ γὰρ κοντράκτου οὐκ ἔστιν αὐτὸν εἰπεῖν ἔνοχον τὸν κύριον τῆς νεὼς, ἢ τοῦ καπηλείου, ἢ τοῦ πανδοχείου. οὔτε γὰρ συνάλλαγμα γέγονε πρὸς αὐτόν. ἐπεὶ δὲ πταῖσμά τι ἐλέγχεται αὐτοῦ, καθὸ κακούργους ἀνθρώπους εἶχε τοὺς ὑπηρετοῦντας, διὰ τοῦτο ὡσανεὶ ἀπὸ δελίκτου κατασχεθήσεται. ¶ Αὕτη δὲ ἡ in fa- §. In his.
ctum ἀγωγὴ, τοῖς μὲν κληρονόμοις τοῦ ἀδικηθέντος δοθήσεται. κατὰ δὲ τῶν κληρονόμων τοῦ ἐξερκίτωρος οὐχ ἁρμόσει.

DE

## De ACTIONIBVS. Titul. VI.

Διαλεχθέντες περὶ τῶν ἐνοχῶν, χωρήσωμεν ἐπὶ τὰς ἀγωγάς. τοῦτο γάρ ἐστι τὸ ἐκ τῶν ἐπηγγελμένων ὑπολιμπανόμενον. εἰρήκαμεν γὰρ ἐν τῇ πρώτῃ ἰνστιτουτζίωνι, τὴν νομοθεσίαν τὴν ῥωμαϊκὴν καταγίνεσθαι περὶ πρόσωπα, περὶ πράγματα, περὶ ἀγωγάς. εἰπόντες οὖν τὴν τῶν προσώπων διαίρεσιν ἐν τῇ πρώτῃ ἰνστιτουτζίωνι, διδάξαντες δὲ καὶ περὶ τῶν πραγμάτων ἐν τῇ δευτέρᾳ, καὶ ἐν μέρει τῆς τρίτης, μνησθέντες δὲ καὶ τῶν ἐνοχῶν, εἴπωμεν καὶ περὶ τῶν ἀγωγῶν. ὀφείλεις δὲ εἰδέναι, ὅτι ἃς δίκας ἐκάλουν οἱ ἀθηναῖοι, ταύτας ἀκτίονας καλοῦσιν οἱ ῥωμαῖοι. εἴρηνται δὲ ἀγωγαὶ παρὰ τὸ ἄγειν τοὺς ἀγνώμονας ἐπὶ τὸ δικαστήριον. ὁριζώμεθα δὲ τί ἐστιν ἀκτιὼν ἤτοι ἀγωγή. ἀκτιὼν ἤτοι ἀγωγή ἐστι δίκαιον τοῦ ἀπαιτεῖν ἐν δικαστηρίῳ τὸ ἑαυτῷ ἐποφειλό-

Atque hactenus quidẽ sedulò de obligationibus disputatum est: nunc ergo ad actiones transeamus. Id enim ex his quæ iam diu promissa sunt, superest, quoniam libro primo diximus, Ius omne ciuile Romanorum circa personas versari, circa res, & circa actiones. Cùm igitur de personarum differentiis libro primo disseruerimus, & docuerimus de rebus libro secundo, quæ & in magnam partem libro tertio excurrit: meminerimúsq; & obligationum: dicamus nũc & de actionibus. Sciendum est autem, quas Athenienses δίκας vocabant, eas à Romanis actiones dici. Porrò dicũtur actiones ab eo, quòd improbos & pfidos ad iudicia agamus. Verũ constituamus quid sit actio. Actio est ius petendi in iudicio, quod sibi

sibi debetur. ¶ Actionum autem quas aduersus aliquem apud Iudices, vel apud arbitros de quacumque re mouemus, summa diuisio in hęc duo genera diducitur, quoniā actionum alię sunt in rem, & alię in personā. Agit enim quisq; cum eo, quē obligatū habet, vel ex contractu, vel ex delicto. Et dicuntur in personam, quoniam aduersus personā, quę contraxit vel deliquit, mouentur. Atque is qui agit, hęc verba dicit: SI APPARET ADVERSARIVM DARE FACERE OPORTERE, CONDEMNA EVM IVDEX. Sed & aliis quibusdam modis talis actio intentari potest. Interdū etiā cum eo agimus, qui nobis obligatus non est, verùm aliqua de re corporali, quę penes eum est, controuersiā ei mouemus. Qua in

μένον. ¶ Τῶν δὲ ἀγωγῶν ἃς κινοῦμεν κατά τινος παρὰ δικασταῖς, ἤγουν παρὰ αἱρετοῖς δικασταῖς περί τινος πράγματος, ἡ ἄκρα διαίρεσις εἰς δύο γένη ταῦτα κατάγεται. τῶν γὰρ ἀγωγῶν αἱ μέν εἰσιν in rem, αἱ δὲ περσονάλιαι· κινεῖ γὰρ εἷς ἕκαστος κατ᾽ ἐκείνου ὃν ἔνοχον ἔχει, ἢ ἀπὸ συναλλάγματος, ἢ ἀπὸ ἁμαρτήματος. καὶ λέγονται περσονάλιαι, ἐπειδὴ κατὰ τοῦ συναλλάξαντος προσώπου, ἢ τοῦ ἁμαρτήσαντος κινῆται· καὶ ὁ κινῶν λέγει ταῦτα τὰ ῥήματα· ΕΙ ΦΑΙΝΕΤΑΙ ΤΟΝ ΑΝΤΙΔΙΚΟΝ ΧΡΗΝΑΙ ΔΟΥΝΑΙ, ΠΟΙΗΣΑΙ, ΚΑΤΑΔΙΚΑΣΟΝ ΑΥΤΟΝ Ω ΔΙΚΑΣΤΑ. καὶ ἑτέροις δὲ τρόποις δυνατὸν γενέσθαι τὴν ἀγωγήν. ἔσθ᾽ ὅτε καὶ κινοῦμεν κατ᾽ ἐκείνου, ὅς τις οὐκ ἔστιν ἡμῖν ἔνοχος, περί τινος δὲ πράγματος σωματικοῦ ὑπὸ τὴν αὐτοῦ τελοῦντος κατοχήν, ἐκινήσαμεν αὐτῷ ζήτησιν. ἐπινοεῖται δὲ ἐν τούτῳ in §. Omnium

rem ἀγωγή. εἰ γὰρ κατέχεις ἀγρὸν ἢ οἰκίαν, ἅπερ ἐγὼ λέγω τῆς ἐμαυτοῦ δεσποτείας εἶναι, σὺ δὲ τὰ αὐτὰ λέγεις, δεσπότην σὲ αὐτὸν ἀποκαλῶν, κινήσω κατὰ σοῦ τὴν in rem λέγων, ΕἸ ΦΑΊΝΕΤΑΙ ΤῸ ΠΡᾶΓΜΑ ΤῆΣ ἘΜῆΣ ΔΕΣΠΟΤΕΊΑΣ ΕἾΝΑΙ, ΚΑΤΑΔΊΚΑΣΟΝ Ὦ ΔΙΚΑΣΤᾺ ΤῸΝ ἈΝΤΊΔΙΚΟΝ.

θ. Aeque si agit.

¶ Κινῶ δὲ τὴν in rem, ἢ περὶ σωματικῶν, ἢ περὶ ἀσωμάτων, καὶ ἢ κονφεσσορίως, ἢ νεγατορίως. καὶ σωματικὰ μέν ἐστιν, ὁ ἀγρὸς, ἡ οἰκία. ἀσώματα δὲ, οἷον vsusfructus, δουλεία. ἀλλ' ἐπὶ μὲν τῶν σωματικῶν, κονφεσσορίως μόνον κινῶ. ἐπὶ δὲ τῶν ἀσωμάτων καὶ κονφεσσορίως, καὶ νεγατορίως. καὶ κονφεσσορίως μὲν κινῶ ἐπὶ τῶν σωματικῶν, ἡνίκα λέγω, ΕἸ ΦΑΊΝΕΤΑΙ ΤΌΝΔΕ ΤῸΝ ἈΓΡῸΝ ΤῆΣ ἘΜῆΣ ΕἾΝΑΙ ΔΕΣΠΟΤΕΊΑΣ. κονφεσσορίως δὲ ἐπὶ τῶν ἀσωμάτων, οἷον vsufructu,

specie prodita est in rem actio. Nam si fundum aut domũ possides, quorum ego me dominum esse contendam, tuque eadem dicis, teipsum dominũ esse adfirmans, actione in rem tecum agam dicens: SI DOMINVM ME EIVS REI ESSE APPARET, ADVERSARIVM IVDEX CONDEMNA. ¶ Porrò in rem agimus, tum de rebus corporalibus, tum de incorporalibus: &, aut confessoriè aut negatoriè. Ac res quidem corporales sunt, fundus, domus. Incorporales verò, vt vsusfructus, seruitus. Verùm in corporalibus, tantũ confessoriè agimus: in incorporalib⁹ autem, & confessoriè & negatoriè. Et confessoriè quidem ago in corporalibus, cũ dico; SI HVIVS FVNDI DOMINVM ME ESSE APPARET. Confessoriè verò in in-

corporalibus, veluti in vsufructu fundi aut ædium, si dicam: SI APPARET VSVMFRVCTVM FVNDI, AEDIVM VE MEVM ESSE. Vel in seruitute fundi, si dicam: SI APPARET LICERE MIHI IRE PER FVNDVM VICINI, AVT INDE AQVAM DVCERE. Vel etiam in seruitute ædium: si agam, ius mihi esse altius ædes meas tollendi, aut ius mihi esse in tuo prospiciẽdi, aut stillicidium in areã tuam, vel in ædes tuas proiiciẽdi, aut trabium mearũ onera in parietem tuũ, qui vicinus es, immittendi. Negatoriè verò in rebus incorporalibus in rem agimus, veluti quũ dico: SI APPARET HVNC IVS VTENDI FRVENDI AEDIBVS MEIS AVT FVN-

fructu, τοῦ μὲν ἀγροῦ, τοῦτο δὲ οἰκίας, λέγων· ΕἸ ΦΑΊΝΕΤΑΙ ΤῸΝ ΟΥ̓ΣΟΎΦΡΟΥΚΤΟΝ ΤΟΥ͂ ἈΓΡΟΥ͂, Ἢ ΤΗ͂Σ ΟἸΚΊΑΣ, ἘΜῸΝ ΕἾΝΑΙ, ἐπὶ δὲ τῆς δουλείας τοῦ ἀγροῦ λέγω, ΕἸ ΦΑΊΝΕΤΑΙ ἘΞΕΙ͂ΝΑΊ ΜΟΙ ΒΑΔΊΖΕΙΝ ΔΙᾺ ΤΟΥ͂ ἈΓΡΟΥ͂ ΤΟΥ͂ ΓΕΊΤΟΝΟΣ, Ἢ ἘΚΕΙ͂ΘΕΝ ὝΔΩΡ ἝΛΚΕΙΝ. ἢ καὶ ἐπὶ δουλείαν οἰκίας. οἷον ἐὰν κινῶ λέγων, δίκαιόν μοι προσεῖναι, τοῦ εἰς ὕψος αἴρειν τὴν ἐμὴν οἰκίαν. ἢ δίκαιόν μοι προσεῖναι τοῦ κατοπτεύειν σε, ἢ τοῦ ὑπεκτείνειν ἐξώστην κατὰ τῆς σῆς μεσαύλου, ἢ κατὰ τῶν σῶν δωμάτων. ἢ τοῦ ἀποτίθεσθαι τὰ βάρη τῶν ἐμῶν δοκῶν κατὰ τῶν τειχῶν σοῦ τοῦ γείτονος. νεγατορίως δὲ κινοῦμεν τὴν IN REM, ἡνίκα ἐπὶ τῶν ἀσωμάτων λέγω, ΕἸ ΦΑΊΝΕΤΑΙ ΤΌΝΔΕ ΜῊ ἜΧΕΙΝ ΤῸ ΔΊΚΑΙΟΝ ΤΟΥ͂ VTI FRVI, ΚΑΤᾺ ΤΗ͂Σ ἘΜΗ͂Σ ΟἸΚΊΑΣ, Ἢ ΚΑΤᾺ ΤΟΥ͂ ἘΜΟΥ͂

ΑΓΡΟΥ. ἢ τοῦ ἐλαύνειν ὑποζύγια διὰ τοῦ ἐμοῦ ἀγροῦ. ἢ ἕλκειν ἐκεῖθεν ὕδωρ. ἢ τοῦ εἰς ὕψος αἴρειν τὰ ἴδια οἰκοδομήματα, ἢ τοῦ κατοπτεύειν με. ἢ τοῦ ἐπεκτείνειν ἐξώστην κατὰ τῶν ἐμῶν δωμάτων, ἢ κατὰ τῶν ἐμῶν μεσαύλων. ἢ τοῦ ἐπιθεῖναι βάρη κατὰ τῶν ἐμῶν τοίχων. αὗται δὲ πᾶσαι in rem εἰσὶ νεγατορίως κινούμεναι χώραν οὐκ ἔχουσαι ἐπὶ τῶν σωματικῶν. ἐπὶ γὰρ τῶν σωματικῶν, ἐκεῖνος μόνος κινεῖ τὴν in rem, ὅστις οὐ νέμεται. τῷ γὰρ νεμομένῳ οὐ δίδοται in rem, οὐδὲ δύναμαι λέγειν, ΕΙ ΦΑΙΝΕΤΑΙ ΤΟΝ ΑΓΡΟΝ ΤΟΥΔΕ ΜΗ ΕΙΝΑΙ. ἐν ἑνὶ δὲ μόνῳ θέματι, ὁ νεμόμενος δύναται κινεῖν τὴν in rem, ὅστις καὶ νέμεται, καὶ τάξιν ἄκτορος ἐπέχει· ὥσπερ ἐν τοῖς πλατυτέροις τῶν διγέστων βιβλίοις περιφορέστερον φανήσεται. ὥς τε οὖν δεῖ γὰρ συνελόντα εἰπεῖν, κινεῖται ἡ in rẽ ἐπὶ σωματικῶν καὶ ἀσωμά-

DO MEO NON HABERE: aut iumenta per fundum meum agendi, aut aquam illinc ducendi, aut ędificium suũ altius tollendi, aut in meo prospiciendi, aut stillicidiũ in ędes meas vel areã meam proiiciendi: aut onera in parietes meos immittendi. Omnes hę actiones in rem sunt negatoriẹ cõceptę, quę in rebus corporalibus locum non habent. Quoniam in corporalibus, is solus in rem agere potest, qui non possidet. Nam ei qui possidet, nulla in rem prodita est actio, neque possum dicere: SI APPARET FVNDVM HVIVS NON ESSE. In vno tamen casu, is qui possidet, in rẽ agere potest, qui simul & possideat, & vices actoris sustineat: sicut in latioribus Digestorum libris opportunius apparebit. Itaque (vt rem totam in pauca contraham) in rem agimus in rebus corporalibus & in rebus

bus incorporalibus. Et in corporalibus quidem tantum cōfessoriè. Est autem confessoria actio, cū quis ius, quod sibi adest, confitetur, dicens: si apparet me dominum esse fundi. In incorporalibus verò & confessoriè & negatoriè. Cōfessoriè quidem, cùm dico: si apparet vsumfructū meū esse. Negatoriè verò, cùm id ius nego aduersario adesse, dicens: si apparet aduersarium ius vtendi fruendi fundo meo nō habere. Sic igitur in incorporalibus non idem & confessoriè agit & negatoriè: sed confessoriè quidem is, qui se ius illud de quo quęritur, habere dicit, velut vsumfructum aut seruitutem, in alterius proprietate. Negatoriè verò agit ipse dominus fundi aut ędiū, affirmans aduersarium vsumfructum aut seruitutem in fundo suo aut ędibus non habere. Et

των. ἐπὶ σωματικῶν μὲν μόνον κομφεσσορίως. κομφεσσορία δέ ἐστιν ἀγωγή, ἡνίκα τις συνομολογεῖ τὸ προσὸν αὐτῷ δίκαιον, λέγων· εἰ φαίνεται τὸν ἀγρὸν τῆς ἐμῆς εἶναι δεσποτείας. ἐπὶ δὲ τῶν ἀσωμάτων καὶ κομφεσσορίως, καὶ νεγατορίως. κομφεσσορίως μὲν ἡνίκα λέγω, εἰ φαίνεται τὸ vti frui ἐμὸν εἶναι. νεγατορίως δὲ, ἡνίκα τοῦτο τὸ δίκαιον ἀρνοῦμαι προσεῖναι τῷ ἀντιδίκῳ, λέγων, εἰ φαίνεται τὸ vti frui μὴ ἔχειν τὸν ἀντίδικον κατὰ τοῦ ἐμοῦ ἀγροῦ. ὥστε οὖν ἐπὶ τῶν ἀσωμάτων, οὐχ ὁ αὐτὸς κινεῖ καὶ κομφεσσορίως καὶ νεγατορίως. ἀλλὰ κομφεσσορίως μὲν ὁ λέγων προσεῖναι αὐτῷ τὸ ἀσώματον, οἷον τὸν vsumfructum, ἢ τὴν δουλείαν, κατὰ τῆς ἄλλου δεσποτείας. νεγατορίως δὲ τὴν in rē κινεῖ ὁ δεσπότης τοῦ ἀγροῦ, ἢ τῆς οἰκίας, διαβεβαιούμενος τὸν ἀντίδικον μὴ ἔχειν τὸ vti frui, ἢ τὸ δίκαιον τῆς δουλείας κατὰ τῆς αὐτοῦ οἰκίας, ἢ κατὰ τοῦ σοῦ ἀγροῦ. καὶ πάντως ἐνίκα

κονφεσσορίως δυνάμεθα κινεῖν, οὐκ ἔτι δὲ καὶ νεγατορίως ἐπὶ τῶν σωματικῶν; καὶ ἡ αἰτία ἐστὶν αὕτη. ἕκαστος ἐνάγων ὀφείλει περιποιεῖν αὐτῷ τὴν νίκην ἐκ τῶν προσόντων αὐτῷ. οἷον εἰ φαίνεται τόνδε τὸν ἀγρὸν τῆς ἐμῆς εἶναι δεσποτείας. οὐ μὴν ὀφείλει κινῶν λέγειν, ΕΙ ΦΑΙΝΕΤΑΙ τόνδε τὸν ἀγρὸν μὴ εἶναι τῆς τοῦ ἀντιδίκου δεσποτείας. εἰ γὰρ οὕτως εἰσέλθῃ κινῶν, ἐρεῖ αὐτῷ ὁ ἀντίδικος, πρῶτον μὲν, ΕΜΟΣ ΕΣΤΙΝ ὁ ἀγρός. εἰ δὲ οὐκ ἔστιν ἐμὸς, ὡς σὺ λέγεις, οὐ παρὰ τοῦτο σὸς, ἀλλὰ ἄλλου ἐστίν. καὶ γὰρ οὐ πάντως τὸ μὴ ἐμὸν, ἤδη σόν ἐστιν. εἰ δὲ μήτε ἐμὸς, μήτε σός ἐστιν ὁ ἀγρὸς, ὀφείλω σε νικᾶν ἐν τῷ παρόντι δικαστηρίῳ, διὰ τὸν κανόνα τὸν λέγοντα· ἐν ἴσῃ αἰτίᾳ κρείττων ἐστὶν ἡ αἵρεσις τοῦ νεμομένου, In pari causa melior est conditio possidentis. ἀλλὰ ταῦτα μὲν ἐπὶ τῶν σωματικῶν. ἐπὶ δὲ τῶν ἀσωμάτων καλῶς κινοῦμεν τὴν in rem,

quamobrem tandē in rebus corporalibus confessoriē possumus agere, negatoriē verò non possumus? Et eius rei hęc ratio est. Quicumq; cum aliquo agit, ex eo iure quod ipse habet, caussam suā iudici probare debet. Veluti si hunc fundum meum esse apparet: Nec debet dicere, Si fundum hunc aduersarij nō esse apparet. Nam si ita velit agere: dicet ei aduersarius primùm, Fundus hic meus est. Deinde si meus non est, vt tu ais, non tamen ideo tuus, verùm alterius est. Neque enim, quod meum non est id protinus tuum est. Quod si neque meus est neque tuus fundus, vincere tamē te debeo in hoc iudicio per regulam qua dicere solemus, In pari caussa meliorem esse conditionem possidentis. Et hęc quidem in rebus corporalib⁹. In incorporalibus verò

to, rectè & confessoria in rem actione, & negatoria agimus. Et quare non & hic eum, qui negatoriè in rem agit, malè agere dicimus? Cùm nō ex eo iure, quod ipse habet, sed ex vitio iuris quod aduersarius prętendit, causam suā probare nitatur. Ait enim: Si apparet hunc ius vtendi fruendi non habere. Sed parata est responsio. Nam cùm negatoriè pro rebus incorporalibus agimus, quamuis ipsa verba actionis in rem negatorię in negationem sonent, tamen effectus ipse actionis confessoriæ est. Cùm enim id in concessum veniat, dominum fundi aut ædium esse me, vel eo quod aduersarius vsumfructum eorum aut seruitutem in his sibi deberi dicat; ego cū dico, si apparet hūc, vsumfructū aut seruitutem in fundo meo non habere, τῇ δυνάμει, id est, vi & actionis potestate sine in effectu hoc dicere videor, si apparet fundum meum ab vsufructu

rem, κομφεσσορίας. κινοῦμεν δὲ καὶ νεγατορίας. καὶ διὰ τί, μὴ καὶ ἐνταῦθα ἐν ᾧ κινεῖ τις νεγατορίας τὴν in rem, μὴ λέγομεν αὐτὸν κακῶς κινεῖν; οὐ γὰρ ἐκ τῶν αὐτῷ προσόντων, ἀλλ' ἐκ τῶν σαθρῶν τοῦ ἀντιδίκου πειρᾶται ἑαυτῷ τὴν νίκην περιποιεῖν. λέγει γὰρ, εἰ φαίνεται τὸ vti frui τόνδε μὴ ἔχειν. ἀλλ' ἡ ἀπολογία αὕτη ἐστὶν ἐπὶ τῆς νεγατορίας ἐναγωγῆς τῶν ἀσωμάτων εἰ καὶ τοῖς ῥήμασι νεγατορίας κινοῦμεν τὴν in rem, ἀλλ' οὖν τῷ ἀποτελέσματι κομφεσσορία ἐστίν. ἐπειδὴ γὰρ συνομολογεῖται ἐμὲ εἶναι δεσπότην τοῦ ἀγροῦ, ἢ τῆς οἰκείας, καθὸ ὁ ἀντίδικος ἑαυτῷ προσεῖναι vsumfructum, ἢ δουλείαν φησὶ, ἐγὼ λέγων· εἰ φαίνεται τόνδε μὴ ἔχειν vsumfructum, ἢ δουλείαν κατὰ τοῦ ἐμοῦ ἀγροῦ· δοκῶ τῇ δυνάμει ταῦτα λέγειν, εἰ φαίνεται ἐλεύθερον δουλείας, ἢ ἐλεύθερον vsufructu τὸν ἐ-

μὸν εἶναι ἀγρόν. καὶ ἔστιν οὕτως νοουμένη ἡ in rem ἡ ἐναγωγὴ κομφεσσορία, εἰ καὶ νεγατορίως πέφρασται. b. Sed istæ. ¶ Αὗται δὲ αἱ in rem ὧν ἐποιησάμεθα μνήμην, καὶ αἱ ταύταις ὅμοιαι, ἀπὸ νομίμων καὶ πολιτικῶν αἰτιῶν ἔχουσι τὴν γένεσιν. εἰσὶ καὶ ἄλλαι in rem, ἔτι δὲ καὶ περσοναλίαι, ἃς ὁ πραίτωρ, ἐξ οἰκείας ὁρμηθεὶς ἐπενόησε διανοίας. ἀναγκαῖον δὲ ταύτας διὰ παραδειγμάτων ἀποδεῖξαι. οἷον ἐπιτέτραπται ἡμῖν, ἔσθ' ὅτε κινεῖν τὴν in rem, μὴ οὐσουκαπιτεύσασι, καὶ λέγειν, εἰ φαίνεται τόδε ἐμὸν εἶναι, ὡσπερεὶ οὐσουκαπιτευθὲν ὑπ' ἐμοῦ. ἢ ἐκ τοῦ ἐναντίου, κατά τινος οὐσουκαπιτεύσαντος τὸ ἐμόν, καὶ νεμομένου, δύναμαι κινεῖν καὶ λέγειν, εἰ φαίνεται τόδε ἐμὸν εἶναι τὸ πρᾶγμα, ὥσπερ εἰ μὴ οὐσουκαπίτευσεν αὐτὸ ὁ ἐμὸς ἀντίδικος. c Nanque si cui. ¶ Καὶ τέως εἴπωμεν, ἔνθα τις μὴ οὐσουκαπιτεύσας πλάττεται ἑαυτὸν οὐσουκαπιτευκέναι. οἷον ἐξ εὐλόγου αἰ-

τίας

aut seruitute liberũ esse. Et ita tacitè cõfessoria in rem agitur, etiam si negatoriè concepta sit. ¶ Sed hæ quidẽ in rem actiones, quarũ iam meminimus, & si quæ sunt his similes, ex legitimis ac ciuilibus causis originem suam ducũt. Sunt autem & aliæ tam in rem quàm in personam, quas ex sua iurisdictione Prætor comparatas habet. Ac necesse est & eas exemplis ostendere: veluti, permissum nobis interdum est, in rem agere cum vsu non ceperimus, & dicere: si apparet hanc rẽ meam esse, quasi à me vsucaptam. Vel è diuerso cum aliquo qui rem meam vsucepit ac possidet agere possum, ac dicere: si apparet hanc rem meã esse, quasi aduersarius eam vsu non cepisset. ¶ Atq; in primis dicamus, vbi is qui rem vsu non cepit, vsucepisse se fingat. Veluti

ex iusta causa rem alienam mihi bona fide accipienti tradidisti, forsan ex causa venditionis, aut donationis, aut dotis, aut legati. Et ad eam vsucapiendam, opus erat mihi triennio. Possedi eam fortè duobus annis, deinde casu aliquo possessioné eius amisi. Directa in rem actione agere non possum cum possessore. Nam quo modo, qui nondum eam vsuceperim? Quippe ità proditæ sunt in rem actiones, vt dominiũ quisque suum per eas vindicaret. Quoniam tamen durius erat, hac in specie nullam actionem dari ei, qui rem bona fide possedit, & casu aliquo possessionem amisit: inuenta est à Prætore in ré actio, qua agendo, (quoniam eam rem ego bona fide possidebam, idque ex iusta causa, velut ex vé ditione, vel donatione, vel dote: & mihi currebat vsucapio, ac medio tempore ante finem vsucapio

πίας παρέδωκάς μοι ἀλλότριον πρᾶγμα bona fide λαμβάνοντι, ἢ πωλήσας τοῦτο, ἢ δωρησάμενος, ἢ καὶ εἰς προῖκά μοι ἐπιδοὺς, ἢ ληγατεύσας. ἐδεόμην ἐγὼ τριετίας, εἰς τὸ οὐσουκαπιτεῦσαι τοῦτο τὸ πρᾶγμα. ἐνεμήθην αὐτὸ τυχὸν δύο ἐνιαυτοὺς, ἐξέπεσον αὐτοῦ κατά τινα τύχην. τὴν directam in rem κατὰ τοῦ νεμομένου κινεῖν οὐ δύναμαι. πῶς γὰρ ὁπότε οὐκ οὐσουκαπίτευσα. αἱ γὰρ in rem ἐπενοήθησαν, ἐπὶ τῷ ἕκαστον τὴν προσοῦσαν αὐτῷ δι' αὐτῶν ἐκδικεῖν δεσποτείαν. ἀλλ' ἐπειδὴ ἀπάνθρωπον ἐν τούτῳ τῷ θέματι ἀγωγὴν μὴ δίδοσθαι αὐτῷ bona fide νεμομένῳ καὶ κατὰ τύχην ἐκπεσόντι, ἐφεῦρεν ὁ πραίτωρ in rem ἀγωγὴν, ἣν κινῶν λέγω· ἐπειδὴ τόδε τὸ πρᾶγμα, ἐξ εὐλόγου αἰτίας, οἷον πράσεως, ἢ δωρεᾶς, ἢ προικὸς ἐνεμόμην bona fide, ἔτρεχε δέ μοι οὐσουκαπίων, καὶ ἐν τῷ μεταξὺ πρὸ

τέλους τοῦ οὐσουκαπίωνος ἐξέπεσα, ὥσπερ εἰ οὐσουκαπίτευσα, ΕἸ ΦΑΊΝΕΤΑΙ ΤῸ ΠΡΆΓΜΑ ΤΗ͂Σ ἘΜΗ͂Σ ΕἾΝΑΙ ΔΕΣΠΟΤΕΊΑΣ. λέγεται δὲ αὕτη ἡ in rem πουβλικιανή. ἐπειδὴ πρῶτος πουβλίκιος πραίτωρ ταύτην ἐπενόησεν.

§. Rursus. ¶ Ἔστιν καὶ ἐκ τῶν ἐναντίων in rem κινουμένη. ἐὰν γάρ τις νεμόμενος τὸ ἐμὸν πρᾶγμα bona fide, ἐν τῷ μεταξὺ reipublicæ causa ἀποδημήσῃ, οἷον διὰ πρεσβείαν, ἢ ὑπὸ τοὺς πολεμίους γένηται, καὶ ἐν τῷ μεταξύ, ἐν ὅσῳ ὁ μὲν ἀποδημεῖ, ὁ δὲ παρὰ τοῖς πολεμίοις ἐστίν, ὁ τοῦ οὐσουκαπίωνος πληρωθῇ χρόνος, ὑποστρέψουσι δὲ, ὁ μὲν ἐκ τῆς ἀποδημίας, ὁ δὲ τοὺς πολεμίους διαφυγών, ἔξεστιν ἐμοὶ τῷ δεσπότῃ εἴσω ἐνιαυτοῦ, μετὰ τὴν αὐτῶν ἀποστροφὴν ἀναπτυχθείσης, ἤτοι ἀνατραπείσης, τῆς οὐσουκαπίωνος κινῆσαι τὴν in rem. λέγω γὰρ ὡσανεὶ εἰ μὴ οὐσουκαπίτευσεν ὁ ἀντίδικος τὸ ἐμὸν πρᾶγμα. εἰ φαί-

νεται

nis possessioné eius amisi) perinde quasi vsucepissem, dico: SI APPARET HANC REM MEAM ESSE. Hæc autem in rem actio Publiciana dicitur, quoniam primus eam Publicius Prætor in edicto suo proposuit. ¶ Est & in rem actio, quæ ex contrario latere intentatur. Nam si quis rem meam bona fide posśideat, ac medio tépore, Reipub causa abesse cœperit: veluti in legationem missus, aut in hostium potestate fuerit. Atque interim dum aut ille peregrè, aut hic apud hostes est, tempus vsucapionis impletum fuerit, ac deinde hi redierint, alter ex profectione, alter ab hostibus: licet mihi domino intra annum postquàm reuersi fuerint, rescissa vsucapione, in rem agere. Etenim quasi aduersarius rem meá vsu non cepisset, dico, si apparet huius

rei me dominũ esse. Atque hoc genus actionis in rem & aliis quibusdam simili æquitate motus Prętor permisit: sicut ex latiore digestorum seu Pandectarum volumine licet colligere. ¶Porrò est & alia in rem actio à Prætore inuenta, velut in hac specie. Multis aliquis debens alienauit aliquam rerum suarum, & vt dominus scilicet per traditionem dominiũ transtulit in accipientem. Creditoribus, qui in bona debitoris ex sententia Prę sidis missi sunt, cum alienatio hęc in fraudem ipsorum facta sit, permissum est in rem agere cum eo, qui eam rem possidet. Quæ actio vocatur Pauliana, in eaque pinde ac si tradita res à debitore nõ fuisset, dicunt: si apparet eam rem in bonis debitoris mãsisse. ¶Est & Seruiana in rem actio, ac

νεται τοῦτο τῆς ἐμῆς εἶναι δεσποτείας. τὸ δὲ τοιοῦτον εἶδος τῆς in rem, καὶ ἑτέροις ὁ πραίτωρ ἐφιλοτιμήσατο, ἐκ τῆς ὁμοίας ὁρμηθεὶς δικαιοσύνης. ὥσπερ ἐκ τῶν πλατυτέρων βιβλίων τῶν διγέστων, ἤτοι τοῦ πανδέκτου ἔξεστι λαβεῖν.

¶ Ἔστι οὖν καὶ ἄλλη in rem ἐπὶ τοῦ πραίτωρος ἐπινοηθεῖσα, ὥσπερ ἐπὶ τούτου τοῦ θέματος. ἐχρεώστει τις πολλοῖς. ἐξεποίησε τινὰ τῶν αὐτοῦ πραγμάτων, καὶ ὡς δεσπότης δηλονότι, διὰ τῆς τραδιτίωνος μετέθηκε τὴν δεσποτείαν ἐπὶ τὸν λαμβάνοντα. ἔξεστι τοῖς κρεδίτορσιν ἐξ ἀποφάσεως τοῦ ἄρχοντος, τὰ τοῦ δεβίτορος νεμηθεῖσι πράγματα, ἐν ᾧ πρὸς περιγραφὴν αὐτῶν γέγονεν ἡ ἐκποίησις, κινεῖν τὴν in rem κατὰ τοῦ διακατέχοντος. ἥτις λέγεται παυλιανή. ἐν ᾗ λέγουσι τοιαῦτα, ὡς οὖν εἰ μὴ ἐτραδιτεύθη τόδε τὸ πρᾶγμα ὑπὸ τοῦ δεβίτορος, εἰ φαίνεται αὐτὸ ἐν τῇ τοῦ δεβίτορος μεμενηκέναι δεσποτείᾳ.

θ. Item si quis.

¶ Ἔστι καὶ σερβιανή, καὶ κουάσι σερβια-

θ. Item Seruiana.

νὴ in rem. ἡ τις ὑποθηκαρία προσαγορεύεται, ἐκ τῆς τοῦ πραίτωρος δικαιοδοσίας, καὶ αὐτὴ τὴν αὐτὴν ὑπόστασιν ἔχουσα. κέχρηται δὲ τῇ σερβιανῇ τις ἐπὶ τούτου τοῦ θέματος. ἐμισθώσω παρ' ἐμοῦ τὸν ἀγρόν, καὶ γέγονάς μοι κολῶνος, ἐπὶ τῷ παρέχειν μοι λόγου μισθώματος καθ' ἕκαστον ἔτος ἑκατὸν νομίσματα. εἰσήγαγες δὲ ἐν αὐτῷ τῷ ἀγρῷ, καὶ πράγματά τινα, οἷον ἵππους, βόας, οἰκέτας, ἐσθῆτα, ἄργυρον, πακτεύσας ὥστε μοι ταῦτα ὑποκεῖσθαι λόγῳ τοῦ μισθώματος. ἐὰν συμβῇ σε ἀγνωμονῆσαι περὶ τὸ μίσθωμα, δύναμαι κατὰ παντὸς διακατέχοντος πράγματα τῶν εἰσενεχθέντων χάριν ἐν τῷ ἐμῷ ἀγρῷ, κινεῖν τὴν σερβιανήν, εἰ μὴ ἀπολαμβάνω τὸ μίσθωμα. ἡ δὲ κουάσι σερβιανὴ χώραν ἔχει ἐπὶ τούτου τοῦ θέματος. ἐδανείσω παρ' ἐμοῦ ι νομίσματα. δέδωκάς μοι τινὰ πράγματα λόγῳ ἐνεχύρου. ἢ καὶ ὑπέθου μοι σὰ πράγματα, εἰπὼν

quasi Seruiana quæ etiam hypothecaria vocatur. Atque hæ & ipsę ex iurisdictione Pretoris substantiam capiunt. Et Seruiana quidem actione tali in specie vtimur. Fundum à me conduxisti, & colonus mihi factus es, ad præstandos mihi quotannis mercedis nomine centum aureos. Induxisti in eũ fundum res complures, veluti equos, boues, seruos, vestem, argentum: cum pacto vt hę mihi mercedis nomine obligarentur. Si contingat, vt tu in præstanda mercede cesses: possum cum quouis possessore, de his rebus quæ in fundum meum inductæ aut illatæ sunt, experiri, donec mercedem recepero. Quasi autẽ Seruianæ actioni, tali ferè in specie locus est. Mutuatus es à me decem aureos: & res mihi aliquas in pignoris causam dedisti, aut etiam quasdam hypothecæ iure obligasti: di-

cēdo, HVIVS DEBITI NOMINE, hanc & illam tibi rem in causam hypothecę obligo. Si in soluēdo eo, quod debes, cessaris: cum quouis possessore, penes quem sint ea quæ in caussam pignoris dedisti, aut hypothecæ obligasti, vtiliter actione quasi Seruiana experior: ablaturus nisi id quod mihi debetur, solutum fuerit. Inter pignus autem & hypothecam, quantum ad actionē quasi Seruianam attinet, nihil est differentiæ. Siue enim tu debitor, eorum nomine quæ mutuò à me sumpsisti pignori mihi res tuas dederis, siue hypothecę obligaueris, vtiliter experiar actione quasi Seruiana. Sed in aliis est differentia. Pignus enim propriè vocatur, quod creditori traditur, maximè si res mobilis sit. Quod verò sine traditione nuda conuentione tenetur, id propriè hypotheca appellatur.

¶ Enimuerò non actiones tantùm in

ὅτι ἐγὼ ὙΠΟΤΊΘΕΜΑΊ ΣΟΙ, ἕνεκα τοῦ χρέους τοῦδε, τὸ πρᾶγμα τόδε καὶ τόδε. ἀγνωμονοῦντός σου περὶ τὴν τοῦ χρέους καταβολήν, κατὰ παντὸς τοῦ νομέως κατέχοντος τὰ ἐνεχυριασθέντα μοι, ἤτοι ὑποτεθέντα πράγματα, καλῶς κινῶ τὴν κουάσι σερβιανήν. καὶ ἀποσπῶ, εἰ μὴ καταβληθῇ μοι τὸ χρέος. μεταξὺ δὲ ἐνεχύρου καὶ ὑποθήκης ὅσον μὲν ἐπὶ τῷ κινῆσαί με τὴν κουάσι σερβιανήν, οὐδεμία ἐστὶ διαφορά. εἴτε γὰρ ἐνεχυριάσας μοι, εἴτε ὑποθεὶς τὰ σεαυτοῦ πράγματα, σὺ ὁ δεβίτωρ ὑπὲρ ὧν ἐδανείσω, ὀρθῶς κινήσω τὴν κουάσι σερβιανήν. ἔστι δὲ ἐν ἑτέροις ἡ διαφορά. ἐνέχυρον γὰρ κυρίως λέγεται ἐκεῖνο ὅπερ παραδίδοται τῷ κρεδίτωρι, μάλιστα ἐν ᾧ ἐστι κινητόν. ὅπερ δὲ δίχα τραδιτζίωνος ψιλῷ συμφώνῳ ὑποτίθεται, τοῦτο κυρίως ὑποθήκη προσαγορεύεται. ¶ Οὐ μόνον δὲ in rem, καθὰ εἴρηται, ἀλλὰ καὶ

§. In personam.

πρόσωπον

περισυγκλίαν ὁ πραίτωρ ἐπενόησε. οἷον τὴν pecuniæ cō stitutæ. αὕτη δὲ οὐκ ἔστι πολιτική. χώραν δὲ ἔχει ἐπὶ τούτου τοῦ θέματος. ἐχρεώστεις μοι ρ̄ νομίσματα. περιέτυχόν σοι, ἀπῄτουν σε ταῦτα. ἀπαιτούμενος σύ, καὶ βουλόμενος τὴν παροῦσαν ἐνόχλησιν διαφυγεῖν, ἀντεφώνησας εἰπών, ὅτι τῇ δεκάτῃ τοῦ μηνὸς ταῦτά σοι καταβαλῶ. παρελθούσης τῆς προθεσμίας ἀπῄτουν σε. ἔλεγες σὺ τοὺς ὅρους τῶν ἀγωγῶν τεχνολογῶν, μηδαμόθεν ἑαυτὸν ὑπεύθυνον εἶναι. οὐδὲ γὰρ ἐπερώτησις γέγονε, ἵνα κινηθῇ κατὰ σοῦ ἡ ex stipulatu. οὐδὲ μανδάτον παρηκολούθησε, ἵνα ἁρμόσῃ ἡ mandati. ἑωρακὼς τοίνυν τὴν σὴν ἀγνωμοσύνην ὁ πραίτωρ, ὡς ὑπεναντίαν, ὅτι μάχῃ ταῖς αὐτοῦ ὑποσχέσεσιν, ὥρισε τὴν pecuniæ cōstitutæ. ἦν δὲ τὸ παλαιὸν ὁμοία ταύτης τῆς pecuniæ constitutæ, καὶ ἡ receptitia. ἥτις ἁρμόζει πραιτε-

rem, verum etiam in personam quasdam Prætor introduxit. Velut actionem pecuniæ constitutę. Hęc enim ciuilis nō est. Locum autem ea habet tali in specie. Centum aureos mihi debebas. Conueni te, eos repetens. Tu, vt pręsentem exactionem effugeres, ita me tunc dimisisti, quòd te decimo die mensis soluturum constitueres. Cùm elapsum iam esset tempus à me tibi indultum, rursus tibi molestus esse cœpi. Tu omnes actionum fines callidè & astutè captās, negabas vlla te actione mihi teneri. Quoniam neque stipulatio interuenerat, vt possem ex stipulatu agere: neque sequutum erat mandatū, vt mandati actio cōpeteret. Tuā igitur istam improbitatem cùm videret Prętor, vt quę etiā promissis tuis contraria sit: actionem de pecunia constituta proposuit. Atque actioni de pecunia constituta similis erat olim & actio receptitia. Quę tum com-

ζίτου ἀντιφωνήσαντος. καὶ κοινωνία μὲν τῆς receptitiae, καὶ τῆς pecuniae constitutae, αὕτη, καθὰ ἑκατέρα ἐξ ἀντιφωνήσεως τίκτεται. διαφορὰ δὲ, ὅτι ἡ μὲν pecuniae constitutae, ἐπὶ παντὸς ἑτέρου ἀντιφωνήσαντος, χώραν ἔχει. ἡ δὲ receptitia, ἐπὶ μόνου τραπεζίτου. καὶ ἑτέρα διαφορὰ, ὅτι ἡ μὲν pecuniae constitutae χώραν ἔχει ἡνίκα ἀντιφωνηθῇ τὰ pondere, numero, mensura. ἡ δὲ receptitia, ὅτι δήποτε εἴη τὸ ἐποφειλόμενον, εἴτε κινητὸν, εἴτε ἀκίνητον, ἀντιφωνήσαντος τραπεζίτου κινεῖσθαι δύναται. οὐκοῦν ἡ pecuniae constitutae πλατύνεται μὲν τοῖς προσώποις. πᾶς γὰρ ἀντιφωνεῖ. στενοῦται δὲ τοῖς πράγμασιν. ἀντιφωνεῖται γὰρ μόνα τὰ ponderis, numeri, mensurae. ἡ δὲ receptitia, ἐκ τοῦ ἐναντίου, στενοῦται τοῖς προσώποις. μόνος γὰρ τραπε

petit, cùm argentarius constituit. Et id quidem inter actionem de pecunia cõstituta & actionem receptitiam commune est, quòd vtraq; ex constituto nascitur. Verùm in illo differũt, quòd actio de pecunia constituta locũ habeat, quicumque is sit, qui constitueri: receptitia verò, tunc demũ procedat, cùm argẽtarius cõstituit. Differunt item & in hoc, quòd actioni de cõstituta pecunia locus sit, cùm ea, quę numero, pondere, aut mensura constant, constituta fuerint: receptitia verò agere possimus, quidquid sit id quod debetur, mobile an immobile, dum argentarius constituerit. Sic ergo actio de cõstituta pecunia, latiùs patet, quòd ad personas attinet: nã quilibet constituit, sed in angustius contracta est, quod ad res pertinet: Nam ea constituuntur sola, quę numero, pondere, vel mensura constant. Ex diuerso actio receptitia, in angustius contracta est, si personas spectes, quoniam solus argentarius

ζήτης ταύτη κρατεῖται. πλατύνεται δὲ τοῖς πράγμασι· πάντα γὰρ ἐν ἑαυτῇ ἐπιδέχεται τὰ ἐποφειλόμενα. ἀλλὰ ταῦτα μὲν τὸ παλαιόν. διάταξις δὲ γέγονε τοῦ ἡμετέρου βασιλέως, ἥ τις εἶπε μόνην κινεῖσθαι καὶ κατὰ τραπεζίτου, καὶ παντὸς ἑτέρου ἀντιφωνήσαντος τὴν pecuniæ constitutæ, ἀναιροῦσα τὴν receptitiam. τὸ δὲ πλάτος τῶν πραγμάτων, ὃ ἐν ἑαυτῇ εἶχεν ἡ receptitia, μετήγαγεν ἐπὶ τὴν pecuniæ constitutæ. ὥς τε σήμερον τὴν pecuniæ constitutæ, χώραν ἔχειν, κατὰ παντὸς ἀντιφωνήσαντος, καὶ ἐπὶ παντὶ πράγματι ἐποφειλομένῳ. ἐπενόησεν ὁ πραίτωρ καὶ τὴν de peculio, κατὰ τοῦ πατρός, ἢ κατὰ τοῦ δεσπότου περὶ φίας τῶν γινομένων πρὸς τοὺς οἰκέτας, ἢ τοὺς ὑπεξουσίους παῖδας συναλλαγμάτων. ἐφεῦρε δὲ καὶ τὴν in factum. ἥ τις ἁρμόζει ἐπὶ τούτου τοῦ θέματος· ἐὰν ἀπαιτῶ σε χρέος, ἀρνῇ δὲ σύ.

gẽtarius ea tenetur. Et latius patet, si res inspicias: Nã omnia quę cuiquam debentur, recipit. Atque hęc quidẽ olim ita in vsu erant. Verum hodie edita est Imperatoris nostri constitutio, quacauetur: vt sublata actione receptitia, ex sola actione de constituta pecunia, tam cum argentario, quam cum quouis alio cõstituẽte agatur. Quin & illud etiam in actionem de constituta pecunia translatũ est, quod tam latè ad res quasitis actio receptitia patebat. Ita vt hodie actio de constituta pecunia aduersus quemuis constituentẽ, & quauis in re debita locũ habeat. Inuenit & Pretor actionem de peculio, contra patrem vel dominum, his de rebus, quę cũ filiisfamilias aut seruis contracte fuerint. Proposuit & actionem in factum, cui tali in specie locus est, Si quod mihi debes a te petam, & tu debere te negis,

ges, ac deinde iusiurandum mihi deferas, egóque te debere iuré: dabitur mihi ex hoc iureiurando actio in factum. Sed & alias cóplures actiones Prætor inuenit. ¶ Actio autē de constituta pecunia (nam ad eam redeundum est) aduersus quemlibet constituentē locum habet: siue pro seipso, siue pro alio soluturum se constituerit: stipulatione scilicet nulla interposita. Quoniā sequuta stipulatione, iure ciuili actio ex stipulatu datur. ¶ Actionē verò de peculio, ideo aduersus patrem dominúmve Prætor cōparauit: quia licet ex contractu eorum qui aliena in potestate sunt, ipso iure patres aut domini non teneantur, (id enim ius ciuile ignorat) tamen hoc natura æquum est, vt vsque ad peculij quantitatem fiat condemnatio, (quod peculiū veluti patrimo-

τοῦτο ἐποφείλειν, εἶτα ἐπαγάγῃς μοι ὅρκον, ὀμόσω δὲ ἐγὼ ἐποφείλεσθαι, ἐκ τούτου αὐτοῦ τοῦ ὅρκου δοθήσεταί μοι ἡ in factum. καὶ ἑτέρας δὲ πλείστας ἀγωγὰς ἐπενόησεν ὁ πραίτωρ. ¶ Ἡ δὲ pecuniæ constitutæ, ἀναδράμωμεν γὰρ πάλιν ἐπ᾽ αὐτὴν, κατὰ παντὸς κινεῖται ἀντιφωνήσαντος, εἴτε ὑπὲρ ἑαυτοῦ, εἴτε ὑπὲρ ἑτέρου καταβαλεῖν τις ἐπηγγείλατο. ἐπερωτήσεως δηλαδὴ μηδεμιᾶς ὑποκειμένης. ταύτης γὰρ παρακολουθησάσης, τὴν ex stipulatu, δίδωσι τὸ πολιτικόν. ¶ Τὴν de peculio ἀγωγὴν, διὰ τοῦτο κατὰ τοῦ πατρὸς, ἢ κατὰ δεσπότου ἐφεῦρεν ὁ πραίτωρ. ἐπειδὴ εἰ καὶ τὰ μάλιστα, ἐκ τῶν πρὸς τοὺς ὑπεξουσίους συναλλαγμάτων, αὐτῷ τῷ νόμῳ οὐ κατέχονται οἱ δεσπόται, ἢ πατέρες. τοῦτο γὰρ ἄγνωστον τῇ πολιτικῇ νομοθεσίᾳ· ὅμως διὰ τὸ φύσει δίκαιον μέχρι τῆς τοῦ peculij ποσότητος καταδικάζεται, ὅπερ peculium οὐσία τῶν ὑπεξου-

θ. De constituta.

θ. Actiones autem.

σίων παίδων ἀρρένων φημὶ καὶ θηλειῶν ἐστιν. ὁμοίως δὲ καὶ οἰκετῶν. ὥς τε τοὺς δεσπότας, ἢ τοὺς πατέρας μέχρι τοσαύτης καταδικάζεσθαι ποσότητος.

§. Item si quis.

¶ Ἡ δὲ ἀπὸ τοῦ ὅρκου in factum· δεῖ γὰρ πλατύτερον περὶ αὐτῆς διαλαβεῖν· χώραν ἔχει, καθὼς εἴρηται, ἡνίκα ἐμοῦ ἀπαιτοῦντός σε τὸ ἐποφειλόμενον, ὅρκου ἐπαχθέντος μοι ὀμώσαι ἐποφείλειν σε τοσήνδε ποσότητα. ἰδοὺ καὶ ἀπαιτῶ. ἐὰν γὰρ ταύτην μὴ καταβάλλῃς, παρασχεθήσεταί μοι ἡ in factum ἀγωγή. ἰδοὺ κινῶν, οὐκ ἀναγκάζομαι δεῖξαι, πότερον ἐποφείλομαί τι, ἢ οὐκ ἐποφείλομαι. ἀλλὰ τοῦτο μόνον ἀποδείξαντός μου, τὸ ὅτιπερ ὤμωσα, ἀνάγκη σε καταδικασθῆναι.

§. Pœnales.

¶ Ἐπενόησε δὲ καὶ pœnales ἀγωγὰς ὁ πραίτωρ. οἷον ἔδικτον ὁ πραίτωρ προτέθεικεν. ἐλθὼν δέ τις τοῦτο, διέρρηξεν, ἤτοι ἀφήρπασεν. ἔστι κατ' αὐτοῦ in factū ἀγωγὴ, albi corrupti. τουτέστιν ἕνεκα τοῦ ἄλβου διαρραγέντος.

nium est filiorum, filiarúmque, qui in potestate sunt, item, & seruorum) ita vt vsq; ad peculij quātitatem dominí patrésve condemnentur. ¶ Sed & actio, quæ ex iureiurando in factum datur: (nā & de ea latius disserendum est) locum habet, vt dictum est, cùm me id, quod mihi debetur, petente, ac iureiurando mihi delato, tantā summam quantam & peto, debere te mihi iuraui. Si enim eam non solueris, datur mihi in factū actio. Quam intentās, planum facere non cogor, debeatúrne mihi aliquid, an non debeatur. Verū cùm id solum planum fecero, me iurasse, necesse erit, vt condēneris. ¶ Pœnales quoque actiones introduxit Prætor. Veluti edictū Prætor proposuit. Id aliquis accedens conscidit aut abstulit. Actio aduersus eum in factum datur Albí corrupti. Album

enim dicitur edictũ quòd albis litteris conscriptum sit. Ad hæc multum patronis ac parentibus, à liberis ac libertis reuerentiæ debetur. Est autem & ea reuerentiæ pars, quòd ab his in ius vocari nõ possint, sine permissu ac venia. Finge tamen liberos emancipatos esse, nã aliter non consistit iudicium. Si igitur aut filius patrẽ, aut libertus patronum, sine venia in ius vocauerit, actione in factum tenetur, atq; in certam pecuniæ summam condemnatur. Item eum qui mihi obligatus erat, in ius vocatum aliquis exemit, aut dolo fecit, ne ad iudicem veniret. Hic mihi actione in factum agenti, in tantum cõdemnandus est, quãtum ab eo, qui in ius vocatus erat, petebam. Sunt ad hæc & aliæ innumeræ in factum actiones pœnales. ¶ Sunt etiam

γλύτος. ἀλβὸν δὲ λέγεται τὸ ἔδικτον, διὰ τὸ λευκοῖς γεγράφθαι γράμμασι. πολλὴ τοῖς πάτρωσιν, ἔτι δὲ καὶ τοῖς πατρᾶσιν ὀφείλεται τιμὴ παρὰ τῶν παίδων, καὶ τῶν ἀπελευθέρων. μέρος δὲ τῆς τιμῆς ἐστὶ καὶ τοῦτο, τὸ μὴ δύνασθαι καλεῖν τούτους εἰς τὸ δικαστήριον, δίχα αἰτήσεως συγγνώμης, ὑπόθου δὲ τὸν παῖδα εἶναι ἐμαγκιπατευθέντα· ἐπεὶ δικαστήριον οὐ δύναται συνεστάναι. εἰ τοίνυν ὁ μὲν παῖς τὸν πατέρα, ὁ δὲ ἀπελεύθερος τὸν πάτρωνα, δίχα αἰτήσεως συγγνώμης ἐπὶ δικαστήριον καλέσῃ, κρατεῖται τῇ in factum. καὶ εἰς φανερὰν χρυσίου ποσότητα καταδικάζεται. τὸν ἐμὸν ὑπεύθυνον ἀγόμενον ἐπὶ δικαστήριον, βίᾳ ἐξείλετό τις. ἢ κατὰ δόλον οὐ συνεχώρησεν ἐλθεῖν ἐπὶ τὸ δικαστήριον· καταδικασθήσεται τῇ in factum, τοῦ ποσοῦ τοῦ ἀπαιτουμένου, ὅσον ἐγὼ τὸν καλούμενον ἐπὶ τὸ δικαστήριον ἀπῄτουν. εἰσὶ δὲ καὶ ἕτεραι ἀναρίθμηται in factũ pœnales. ¶ Εἰσὶ δὲ καὶ præiudiciales

♦ Præiudiciales.

ἀγωγαί, ἐπὶ διαφόρων κινουμένων θεμάτων. Præiudicium δέ ἐστι, τύπος ἀπὸ ἰντεντίονος μόνης συγκείμενος. οὐδὲ γὰρ ἔχει καταδίκην ἐν ἑαυτῇ. In rem δέ ἐστι τοῦτο τὸ δικαστήριον. οἷον ὡς ἐπὶ τούτου τοῦ θέματος. ἀπεμάχετό τις πρὸς τὸν οἰκεῖον δεσπότην, λέγων ἑαυτὸν μὴ εἶναι δοῦλον αὐτοῦ. ἤγουν ὁ ἐμὸς ἀπελεύθερος ἀνεφώνει εἰς εὐγένειαν. δυνατὸν κινεῖσθαι ἐπὶ ἑνὸς ἑκάστου τούτων τῶν θεμάτων, πραιϊουδικιαλίως τὴν in rem. δύναται γὰρ ὁ ἀναφωνῶν εἰς ἐλευθερίαν κινεῖν λέγων· ΕἸ ΦΑΊΝΕΤΑΙ ΜΕ ἘΛΕΎΘΕΡΟΝ ΕἾΝΑΙ, καὶ οὐκ ἔτι ἐπάγειν ΚΑΤΑΔΊΚΑΣΟΝ Ὦ ΔΙΚΑΣΤΆ. τοιαύτη δέ ἐστι καὶ ἡ in rem præiudicialis, de partu agnoscendo, ἤτοι περὶ τοκετοῦ διαγνώσεως. οἷον εἶχον ἐγὼ γαμετὴν, ἐγκύμων γέγονεν ἐξ ἐμοῦ. διελύθη ῥεπουδίῳ ὁ γάμος, ἐτέχθη παῖς, οὐκ ἠβουλόμην τοῦτον τρέφειν,

quædam præiudiciales actiones, quæ diuersis in casibus procedunt. Præiudiciũ verò est formula ex sola intentione cõstans. Neque enim cõdemnationẽ in se habet. In rem autem est hoc iudicium, veluti in hac specie. Aliquis domino cõtrouersiam sui faciebat, dicens se seruũ illius non esse. Aut fortè libertus meus proclamabat ad ingenuitatem. Vtraq; hac in specie, pręiudicialis in rem actio moueri potest. Dicere enim potest is, qui ad libertatẽ proclamat: SI APPARET ME LIBERVM ESSE, nec necesse est subinferre, CONDEMNA IVDEX. Præiudicialis quoq; in rem est actio de partu agnoscendo. Veluti vxorem habebam quæ grauida ex me facta est. Solutum est diuortio matrimonium. Natusque est infans, hunc ego alere nolebam. po-

test mulier mecum agere, vt me cogat ad alẽdum puerum. Et coget, si planum fecerit, se grauidam ex me factam esse. Tres igitur diximus præiudiciales actiones, quarũ duas Prætor inuenit: & vna ex iure ciuili descendit, qua dicimus, SI APPARET ME LIBERVM ESSE. ¶ Dictum est, actionum alias esse in rẽ, & alias in personã. His igitur sic discretis, ac multum inter se differẽtibus, illud apertũ est: non posse actorem, eam rem cuius dominus sit, actione in personã petere, & dicere, SI APPARET ADVERSARIVM HANC REM MIHI DARE OPORTERE. Nam cuius quis dominus est, id ei dari nõ potest: quoniam dare, est dominum facere. At actor rei suæ amplius dominus

φειν, δύναται κινεῖν κατ' ἐμοῦ ἡ γυνὴ, ἀναγκάζουσά με, ὥστε θρέψαι τοῦτον τὸν παῖδα. καὶ ἀναγκάσει με, εἴγε ἀποδείξει ὅτι ἐξ ἐμοῦ γέγονεν ἐγκύμων. τρεῖς οὖν εἰρήκαμεν præiudiciales ἀγωγάς· ὧν τὰς μὲν δύο ἐπενόησεν ὁ πραίτωρ, ἡ δὲ μία κατάγεται ἐκ τοῦ πολιτικοῦ. ἔνθα λέγει τις ΕΙ ΦΑΙΝΕΤΑΙ ΜΕ ΕΛΕΥΘΕΡΟΝ ΕΙ͂ΝΑΙ. ¶ Εἰρήκαμεν ὅτι τῶν ἀγωγῶν, αἱ μέν εἰσιν in rem, αἱ δὲ περσονάλιαι. τούτων τοίνυν διακεκριμένων, καὶ πολὺ διϊσταμένων ἀλλήλων, ἐκεῖνο πρόδηλόν ἐστι, τὸ μὴ δύνασθαι τὸν ἐνάγοντα τὸ ὑπ' αὐτοῦ δεσποζόμενον πρᾶγμα, διὰ περσοναλίας ἀγωγῆς ἀπαιτεῖν καὶ λέγειν, ΕΙ ΦΑΙΝΕΤΑΙ ΤΟΝ ΑΝΤΙΔΙΚΟΝ ΤΟΔΕ ΤΟ ΠΡΑ͂ΓΜΑ ΧΡΗ͂ΝΑΙ ΜΟΙ ΔΟΥ͂ΝΑΙ. οὐδὲ γὰρ τὸ ὑπάρχον ὑπὸ τὴν δεσποτείαν τινὸς, τοῦτο αὐτῷ δίδοσθαι δύναται. δοῦναι γάρ ἐστι τὸ ποιῆσαι δεσπότην. ἐπὶ πλέον δὲ ὁ ἄκτωρ, δεσπότης τοῦ οἰκείου πράγματος οὐ

g. Sic itaq;

δύναται. ὑπέξελέ μοι τὴν φουρτίβιον κονδικτίτιον, ὃν δυνάμεθα κινεῖν κατὰ τοῦ κλέπτου, περὶ φάσει αὐτοῦ τοῦ πράγματος τοῦ κλαπέντος. μίσει γὰρ τῶν κλεπτῶν διὰ τὸ πολλαῖς αὐτοὺς κατέχεσθαι ἀγωγαῖς, παραβαίνομεν ἐνταῦθα τοὺς κανόνας. διὰ γὰρ μὲν τῆς furti, τὸ διπλάσιον, ἢ τὸ τετραπλάσιον λαμβάνομεν. αὐτὸ δὲ τὸ ὑφαιρεθὲν ἀπαιτοῦμεν ἢ κατὰ κανόνα διὰ τῆς in rem, ἢ παρὰ κανόνα διὰ τοῦ φουρτίβου κονδικτιτίου, λέγοντες. ΕΙ ΦΑΙΝΕΤΑΙ ΤΟΝΔΕ ΧΡΗ-
6. Appellamus. ΝΑΙ ΔΟΥΝΑΙ. ¶ Πᾶσαι δὲ αἱ in rē, τῷ γένει λέγονται vendicationes. ὥσπερ καὶ πᾶσαι αἱ περσονάλιαι κονδικτίτιοι προσαγορεύονται. καὶ πόθεν εἴρηται κονδικτίτιος, ἀναγκαῖον εἰπεῖν. Condicere ἐστὶ, κατὰ τὴν ἀρχαίαν διάλεκτον, τὸ παραγγεῖλαι. πάλαι γὰρ ὁ ἔχων δίκην πρός τινα παρήγγελε αὐτῷ, ὅπελθε τῇ δὲ τῇ ἡμέρᾳ ὡς δικασόμενος

fieri nō potest. Hinc tamen mihi excipe condictionem furtiuam, quam de rebus furto sublatis, aduersus furem mouere possumus. Odio enim furū, quo pluribus actionib⁹ teneantur, regulas iuris non perinde hic obseruamus. Nam per actionem furti, duplum quidem aut quadruplum consequimur. Rem verò ipsam, quæ ablata est, petimus: aut secundum regulam iuris per actionem in rem, aut contra regulā per condictionem furtiuam dicentes: SI APPARET HVNC DARE OPORTERE. ¶ Porrò oēs in rem actiones, generali verbo dicuntur Vindicationes: quemadmodū & omnes in personam, appellantur condictiones. Ac vnde dicta sit condictio, operæpretium est dicere. Condicere prisca & antiqua lingua significat denuntiare. Nam qui olim cum aliquo litem habebat denūtiabat ei, vt hoc aut illo die ad iudicium accipiend

accipiendum, aut litem prosequendam adesset. Hodie verò καταχρηστικῶς, id est, per abusionem condictio dicitur actio, quam actor intentans dicit: SI APPARET HVNC DARE OPORTERE. Nulla enim hoc tempore aduersario fit denuntiatio, quoniā non denuntiat ei petitor vt hoc aut illo die ad iudicium vel ad litigandum veniat. ¶ Secūda actionum diuisio est hæc: quòd quibusdam actionibus agamus ad rei persequutionem, hoc est nudam rem petentes: quibusdam ad pœnæ persequutionem: & quædā mixtæ sint, quæ simul & rei persequutionem habent, & etiam pœnales sunt. ¶ Et ad rei quidem persecutionem comparatæ sunt omnes in rem actiones. Earū quoque quæ in personā sunt hæ quæ ex contractu nascuntur, ferè omnes ad solam rei persequutionem condemnationē habent. Veluti condi-

μετ' ἐμοῦ. σήμερον δὲ καταχρηστικῶς λέγεται κονδικτίτιος ἡ ἀγωγὴ, ἐν ᾗ ὁ ἄκτωρ κινῶν λέγει, ΕἸ ΦΑΙ'ΝΕΤΑΙ ΤΟ'ΝΔΕ ΧΡΗ͂ΝΑΙ ΔΟΥ͂ΝΑΙ. ἐπειδὴ καὶ τὸ νῦν κρατοῦν, οὐδεμία πρὸς τὸν αὐτόδικον γίνεται παραγγελία. οὐδὲ γὰρ παραγγέλλει αὐτῷ ὁ ἐνάγων ὅτι δεῖ αὐτὸν ἐλθεῖν τῇδε τῇ ἡμέρᾳ καὶ δικάσασθαι.

¶ Δευτέρα τῶν ἀγωγῶν διαίρεσις αὕτη ὅτι τῶν ἀγωγῶν αἱ μὲν κινοῦνται, ad rei persequutionem, τουτέστι ψιλὸν τὸ πρᾶγμα ἀπαιτοῦντες. τινὰς δὲ ἐπὶ ἀπαιτήσει ποινῆς. τινὲς δέ εἰσι μικταὶ, ἔχουσαι καὶ rei persequutionem, εἰσὶ δὲ καὶ pœnales. ¶ Καὶ πρὸς μὲν rei persequutionem ἐπινενόηνται πᾶσαι αἱ in rem ἀγωγαί. ἐπὶ δὲ τῶν περσοναλίων, ὅσαι μὲν ἀπὸ συναλλαγμάτων κατάγονται, σχεδὸν πᾶσαι, ad rei persequutionem μόνην ἔχουσι τὴν καυσαλίαν. οἷον ὁ δανειακὸς κονδικτίτιος.

¶ sequens.

¶ Rei persequendæ.

ἢ ἀπὸ τῆς ἐπερωτήσεως ex stipulatu, ἢ commodati, ἢ depositi, ἢ pro socio, ἢ ex empto, ἢ ex vendito, ἢ locati, ἢ conducti. ἐπειδὴ δὲ εἶπον τὴν depositi, rei ἔχειν persequutionem μόνην, ὀφείλεις εἰδέναι, ὅτι εἰ ταραχῆς συμβάσης δημοτικῆς, ἤγουν ἐμπρησμοῦ, ἢ πτώσεως ἀπειλουμένης, ἢ ναυαγίου μέλλοντος γίνεσθαι παραθέμην Τιτίῳ πρᾶγμα, ἀπαιτούμενος δὲ ἐκεῖνος μετὰ ταῦτα, ὑπερέθετο ποιεῖσθαι τὴν ἀπόδοσιν, κινουμένης τῆς depositi κατ' αὐτοῦ τοῦ Τιτίου, ἢ καὶ κατὰ κληρονόμων αὐτοῦ, ἐν ᾧ ἐλέγχεται δόλος ὑπὸ τοῦ κληρονόμου ἁμαρτηθεὶς καταδικασθήσεται, οὐ μόνον τὸ πρᾶγμα, ἀλλὰ καὶ ἕτερον τοσοῦτον καταβαλεῖν. καὶ συναριθμηθήσεται ἡ depositi εἰς τὸ διπλοῦν, καίτοιγε ἀπὸ συναλλαγμάτων ἐγειρομένη. ὁμοίως καὶ ταῖς μικταῖς συναριθμουμένη ταῖς ἐχούσαις ποινὰς καὶ πράγματος ἀπαίτησιν.

§ 1 x male- fi. i s ¶ Αἱ δὲ ἐξ ἁμαρτήματος ἐγειρόμεναι

ctio mutui, ex stipulatu, commodati, depositi, pro socio, ex empto, ex vendito, locati, conducti. Quoniam verò dixi in deposito solam rei persequutionem versari, sciendum est, quòd si in publico tumultu incêdiòve, aut cum ruina vel naufragium timeretur, rem aliquam apud Titium deposuerim: atque is cùm res illa ab eo repeteretur, moram in reddendo fecerit: actione depositi aduersus Titium vel heredes eius mota, dum cum herede de dolo ipsius heredis agatur: nô solùm ad rem ipsam, verùm etiam ad alterum tâtùm reddendum cô demnabitur. Atque hoc casu actio depositi quamuis ex contractu nascatur, ad duplum competet, & mixtis actionib⁹, quæ & rei & pœnę persequutionem côtinent, adnumerabitur. ¶ Quæ autem ex-

maleficio actiones nascuntur, aliàs in sola pœnæ persequutione versantur, aliàs tam pœnæ quã rei persequutionem cõtinent, vt ideo mixtæ dicantur. Pœnã tantùm pſequimur, actione furti: siue manifesti agatur ad quadruplum, siue nec manifesti ad duplum. Nam ipsam rem quę furto ablata est, propria actione persequimur, aut in rem scilicet, siue fur ipse eam possideat, siue alius quilibet: aut condictione furtiua, quę aduersus ipsum furem cõpetit. Actio autem vi bonorum raptorum mixta est, quoniam in quadruplo & rei persequutio cõtinetur. Itaque quadruplum in sola pœna non est. Sed & actio legis Aquilię mixta est: non solũ cùm aduersus inficiãtem in duplum agitur, verùm etiã interdum cùm in simplum actio proponitur. Nam si quis hominem meum cùm claudus aut luscus

μένων ἀγωγαὶ, ποτὲ μὲν μόνης ποινῆς ἀπαίτησιν ἔχουσι, ποτὲ δὲ τοῦτο μὲν ποινῆς, τοῦτο δὲ καὶ τοῦ πράγματος αὐτοῦ, ὥστε αὐτὰς εἶναι μικτάς. ποινὴν μόνην ἀπαιτοῦμεν διὰ τῆς furti, εἴτε manifesti κινεῖται ἐπὶ τῷ τετραπλῷ, εἴτε nec manifesti ἐπὶ τῷ διπλῷ. τὸ γὰρ πρᾶγμα αὐτὸ τὸ κλαπὲν, διὰ ἰδιαζούσης ἀπαιτοῦμεν ἀγωγῆς, ἢ διὰ τῆς in rem, εἴτε ὁ κλέπτης, εἴτε ἕτερός τις τοῦτο νέμεται, ἢ διὰ τοῦ φουρτίβου κονδικτιτίου, ὃν κατ' αὐτοῦ τοῦ κλέπτου κινεῖν δυνάμεθα. ἡ δὲ vi bonorum raptorum μικτή ἐστι. ἐν γὰρ τῷ τετραπλῷ ἐστὶ καὶ ἡ τοῦ πράγματος ἀπαίτησις. ὥστε οὖν τὸ τετραπλοῦν οὐκ ἐν καθαρᾷ ἐστι ποινῇ. ἡ δὲ ἐκ τοῦ ἀκουιλίου ἀγωγὴ, μικτή ἐστιν, οὐ μόνον ἡνίκα κατὰ τοῦ ἀρνουμένου κινεῖται εἰς τὸ διπλάσιον, ἀλλ' ἔσθ' ὅτε καὶ ἡνίκα εἰς τὸ ἁπλοῦν ποιεῖται τὴν ἐναγωγήν. ἐὰν γάρ τις τὸν ἐμὸν οἰκέτην χωλὸν ὄντα, ἢ ἑτερό-

ὀφθαλμὸν φονεύσῃ, ἔτυχε δὲ οὗτος ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ ἀκέραιος ὤν, τυχὸν πρὸ ζ, ἢ η ἢ ι μηνῶν τῆς πληγῆς, οἶδας ὅτι ὁ δικαστὴς ἀνακλᾷ ἑαυτὸν εἰς τοὐπίσω, ἐπὶ ὁλόκληρον ἐνιαυτόν, ἡνίκα τὸ πρῶτον κεφάλαιον τοῦ ἀκυϊλίου πρακτεύζεται, καὶ ἐν ᾧ ἂν εὕρῃ χρόνῳ πλείονος ἄξιον ὄντα τὸν ἀναιρεθέντα οἰκέτην, πρὸς τὴν διατίμησιν ἐκείνης τῆς ἡμέρας ποιεῖται τὴν καταδίκην, κατὰ τὴν δεδομένην ἤδη διαίρεσιν. ἰδοὺ ἐνταῦθα εἰ καὶ εἰς ἁπλοῦν κινεῖται, ὅμως ἔχει καὶ ποινῆς ἀπαίτησιν. τοῦ γὰρ ἀναιρεθέντος οἰκέτου ἔσθ᾽ ὅτε ἀξίου ὄντος κατὰ τὸν καιρὸν τῆς ἀναιρέσεως ι νομισμάτων, ἡ καταδίκη γίνεται εἰς ρ νομίσματα. διὰ τὸ τοσούτου ἄξιον αὐτὸν γεγενῆσθαι κατ᾽ ἐκεῖνον τὸν καιρόν, ἐν ᾧ ὑγιὴς ἦν. μικτὴ δέ ἐστιν ὁμοίως ἀγωγή, ἐπ᾽ ἐκείνου τοῦ θέματος. τελευτῶν τις, ληγάτον, ἢ φιδεϊκόμμισσον κατέλιπεν ἐκκλησίᾳ, ἢ μοναστηρίῳ, ἢ εὐκτηρίῳ, ἢ ἑτέρῳ τοιούτῳ σε-

esset occiderit, atq; is eo anno integer fuerit, ante septem aut octo vel decem fortè menses quàm occideretur, didicisti Iudicem retro se ad totum annum referre, cùm primum caput legis Aquiliæ exercetur, & quocumq; tempore eũ, qui occisus est, plurimi fuisse compererit, ad eius diei æstimationem, condemnationem facere, secundùm iam traditam diuisioné. Ecce & hîc, quamuis in simplum agatur, habet tamẽ res pœnæ persequutionem. Nam interdum serui eius nomine, qui cùm occideretur, decem aureorũ fuerit, condemnatio fit in cẽtum aureos: propterea quòd tanti fuerit eo tempore, quo sanus erat & integer. Mixta etiã est actio illa in specie. Decedẽs aliquis legatum aut fideicõmissum ecclesiæ, vel monasterio, vel sa-

πτῷ

cello, vel alij venerabili loco reliquit: deinde is, qui legatum aut fideicommissum debebat, tādiu solutionem distulit, donec in ius vocaretur. Tunc enim & rem ipsam aut summam, quæ legata est, dare cogitur, & alterum tantum pœnę nomine, vt hinc appareat, in duplum condemnationem eius esse.

¶ Sunt quædam actiones, quę & actionis in rem & actionis in personam naturam in se habeāt. Talis est familię herciscundę actio, quę coheredibus competit de diuidenda hereditate. Nam & actionis in rem proprietatem habet, ꝙ ea de rebus agatur. Ex parte enim singuli coheredum domini sunt. Habet & actionis in personā effectum. Nam capita quędam in ea & excutiuntur, & in cōdemnationē deducuntur, quę actionis in personam & nō

πτωχῷ τόπῳ· εἶτα ὁ τὸ ληγάτον, ἢ τὸ φιδεϊκόμμισσον ἐποφείλων, μέχρι τοσούτου τὴν καταβολὴν ὑπερέθετο ποιήσασθαι, μέχρις οὗ εἰς δικαστήριον κληθεὶς παρεγένετο. τότε γὰρ καὶ αὐτὸ τὸ καταλειφθὲν πρᾶγμα, ἤτοι τὴν τῶν χρημάτων ποσότητα ἀναγκάζεται δοῦναι, καὶ ἕτερον τοσοῦτον ποινῆς ἕνεκα. ὡς ἐντεῦθεν δείκνυσθαι, ὅτι εἰς τὸ διπλοῦν ἔχει τὴν καταδίκην. ¶ Εἰσί τινες ἀγωγαί, αἵ τινες καὶ τῆς in rem καὶ τῆς personalis τὴν φύσιν ἔχουσιν ἐν ἑαυταῖς. τοιοῦτόν ἐστι, τὸ φαμιλίας ἐρκισκοῦνδαι, ὅπερ ἁρμόζει μεταξὺ τῶν συγκληρονόμων, ἕνεκα τῆς διαιρέσεως τῶν κληρονομιαίων πραγμάτων. ἔχει γὰρ καὶ τῆς in rē τὸ ἰδίωμα, καθὸ περὶ πραγμάτων κινεῖται. ἕκαστος γὰρ συγκληρονόμος ἐν μέρει δεσπότης ἐστίν. ἔχει δὲ καὶ περσοναλίας ἀποτελέσματα. ἐξετάζεται γὰρ ἐπὶ αὐτοῦ, καὶ κατάγεται εἰς καταδίκην κεφάλαια, ἅ τινα personalis, οὐ

6. Quędam

μὴν

μὴν τῆς in rem ἐστὶν οἰκεία. ὡς ἐν τοῖς de iudiciis σὺν θεῷ μαθησόμεθα. τὸ αὐτὸ ἐστὶν εἰπεῖν, καὶ ἐν τῷ communi diuidundo· ὅπερ κινεῖσθαι συμβαίνει, μεταξὺ τῶν ἐχόντων ἐπίκοινα πράγματα, ἐξ οἵας δήποτε αἰτίας, ἐπὶ τῷ ταῦτα διέλεσθαι συνηρίθμηται ταῖς εἰρημέναις ἀγωγαῖς, καὶ τὸ finium regundorum, μεταξὺ τῶν ἀγρογειτόνων γυμναζόμενον. οἵ τινες περὶ ὅρων πρὸς ἀλλήλους ἔχουσι φιλονεικίαν. ἐν δὲ τούτοις τοῖς τρισὶ δικαστηρίοις ἐπιτέτραπται τῷ δικαστῇ, ἑνὶ τῶν δικαζομένων, καθὸ δίκαιον καὶ κάλλιστον αὐτῷ φανῇ, προσκυροῦν τὸ κοινὸν πρᾶγμα, καὶ τῷ ἑτέρῳ ἕτερον ἀντικαταδικάζειν. οἷον καὶ τούτῳ ρ νομισμάτων ἄξιον, κἀκείνῳ ρ νομισμάτων ἄξιον. ἐπὶ τούτῳ γὰρ συγκροτεῖται τὰ δικαστήρια ταῦτα, ἐπὶ τῷ τὴν κοινότητα καταπαύεσθαι τὴν ἐντεῦθεν ἐγειρομένην φιλονεικίαν. εἰ δὲ συμβῇ τῷ ἑνὶ προσκυρωθῆναι

actionis in rem proprię sunt. Sicut infra fauente Deo in Titulo de officio iudicis discemus. Idē dicere possumus & in actione Communi diuidundo, quę inter eos redditur, qui quauis ex causa res inter se communes habent, vt hę diuidantur. Prędictis Actionibus adnumeratur & actio Finium regundorū, qua inter eos agitur, qui confines agros habent & de finibus inter se contendunt. In his autē tribus iudiciis permissum est iudici rē communem alicui ex litigatoribus ex bono & ęquo addicere, & alteri aliud quid adiudicāre: veluti huic rem, quę centū aureis valeat, & alteri rem, quę etiam cētum aureis valeat. Nam ideo hęc iudicia constituuntur, vt communio, quę contentiones & discordias gignere solet, tollatur. Quòd si vni addictus fuerit fun-

ἀγρὸν

dus mille aureûm, & alteri edes octingentorum aureûm: is qui fundum mille aureûm accepit, quoniam pars eius maior est, condemnādus est alteri qui edes octingentorum aureûm accepit, dare centum aureos: vt ita vterque ipsorum nongetenos aureos habeat. ¶Tertia diuisio actionum est hęc: quòd omnis actio aut in simplū, aut in duplum, aut in triplum, aut in quadruplum condēnationem habeat: vltra quadruplum nullam extēdi compertum est. Et in simplum quidem condemnationem habent, velut ex stipulatu, ex mutuo, ex empto, ex vendito, locati, conducti, mādati, & alię deniq; compluribus ex causis manantes. ¶In duplum verò, vt furti nec manifesti, legis Aquilię ex infitiatione, & interdū depositi, veluti cùm id quod tumultus

ἀγρὸν ἄξιον α̅ νομισμάτων, τῷ δὲ ἑτέρῳ οἰκίαν ω̅ νομισμάτων. καταδικασθήσεται ὁ λαβὼν τὸν ἀγρὸν τῶν α̅ νομισμάτων, διὰ τὸ μεῖζον αὐτοῦ εἶναι τὸ μέρος, δοῦναι τῷ λαβόντι τὴν τῶν ω̅ νομισμάτων οἰκίαν, ρ̅ νομίσματα, ὥστε ἕκαστον αὐτῶν ἔχειν, ἀνὰ ϡ νομίσματα. ¶Τρίτη τῶν ἀγωγῶν διαίρεσίς ἐστιν αὕτη. πᾶσα γὰρ ἀγωγὴ, ἢ εἰς ἁπλοῦν, ἢ εἰς διπλοῦν, ἢ εἰς τριπλοῦν, ἢ εἰς τετραπλοῦν ἔχει τὴν καταδίκην. περαιτέρω δὲ τοῦ τετραπλοῦ οὐκ ἔστιν εὑρεῖν. καὶ εἰς ἁπλοῦν μὲν ἔχουσι τὴν καταδίκην, οἷον ἡ ἀπὸ τῆς ἐπερωτήσεως ἀγωγὴ, ἡ ἀπὸ τοῦ δανείσματος, ἡ ex empto, ἡ ex vendito, ἡ locati, ἡ conducti, ἡ mandati. καὶ ἄλλαι δὲ ἐκ πλειόνων αἰτιῶν ἀναφυόμεναι ἀγωγαί. ¶Εἰς διπλοῦν δὲ, οἷον ἡ furti nec manifesti. καὶ ἡ τοῦ ἀκυιλίου ἐξ ἀρνήσεως. καὶ ἡ depositi, ἔσθ᾽ ὅτε, οἷον ἡνίκα μὴ ἀποδίδοται, τὸ ταραχῆς χάριν,

θ. Omnes autem.

θ. In duplū.

ἢ

ἢ ἐμπρησμοῦ παρατεθέν. ἔστι δὲ καὶ ἡ serui corrupti. ἥτις ἁρμόζει κατ' ἐκείνου, τοῦ περιτρέψαντος, ἢ συμβουλεύσαντος τῷ ἐμῷ οἰκέτῃ ὥς τε φυγεῖν ἢ ὥς τε αὐτὸν περιπετῆ κατ' ἐμοῦ γενέσθαι ἢ ἀσώτως ζῆν ἢ ἁπλῶς οἱῳδήποτε τρόπῳ χείρονας αὐτοῦ τοὺς τρόπους ἀποτελέσαι. κινουμένης δὲ ταύτης τῆς serui corrupti, ἐναχθήσεται καὶ εἰς τὴν τῶν ἀφαιρεθέντων τῶν αὐτοῦ πραγμάτων διατίμησιν. εἰς τὸ διπλοῦν ἔχει τὴν καταδίκην, καθὼς εἴρηται καὶ τὸ ληγάτον, ἢ τὸ φιδεικόμμισσον τὸ καταλειφθὲν σεπτοῖς τόποις, μέχρι τῆς εἰς τὸ δικαστήριον ἀφίξεως μὴ καταβληθέν. ¶ Εἰς τὸ τριπλοῦν γίνεται ἡ καταδίκη, ἐπὶ ἐκείνου τοῦ θέματος. διάταξις ἐστὶ τοῦ ἡμετέρου βασιλέως, ἥτις τοῖς τῶν ὑποθέσεων ἐκβιβασταῖς, λόγῳ σπορτούλων, ἐκεῖνό τι δίδοσθαι παρακελεύσαν, πρὸς τὴν ποσότητα τὴν ἐν τῷ βιβλίῳ τῶν αἰτιάσεων ἐμφερομένην. οἷον λόγου χάριν

§. Tripli.

aut incendij causa depositum est, non redditur. Ad hęc & serui corrupti, quę competit aduersus eum, cuius hortatu vel consilio seruus meus fugit, aut contumax in me factus est, aut prodigè vixit, aut (vt rem verbo absoluã) mores suos quocumq; modo in peius mutauit. Cùm autem serui corrupti agetur, & earũ rerum, quę ab illo ablatę fuerint, ęstimatio habẽda est. In duplum quoque condemnationem habet (vt dictum est) legatũ aut fideicommissum, quod venerabilibus locis relictum, nec antè quàm in ius iretur, solutum est. ¶ In triplum fit condemnatio, illa in specie. Constitutio est Imperatoris nostri, quę litium exequutoribus certũ quid sportularum nomine iubet dari secundùm quantitatẽ in libello conuentionis in-

μόζει

sertam: veluti (verbi gratia) vsque ad centum aureos constituit, vt dimidiũ aurei daretur. Quòd si maior fuerit quantitas, maiores esse voluit & sportulas.

Cùm igitur ego aduersario meo nocere vellẽ, & curare, vt maiores daret sportulas, tale quid commentus sum. Etenim cùm centum mihi aureos nec amplius deberet, libellum ei mille aureorum misi: quo facto necesse fuit ei ob maiorem summam in libello insertam, & maiores dare sportulas. Excussa igitur petitione, compertum est centum tantùm aureos mihi deberi. Et quoniam (exempli gratia) sex aureos plus dedit, quàm ex vero dare debebat, nascetur aduersus me actorem ex dicta constitutione, Condictio ex lege, qua in octodecim aureos conuenior, nempe sex illos, qui supra verum erant dati, & alios duodecim. Porrò

μέχρι ἑκατὸν νομισμάτων ὥρισε δίδοσθαι τὸ ἥμισυ τοῦ νομίσματος. εἰ δὲ μεῖζον εἴη ποσότης, πλείονα εἶναι καὶ τὰ σπόρτυλα. βουλόμενος οὖν ἐγὼ τὸν ἐμὸν ἀντίδικον ζημιῶσαι, καὶ ὑποβαλεῖν πλείονα σπορτύλαιν δοῦναι, ἐποφειλόμενος παρ' αὐτοῦ ἑκατὸν νομίσματα, ἔπεμψα αὐτῷ βιβλίον εἰς ᾱ νομίσματα, καὶ λοιπὸν ἀνάγκη γέγονε τῷ αἰτηθέντι, ὡς πολλῆς οὔσης τῆς ἐμφερομένης τῷ βιβλίῳ ποσότητος, πλείονα δοῦναι σπόρτυλα. τῆς δὲ αἰτήσεως οὖν ἐξεταζομένης, εὑρέθην ἑκατὸν νομίσματα ἐποφειλόμενος. καὶ ἐπειδὴ πλείονα ἂν ἔδει αὐτὸν κατὰ τὸ ἀληθὲς δοῦναι δέδωκε, λόγου χάριν ἕτερα ἓξ νομίσματα, τεχθήσεται κατ' ἐμοῦ τοῦ ἄκτωρος ἐκ τῆς εἰρημένης διατάξεως ὁ ἐκ λέγε κονδικτίτιος, μεθοδεύων με ιη νομίσματα, αὐτά τε τὰ ἐκ περιττοῦ δεδομένα ἓξ νομίσματα, καὶ ἕτερα ιβ. τῆς γὰρ ex lege

κονδικ-

κονδικτίτιον, ἀμάχως ἐκ διατάξεως τίκτεσθαι συμβαίνει.

θ. Quadrupli.

¶ Εἰς τὸ τετραπλάσιον ἔχουσι τὴν καταδίκην, ἡ furti manifesti. ἔτι δὲ καὶ ἡ metus causa. ἐὰν γὰρ ἐπαγάγω φόβον τινὶ, παρασκευάσω δὲ αὐτὸν τὸ οἰκεῖον πρᾶγμά μοι παραδοῦναι, ἕξει κατ' ἐμοῦ τὴν metus causa. καὶ καταδικασθήσομαι αὐτῷ, εἰς τὸ τετραπλοῦν. εἰσὶ καὶ δύο in factū, εἰς τὸ τετραπλάσιον ἔχουσαι τὴν καταδίκην. οἷον ὡς ἐπὶ τούτου τοῦ θέματος. δέδωκά σοι ἑκατὸν νομίσματα, ὥστε κινῆσαι κατά τινος δικαστήριον, καὶ ἀπραγμόνως αὐτῷ μὴ συγχωρῆσαι διάγειν. δύναται ὁ Τίτιος κινῆσαι κατὰ σοῦ τὴν in factum ἀγωγὴν, ῡ σε ἀπαιτῶν νομίσματα. ἢ καὶ ἐβούλετό τις, μηδεμίαν ἔχων κατ' ἐμοῦ ἀγωγὴν, κατὰ συκοφαντίαν εἰς τὸ δικαστήριον ἕλκειν με. φοβηθεὶς ἐγὼ διὰ τὴν προσοῦσαν μὴ ἀπραγμοσύνην, δέδωκα τούτῳ νομίσματα ἑκα-

dubiū non est, quin ex constitutionibus, & condictio ex lege nascatur. ¶In quadruplū habent condemnationem actio furti manifesti, & actio Quod metus causa. Nam si cui metum incussi ac curaui, vt rem suā is mihi traderet, habebit aduersum me actionem Quod metus causa, & in quadruplum ei condēnabor. Sunt & duę in factum actiones, quę condemnationem in quadruplū habeant. Velut in hac specie. Centum tibi aureos dedi, vt Titio controuersiā faceres, nec sine molestiis eum viuere sineres. Potest Titius tecum in factum agere, & quadringentos aureos à te petere. Aut etiam: quidam cùm nullā mecum haberet actionem, calumnię causa ad iudicium me volebat trahere. Ego id metuens homo ab omnibus litibus abhorrens & negotiorum huiuscemodi imperitus, centū ei dedi aureos, vt iudicium

iudicium quod mihi minitabatur, effugerem. Possum ad eum regredi, & in factum cum eo agere, ac quadruplum aureorum, quos ei dederam, persequi. Est & ex constitutione Imperatoris nostri prodita cōdictio ex lege, quæ & ipsa cōdemnationem habet in quadruplum. Velut in tali specie. Litem habebā cum aduersario meo. Libellum ei miseram summę quā mihi ex vero debebat. Exequutor cū sportularum nomine, duos tantùm aureos accipere deberet, accepit octo. Condictione ex lege, ad quadruplū octo aureorum cum eo agetur. ¶ Diximus iam dupli condemnationē versari in actione furti nec manifesti, & serui corrupti, & ex lege Aquilia, & depositi, interdum etiam in legati, fideicōmissive, quod venerabilibus locis relictum est petitione.

τὸν, ἐπὶ τῷ τὰ ἀπειλούμενα διαφυγεῖν δικαστήρια. δυνάμαι ἐπιστραφεὶς κινῆσαι κατ' αὐτοῦ τὴν in factum, καὶ τῶν ὑπ' ἐμοῦ δεδομένων νομισμάτων ἀπαιτῆσαι αὐτὸν τὸ τετραπλοῦν. ἔστι δὲ ὁ ex lege κονδικτίκιος ἐκ διατάξεως τοῦ ἡμετέρου βασιλέως, ἔχων εἰς τὸ τετραπλοῦν τὴν καταδίκην, ὡς ἐπὶ τοιούτου θέματος. ἠπιστάμην ἐγὼ τὸν ἐμὸν ἀντίδικον. ἔπεμψα αὐτῷ βιβλίον τῆς ἐποφειλομένης κατὰ τὸ ἀληθὲς ποσότητος. δέον τὸν ἐκβιβαστὴν ὀνόματι σπορτούλων λαβεῖν δύο νομίσματα, ἔλαβεν η̄ νομίσματα· κινηθήσεται κατ' αὐτοῦ ὁ ex lege κονδικτίκιος. τὸ τετραπλοῦν τῶν η̄ νομισμάτων αὐτὸν μεταδιδοῦσων.

¶ Εἰρήκαμεν εἰς τὸ διπλοῦν ἔχειν τὴν καταδίκην, τὴν furti nec manifesti. καὶ τὴν serui corrupti. καὶ τὸν ἀκουΐλιον, καὶ τὴν depositi. ἔστιν ὅτε, καὶ τὴν ἐπὶ τῷ ληγάτῳ, ἢ φιδεϊκομμίσσῳ ἀπαίτησιν, ὅπερ κατελείφθη σεβασμίοις

8. Sed furti quidem.

τόποις. διαφορὰ δὲ μεταξὺ αὐτῶν τῶν ἀγωγῶν αὕτη. ὅτι ἡ furti nec manifesti, καὶ ἡ serui corrupti παντὶ τρόπῳ εἰς τὸ διπλοῦν ἔχουσι τὴν καταδίκην. εἴτε ἀρνεῖταί τις, εἴτε ὁμολογεῖ. ὁ δὲ ἀκουΐλιος, καὶ ἡ deposit, ἐπὶ τῶν εἰρημένων θεμάτων, κατὰ μὲν τῶν ἀρνουμένων διπλασιάζονται· κατὰ δὲ τῶν ὁμολογούντων, εἰς ἁπλοῦν ποιοῦνται τὴν καταδίκην. ἐπὶ δὲ τοῦ ληγάτου τοῦ καταλειφθέντος ἐκκλησίαις, ἢ καὶ ἑτέροις τιμίοις τόποις, οὐ μόνον ἡνίκα τις ἀρνεῖταί ἐστι κατ' αὐτοῦ ἡ εἰς τὸ διπλοῦν καταδίκη, ἀλλὰ καὶ ἡνίκα ὑπερέθετο τοῦ καταλιμπανομένου ποιήσασθαι τὴν ἀπόδοσιν, μέχρις οὗ κελεύσει τῶν προσφόρων ἀρχόντων ὀχληθῇ. κατὰ γὰρ τοῦ ὁμολογοῦντος, καὶ πρὸ τῆς κατὰ κέλευσιν ἀρχόντων ὀχλήσεως ἀγνωμονοῦντος, εἰς ἁπλοῦν ἐστιν
6. Itē actio. ἡ καταβολή. ¶ Ἐπὶ δὲ τῶν εἰς τετραπλοῦν ἐχουσῶν τὴν καταδίκην ἐστιν αὕτη ἡ διαφορά. ἡ γὰρ metus causa διη-

ne. Sed inter eas actiones hęc est differentia, quòd furti nec manifesti actio, & serui corrupti, omnimodo habeant dupli condemnationem, siue quis negauerit, siue confessus fuerit: actio verò legis Aquilię & in his casibus, qui relati sunt, depositi, aduersus infitiantes duplicentur, in confitentes verò simpli condemnationem inducant. In legato autē quod ecclesiis aut aliis venerabilibus locis relictum est, nō solùm cùm quis infitiatur in duplum crescat cōdemnatio, verum etiam cùm relicti solutionem tamdiu differt, donec iussu competentium magistratuum conueniri cœpit. In confitentem verò, & antequam iussu magistratuum conuentus fuerit soluētem, simpli fit. ¶Porrò inter actiones, quę quadrupli condemnationem habent, ea est differentia. Nā

actio Quod metus causa, eò differt à ceteris, quòd eius natura tacitè continetur: vt qui ea conuentus est, si iussu iudicis, rem vi ablatam actori restituerit, absoluatur. Quod in ceteris actionibus haud ita est, quoniã in his omnimodo quisque in quadruplum cõdemnatur. Veluti in duabus illis, quę in factum dantur. Item in condictione ex lege, quę aduersus exequutorem competit, qui maiores sportulas, quàm legibus cautũ est, accepit, quemadmodum & in actione furti manifesti.

¶ Actionum quędã sunt bonę fidei, alię stricti iuris. Bonę fidei sunt hę, ex empto, ex vendito, locati, conducti, negotiorum gestorum, mandati, depositi, pro socio, tutelę, cõmodati, pigneratitia, familię herciscũdę, communi diuidundo, pręscriptis verbis, quę dicitur ęstimatoria (huic au

ήνεγκε τῶν λοιπῶν τοῦτο, ὅπερ σιωπηρῶς τῇ φύσει αὐτῆς παρέπεται. ἐὰν γὰρ ὁ ταύτῃ ἐναγόμενος, κελεύσει τοῦ δικαστοῦ, τὸ κατὰ βίαν ληφθὲν πρᾶγμα ἀποκαταστήσῃ τῷ ἐνάγοντι, ἀπολύεται. ὅπερ ἐπὶ τῶν λοιπῶν ἀγωγῶν οὐχ οὕτως ἔχει. ἐπ' ἐκείνων γὰρ παντὶ τρόπῳ εἷς ἕκαστος εἰς τὸ τετραπλοῦν καταδικάζεται. οἷον ἐπὶ τῶν δύο, in factum, καὶ τῆς ex lege κονδικτιτίου, ὅς τις ἁρμόζει κατὰ ἐκβιβαστοῦ, πλείονα τῶν νενομισμένων σπορτούλων κομισαμένου. ὥσπερ καὶ ἐπὶ τῆς furti manifesti. ¶ Τῶν ἀγωγῶν αἱ μέν εἰσι bonæ fidei, αἱ δὲ strictæ. Bonæ fidei εἰσὶν αὗται, ex empto, ex vendito, locati, conducti, negotiorum gestorũ, mandati, depositi, pro socio, tutelæ, cõmodati, pignoratitia, familiæ herciscundæ, communi diuidundo, præscriptis verbis, ἡ λεγομένη æstimatoria. χώ- 6. Actionũ.

ρα δὲ αὕτη ἐστὶν, ἡνίκα διατιμησάμενος πρᾶγμα, οἷον κόσμιον ἢ ἕτερόν τι τοιοῦτον παράσχω σοι ἐπὶ τῷ πωλῆσαι εἰπὼν, ἢ φέρε μοι ρ΄ νομίσματα, ἢ αὐτὸ τὸ πρᾶγμα. καὶ ἡ ἑτέρα præſcriptis verbis, ἥτις ἁρμόζει ἐπὶ τοῦ περμουτατίονος. hereditatis petitio. εἰ καὶ τὰ μάλιστα γὰρ μέχρι τῆς σήμερον ἐστασιάζετο αὕτη, καὶ ἄδηλον ἦν, πότερον συναριθμεῖται τοῖς bonæ fidei δικαστηρίοις, ἢ οὐ συναριθμεῖται, ὅμως διάταξις τοῦ ἡμετέρου βασιλέως σαφῶς εἶναι ταύτην ἐκέλευσε τῶν bonæ fidei. ¶Καὶ ἡ rei vxoriæ πάλαι. ἥρμοζε δὲ αὕτη μετὰ διάλυσιν τοῦ γάμου τῇ γυναικὶ κατὰ τοῦ οἰκείου ἀνδρὸς, ἐπὶ ἀναλήψει τῶν προικιμαίων πραγμάτων, καὶ ἦν τῶν bonæ fidei. ἀλλὰ διάταξις τοῦ ἡμετέρου βασιλέως ταύτην ἀνελοῦσα, δέδωκε πρὸς ἀνάληψιν τῆς προικὸς τὴν ex ſtipulatu, ὡς οὖσαν πλατυτέραν. καὶ πᾶν τὸ τῆς rei vxoriæ δί-

§. Fuerat.

tem tunc locus eſt, cùm rem aliquam æſtimatam tibi trado, vt vendas: dicendo, aut centum mihi aureos, aut rem ipſam referto) & alia præſcriptis verbis quę ex permutatione competit, item hereditatis petitio. Nam quamuis ad hunc vſq; diem certatum de ea, & dubitatum fuerit, in numerõne bonęfidei iudiciorum habenda, an non habẽda eſſet, Imperatoris tamen noſtri conſtitutio apertè eam bonęfidei eſſe voluit. ¶Erat olim & actio rei vxorię. Hęc autem ſoluto matrimonio, vxori aduerſus maritum dabatur, ad repetendas res dotales, & inter actiones bonęfidei erat. Sed imperatoris noſtri conſtitutio, hac ſublata, actionem ex ſtipulatu, vt quę plenior ſit, & latius ſe porrigat, ad dotis repetitionem cõceſſit: & omne ius, quod a-

καιον

ctio rei vxorię habebat, in hanc transtulit: ac ea in specie actionem ex stipulatu bonęfidei effecit, multísque aliis diuisionibus actioni ex stipulatu, quę ad dotem repetendam cō petit, inuentis, & tacitam hypothecam actioni ex stipulatu ad dotis exactionē dedit, & quibusuis creditoribus, quamuis priores sint tempore, pręferri eam voluit. Sed hoc tum demū, cùm mulier de his ipsis quę dotis nomine intulit, vult experiri. Quapropter, si ad exigēdam antenuptialem vel ob nuptias factā donationem, actione ex stipulatu velit agere, non iisdem fruetur priuilegiis.

¶ In bonęfidei iudiciis libera facultas est Iudici ex bono & ęquo æstimandi, quantum actori reū dare oporteat. Pars autem tam liberæ iudicis potestatis est & illa. Nam si quis mecum agat actione

κεῖον ἐπὶ τούτων μετήγαγε. καὶ τούτῳ τῷ θέματι τὴν bonæ fidei τὴν ex stipulatu ἀπετέλεσε. καὶ ἑτέρας πολλὰς διαφορὰς ἐπινοήσας αὐτῇ τῇ ex stipulatu, ἐπ' ἀπαιτήσει προικὸς ἁρμοζούσῃ, καὶ σιωπηρὰν δέδωκεν ὑποθήκην τῇ ex stipulatu, ἐπ' ἀπαιτήσεως τῆς προικὸς, καὶ προτίμησιν παντὸς δανειστοῦ, εἰ καὶ πρεσβύτερός ἐστι τῷ χρόνῳ. ἀλλὰ τότε ἡνίκα βούλεται ἡ γυνὴ, αὐτὰ τὰ ἐπιδοθέντα ὑπ' αὐτῆς λόγῳ προικὸς ἀναλαβεῖν. ὥστε οὖν ἐπὶ ἀπαιτήσει τῆς προγαμιαίας δωρεᾶς, ἤγουν τῆς διὰ γάμον γινομένης δωρεᾶς, εἰ βουληθῇ χρήσασθαι τῇ ex stipulatu, τῶν αὐτῶν οὐ τεύξεται προνομίων.

¶ Ἐπὶ τῶν bonæ fidei δικαστηρίων ἐξουσία δέδοται τῷ δικάζοντι ἐκ τοῦ καλλίστου καὶ τοῦ δικαίου κρίνειν, ὅσον τῷ ἄκτορι τὸν ῥέον ἀποκαταστῆσαι χρή. μέρος δὲ τῆς ἐλευθέρας ἐξουσίας ἐκείνης τοῦ δικαστοῦ ἐστι καὶ τοῦτο. ἐὰν γάρ τις κινεῖ κατ' ἐμοῦ 6. In bonæ fidei.

ἀγωγὴν bonæ fidei, δέκα με ἀπαιτῶν νομίσματα, ἀντεποφείλει δέ μοι ε̄ νομίσματα, κομπενσατεύσας ὁ δικαστὴς, ἅπερ ἐκεῖνος ἀντεποφείλει μοι, οὐκ εἰς τὰ ῑ νομίσματα, ἀλλ' εἰς τὰ ε̄ με καταδικάσει. κομπενσατίων δέ ἐστιν ὁ ἀντέλλογος, τουτέστι τὸ ἀντελλογίσασθαι τὰ ἐποφειλόμενα. ταῦτα μὲν οὖν ἡ φύσις βούλεται τῶν bonæ fidei δικαστηρίων. ἐπὶ δὲ τῶν στρίκτων, ἐπειδὴ τῆς ἀκριβείας αὐτῆς γίνεται λόγος, εἰ κινῶν τις κατ' ἐμοῦ περὶ ῑ νομισμάτων τυχὸν, εἰ καὶ ἀντεποφείλει ε̄ νομίσματας εἰ, τὰ ῑ οὐδὲν ἧττον καταδικασθήσομαι. καὶ ταῦτα μὲν, ὅσον ἐκ τῆς ἀκριβείας αὐτῆς. διάταξις δὲ γέγονε Μάρκου τοῦ βασιλέως, ἥ τις φησὶν, ἐναγόμενόν με στρίκτῳ ἀγωγῇ περὶ ῑ νομισμάτων, καὶ ἀντεποφειλόμενον ε̄, δύνασθαι ἀντιτιθέναι τῇ ἀγωγῇ τὴν τοῦ δόλου παραγραφήν. καὶ τῆς τοιαύτης ἀντιτεθείσης παραγραφῆς,

bonę fidei, & decem à me petat aureos, atque is inuicem mihi debeat quinque aureos: iudex compẽsatione habita eius quæ inuicẽ mihi debentur, non in decem aureos, sed in quinque me condemnabit. Est autẽ Compẽsatio Græcè ὁ ἀντέλλογος, hoc est, inuicem imputãdi quæ contra debẽtur ratio. Et hæc quidem est natura iudiciorum bonæ fidei. In iudiciis autẽ stricti iuris, quoniam ibi summa & exacta iuris constituti ratio habetur, si quis mecum agat ad decem aureos fortè, quamuis inuicẽ mihi quinque debeat, nihilominus tamen in decem condemnandus sum. Atque id quidem quantũ ad strictam iuris rationem attinet. sed emissum est Marci Cæsaris rescriptum, quo cauetur: vt cùm stricti iuris actione decem aurei à me petuntur, & quinque inuicem mihi debẽtur, liceat mihi doli exceptionem agenti opponere. Qua exceptione opposita,

potestas datur iudici, vt compensationem admittat, & me in quinque tantum aureos condemnet. Et hæc quidem ex veteribus constitutionibus. Sed Imperatoris nostri constitutione cautum est, vt liquidæ, apertæq; & certæ compensationes ipso iure actionem minuant, siue in rem agatur, siue in personam: veluti, mecum aliquis actionem habet decem aureorum, bonæ fidei aut stricti iuris. Is mihi inuicé debet aureos tres.

Ipso iure actio, quá mecum is habet, simul atque mihi inuicem debere cœpit, tribus aureis minuta est. Sic vt ego non decem iam aureos, sed septem tantùm debere intelligar. Locum hæc habere dixi in quauis actione, tum in ré, tum in personam, sola depositi actione excepta. Nam si quis decem aureos apud me deposuerit, & is mihi inuicé tres debeat: depositi mecum agendo, decem aureos per-

χώρα δίδοται τῷ δικαστῇ δέξασθαι τὴν κομπενσατίονα, καὶ εἰς ε μόνα καταδικάσαι νομίσματα. ταῦτα μὲν οὖν ἐκ τῶν παλαιοτέρων διατάξεων. ἡ δὲ τοῦ ἡμετέρου βασιλέως παρακελεύεται διάταξις, τὰς σαφεῖς καὶ ἀναμφιβόλους κομπενσατίονας, ipso iure μειοῦν τὴν ἀγωγήν· εἴτε in rem ἐστὶν, εἴτε περσοναλία. οἷον ἔχει τις κατ' ἐμοῦ ἀγωγὴν, ἢ strictam, ἢ καὶ bonæ fidei, περὶ ι νομισμάτων. ἀντεποφείλει δέ μοι γ νομίσματα. αὐτῷ τῷ νόμῳ, ἅμα τῷ ἀντεποφειληθῆναι, ἡ κατ' ἐμοῦ ἀγωγὴ μειοῦται τρισὶ νομίσμασι. ὡς μηκέτι με ι, ζ δὲ μόνον ἐποφείλειν νομίσματα. εἶπον δὲ ταύτην χώραν ἔχειν ἐπὶ πάσης in rem, καὶ περσοναλίας, ἐξῃρημένης μόνης τῆς depositi. ἐὰν γάρ τις παραθῆταί μοι ι νομίσματα, ἀντεποφείλει δέ μοι τρία, κινήσει δὲ κατ' ἐμοῦ τὴν depositi, τὰ ι νομίσματα μεθοδεύσει. αὐτο-

πώποτε γὰρ ἐνόμισεν ὁ θειότατος ἡμῶν βασιλεὺς, ἀνεπιτήδειον τὴν κομπενσατίονα, καὶ προσχήματι ταύτης, τῶν παρατεθέντων πραγμάτων μὴ γίνεσθαι τὴν ἀπαίτησιν εἰς ἀκέραιον.

§. Præterea. ¶ Εἰσί τινες ἀγωγαὶ, ἃς arbitrarias προσαγορεύομεν, διὰ τὸ τῆς κρίσεως ἠρτῆσθαι τοῦ δικαστοῦ, ἐν αἷς εἰ μὴ μεσιτείᾳ καὶ τῇ κελεύσει τοῦ δικαστοῦ, ὁ ῥέος ἀποκαταστήσῃ, ἢ εἰς μέσον παραστήσῃ, ἢ καταβάλῃ, ἢ εἰς noxam δῷ τὸν οἰκέτην, ἢ τὸ πρᾶγμα τῷ ἄκτορι, καταδικάζεται πάντως. τοῦτο δὲ ποιήσας, καὶ ἀποκαταστήσας, ἢ ἕν τι τῶν εἰρημένων πράξας, διαφεύγει τὴν καταδίκην, διὰ τὸ ἰδικῶς ἐγκεῖσθαι ταῦτα ταῖς ἀγωγαῖς. εἰσὶ δὲ αὗται, αἱ μὲν in rem, αἱ δὲ περσοναλίαι. In rem, οἷον ἡ publiciana. κινῶ δὲ ταύτην, ἐὰν τοῦ bona fide κατεχομένου, καὶ οὐσουκαπιευομένου ἐν τῷ μεταξὺ ἐκπέσω. καὶ ἡ Seruiana δέ ἐστι τοιαύ-

sequi potest. Satis enim impium esse putauit Imperator noster sanctißimus hac in specie compensationis nomine aliquid opponi: & eius prætextu res depositas in solidum non exigi. ¶Præterea sunt quædam actiones quas ideo Arbitrarias dicim', quòd ex arbitrio iudicis pendeant. In quibus nisi intercessione, arbitrio, & iussu iudicis, reus rem vel seruũ actori restituat, vel exhibeat, vel soluat, vel noxæ dedat, omnino condemnari debet. Quòd si id egerit, & restituerit, aut eorum quæ dicta sunt, quid fecerit: cõdemnationem effugit. propterea quòd specialiter ea his actionibus inesse creduntur. Porrò harũ, aliæ in rem sunt, aliæ in personã. In rem: veluti Publiciana. Hac autem agimus, cùm id, quod bona fide poßidebamus & vsucapiebamus, medio tẽpore amissum est. Item & Seruiana talis est de rebus

bus coloni, qui ob mercedem agri, quē à me conduxit, res mihi suas, quas in eum inferret, in hypothecæ causam obligauit. Est & quasi Seruiana, quæ & hypothecaria appellatur, & cuiuis creditori datur ad persequutionem rerum pignori obligatarū. Etenim si qua harū actionum actum fuerit, & reus præcepto iudicis obsequutus, rem ante condemnationem restituerit, absolutioné consequetur. Arbitrariæ autem in personam sunt, actio Quod metus causa, & de dolo. Actio autem Quod metus causa est, qua tecum ago ad rem, quæ mihi per vim ablata est. Nā si tu Iudice auctore rem illam mihi restitueris, quadrupli condemnationem euitas. Talis est & actio de dolo: veluti, illectū tu me, vino forsitā obrutum, vel aliter deceptum, eò perduxisti, vt rem tibi meā traderem. Tandem

τη, ἣν κινῶ κατὰ τῶν πραγμάτων τοῦ coloni, ὃς ἐπὶ τῷ μισθώματι τοῦ ἀγροῦ ὑπέθετό μοι, τὰ ἐκεῖ εἰσενεχθέντα ὑπ' αὐτοῦ πράγματα. ἔστι δὲ καὶ ἡ quasi Seruiana, ἥτις ὑποθηκαρία προσαγορεύεται, παντὶ τῷ κρεδίτωρι παρεχομένη, ἐπὶ ἐκδικήσει τῶν ὑποκειμένων πραγμάτων. μιᾶς γὰρ τούτων κινουμένης, ἐὰν ὁ ῥέος κελεύσει πεισθεὶς τοῦ δικαστοῦ, ἀποκαταστήσει τὸ πρᾶγμα πρὸ καταδίκης, ἀβσολουτζίονος τεύξεται. περσοναλίαι δέ εἰσιν ἀρβιτράριαι, ἡ metus causa, καὶ ἡ de dolo. Metus causa δέ ἐστιν, ἣν κινῶ κατὰ σοῦ, τὸ παρ' ἐμοῦ βίᾳ ἀφαιρεθὲν ἀπαιτῶν σε. ἐὰν γὰρ πεισθεὶς τῷ δικαστῇ, ἀποκαταστήσῃ μοι τὸ πρᾶγμα, τὴν τοῦ τετραπλοῦ καταδίκην ἐκκλίνεις. Καὶ ἡ de dolo δὲ τοιαύτη, οἷον ἐδελέασας τυχὸν μεθύσας με, ἢ καὶ ἑτέρως πῶς ἀπατήσας, καὶ παρασκευάσας με τὸ ἐμὸν πρᾶγμα τραδιτεῦσαί σοι. τελευ-

ταῖον ἐγὼ ἀναλαβὼν ἐμαυτὸν, κινῶ κατὰ σοῦ τὴν de dolo. καὶ εἰ πρὸ καταδίκης ἀποκαταστήσῃς μοι τὸ πρᾶγμα, ἐκφεύγεις τὴν καταδίκην, καὶ τὴν ἐντεῦθεν ἐπαγομένην ἀτιμίαν. καὶ ἡ ad exhibendum δὲ ἀγωγὴ ἀρβιτραρία ἐστίν. ἐὰν γὰρ ὁ ἀποκρύπτης πρᾶγμα ἀποκαταστήσῃς, οὐκέτι καταδικασθήσῃ. ἐπὶ πασῶν τοίνυν τούτων τῶν ἀγωγῶν καὶ τῶν ὁμοίων ἐπιτέτραπται τῷ δικαστῇ, ἐκ τοῦ καλλίστου καὶ τοῦ δικαίου, κατὰ τὴν μιᾶς ἑκάστης ἀγωγῆς φύσιν διατιμήσασθαι, καὶ κρῖναι τίνα τρόπον τὸ ἱκανὸν γενέσθαι τῷ ἄκτορι προσήκει.

§.Curare. ¶ Καὶ παραινοῦμεν τῷ δικαστῇ καθ' ὅσον αὐτῷ δυνατὸν εἰς κέρταν ποσότητα, ἤτοι εἰς κέρτον πρᾶγμα, ποιῆσαι τὴν καταδίκην, εἰ καὶ ἰνκέρτα ἐστὶν ἡ παρ' αὐτῷ κινουμένη ἐναγωγή. καὶ λέγειν, ΚΑΤΑΔΙΚΆΖΩ ΤΌΝΔΕ ΕἸΣ ρ ΝΟΜΊΣΜΑΤΑ, ἢ ΚΑΤΑΔΙΚΆΖΩ ΤΌΝΔΕ ΕἸΣ ΤΌ-

ego ad me reuersus & mihi redditus, de dolo tecum agere cœpi. Si ante condemnationem rem illam mihi restitueris, simul & condemnationem effugis & infamiam, quæ inde consequitur. Ad exhibendum quoq; actio arbitraria est. Si enim rem quam apud te occultas, exhibueris, condemnandus non es. In omnibus igitur his actionibus, & si quæ similes sunt, permissum est iudici ex bono & æquo, secũdum rei cuiusq; de qua actum est, naturam, æstimare ac statuere, quemadmodũ satis actori fieri debeat. ¶ Monemus autem Iudicem, vt quatenus id ab eo fieri potest, certæ quantitatis, aut certæ rei condemnationem faciat, etiãsi de incerta re aut quantitate apud eum actum fuerit: ac dicat, CONDEMNO HVNC IN CENTVM AVREOS, aut, CONDEMNO HVNC IN

EAM REM: nec ita ferat sententiam, QVANTVM COMPERTVM FVERIT EVM DEBERE: quoniam talis condemnatio, non finem controuersiæ imponit, sed alteri controuersiæ litiq; caussam dat. ¶ Admonendus est & actor, vt intentionem suam & actionem ita constituat, vt non amplius quàm sibi verè debetur petat. Nam si maiorē summā quàm debetur, ea complexus fuerit, veluti si quum decem aurei deberentur, ad quindecim egerit: non solum eos, quos præter verum petiit, id est, quinque illos non habebit, sed etiam decem illos qui verè debentur, amittet. Est autem hic finis plus petitionis, falsa veris miscere. Ac neque auxilio vllo iuuatur, neque facilè in integrum restituitur, nisi fortè minor sit vigintiquinque annis. Nam adulto sicut plerisq; aliis ex caussis, Prætor caussa cognita, & comperto,

ΔΕ ΤΟ ΠΡΑΓΜΑ. οὐ μὴν ἀποφαίνεσθαι, ΟΣΟΝ ΑΝ ΕΥΡΕΘΗ ΕΠΟΦΕΙΛΩΝ. εὑρεθήσεται γὰρ ἡ τοιαύτη καταδίκη οὐ πέρας γινομένη φιλονεικίας, ἀλλ' ἑτέρας φιλονεικίας καὶ δίκης ἀρχή.

¶ Παραινοῦμεν δὲ τῷ ἄκτορι, αὐτὴν τὴν ἰντεντίονα καὶ τὴν ἐναγωγὴν, εἰς τὸ ἀληθὲς περιποιεῖσθαι χρέος. εἰ γὰρ ἀποθοιτο πλείονα ποσότητα ὧν ἐποφείλεται, οἷον εἰς ι νομίσματα ἐποφειλόμενος περὶ ιε ἐκίνησεν, οὐ μόνον τὰ περιττὰ οὐ λήψεται ε, ἀλλὰ καὶ τῶν ἀληθῶς ἐποφειλομένων αὐτῷ ι ἐκπίπτει. οὗτος γὰρ ὁ ὅρος plus petitionis, τὸ ψεῦδος ἀναμῖξαι τῇ ἀληθείᾳ. καὶ οὐδὲ βοηθεῖται, οὐδὲ εὐχερῶς τῆς εἰς ἀκέραιον ἀποκαταστάσεως ἀπολαύσει, εἰ μὴ ἄρα ἐλάττων ἐστὶ τῶν κε ἐνιαυτῶν. τῷ γὰρ ἀφήλικι ὥσπερ καὶ ἐν ἄλλαις πολλαῖς αἰτίαις causa cognita, τουτέστι τὴν αἰτίαν διαγνοὺς, καὶ εὑρὼν αὐτὸν διὰ τὸ 6. Si quis agens.

τὸ νέον τῆς ἡλικίας ἑαυτὸν περιγράψαντα, ὁ πραίτωρ αὐτῷ συντρέχει. οὕτω κἀνταῦθα τῆς ὁμοίας αὐτὸν κατὰ τὸ συνηθὲς ἀξιοῖ βοηθείας. ἔστι δὲ ὅτε καὶ τοῖς τελείοις δίδωσι τὴν ἀποκατάστασιν, ἡνίκα μεγίστη καὶ εὔλογος αἰτία πρόφασιν παράσχῃ τῇ πλάνῃ, ὥστε καὶ τὸν σφόδρα συνετὸν ἀπατηθῆναι. οἷον ὡς ἐπὶ τούτου τοῦ θέματος. τελευτῶν τις καὶ ἔχων ῡ νομισμάτων περιουσίαν, ἐνεστήσατό με κληρονόμον. ἐληγάτευσε πρίμῳ νομίσματα ρ. σεκουνδῷ ρ. ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης ἔγραψε κωδίκελλον, ἐν ᾧ κωδικέλλῳ κατέλιπε τερτίῳ, καὶ κουάρτῳ, ἀνὰ ρ νομίσματα. ὀφείλεις δὲ εἰδέναι ὅτι ὁ φαλκίδιος ipso iure μειοῖ τὸ ληγατευθὲν ὑπὲρ τὸ ἐνναούγκιον, καὶ εἰς τοσαύτην περιίστησιν ὡς μηδὲ δοκεῖν αὐτὸ καταλελεῖφθαι. εἰ τοίνυν μετὰ τὴν τοῦ τεστάτορος τελευτὴν ἀνεῴχθη ἡ διαθήκη, διελάνθανον

eum per imbecillitatem ætatis circumscriptum esse, succurrit: Ita & hic simile auxilium pro more suo fert. Quin etiam interdum & maioribus in integrum datur restitutio, cùm scilicet tā magna & iusta causa occasionem errori dedit, vt & vir aliquis admodum prudens decipi potuerit. Veluti in hac specie. Quidam decedens, & relinquēs quadringentos aureos in bonis heredem me instituit: Legauit autem Primo centum aureos, & Secundo item centum. Cùm verò à testamento superuixisset, scripsit & codicillos, quibus Tertio & Quarto singulis centenos aureos reliquit. Sciendum est autē, legata quæ supra dodrātem relicta sunt, ipso iure per legem Falcidiā minui, & in eam causam cadere quasi nec relictum fuisset, quod plus iusto relictum est. Si igitur post testatoris obitum, apertum sit testamentum, & in obscuro

obscuro fuerint codicilli, nec quisquā legatariorum codicillos esse factos sciuerit: ac deinde hereditate a me adita venerit Primus, non ignarus quadringentos aureos esse in hereditate, & solùm ducentos esse in legata exhaustos existimans: atque ita ratus me non solùm quadrantem habere, verum etiam vltra quadrantem, me cum ad centum aureos egerit, hoc est, totum legatum petens: ac medio tempore prolati fuerint codicilli, quib' Tertio & Quarto legati erant ducenti aurei, aut etiam pars eorum, qui Primo legati fuerant, adempta: & ita planum fuerit factum, Primum ad maiorem summam, quàm re vera debebam, mecum egisse: propter iustissimam erroris causam, venia ei dabitur: & septuaginta quinque aureos cōsequetur: nec nocebit, quòd cùm septuagintaquinque petere deberet, centū petiit. ¶Plus petitio autē quatuor modis

δὲ οἱ κωδικέλλοι, καὶ οὐδεὶς ἠπίστατο τῶν ληγαταρίων ὅτι γεγόνασι, μετὰ δὲ τὴν ἐμὴν ἀδιτζίωνα ἔλθῃ ὁ πρῖμος, εἰδὼς ὅτι υ νομισμάτων ἐστὶν ἡ περιουσία, καὶ νομίσας σ μόνα ληληγατεῦσθαι, καὶ ἔχειν ἐμοῦ, μὴ μόνον τὸ τέταρτον, ἀλλὰ καὶ ὑπὲρ τὸ δ, καὶ κινήσει κατ' ἐμοῦ ὑπὲρ ρ νομισμάτων, τουτέστιν ἀκέραιον ἀπαιτῶν τὸ ληγάτον. ἐν δὲ τῷ μεταξὺ ἀναφανῶσιν οἱ κωδικέλλοι, ἐν οἷς ἦσαν καταλειφθέντα Τερτίῳ καὶ Κουάρτῳ σ νομίσματα, ἢ καὶ μέρος τῶν ληγατευθέντων πρίμῳ ἀδεμπτευθέν, καὶ ἐντεῦθεν δειχθῇ, ὡς πλέον τῶν ἐποφειλομένων κατὰ τὸ ἀληθὲς ἀπῄτησεν ὁ πρῖμος. διὰ τὴν εὐλογωτάτην αἰτίαν, καὶ συγγνωσθήσεται, καὶ τὰ οε νομίσματα λήψεται. καὶ οὐδὲν βλαβήσεται, εἰ καὶ δέον κινῆσαι περὶ οε, ἐκίνησε περὶ ρ. ¶ Ἡ δὲ plus petitio, κατὰ δ ἁμαρτάνεται τρόπους, πράγματι,

θ. Plus autem.

χρόνῳ, τόπῳ, αἰτίᾳ. πράγματι, οἷον ἐὰν τις ἀντὶ ῑ νομισμάτων ἐποφειλομένων αὐτῷ, κ̄ ἀπαιτήσῃ. ἢ καὶ ἐὰν τὸν ἀγρὸν, οὗ δεσπότης ὑπάρχων κατὰ τὸ ἥμισυ ὑπὸ σοῦ διακρατούμενον, ἀπαιτήσω διὰ τῆς in rem, λέγων τῆς ἐμῆς εἶναι δεσποτείας πάντα τὸν ἀγρὸν, ἤγουν κατὰ τὸ διμοιρον μέρος. χρόνῳ plus πετιτεύω, οἷον ἐὰν in diem ἐποφειλόμενον ἢ ὑπὸ αἱρέσεως, πρὸ τῆς ἡμέρας, ἢ πρὸ τῆς ἐκβάσεως τῆς αἱρέσεως ἀπαιτήσω. ὥσπερ γὰρ ὁ βραδέως, τουτέστι μετὰ χρόνον καταβαλὼν, ἔλαττον δοκεῖ καταβαλεῖν, οὕτω καὶ ὁ πρὸ τοῦ χρόνου ἀπαιτῶν plus πετιτεύειν. τόπῳ plus petitio ἁμαρτάνεται, οἷον ἐὰν τὸ ἐποφειλόμενόν μοι ἐν φανερῷ τόπῳ καταβληθῆναι, ἐν ἑτέρῳ ἀπαιτήσω τόπῳ, μνήμην μὴ ποιησάμενος τοῦ τόπου, ἐν ᾧ τὸ χρέος ἔδει μοι καταβληθῆναι. οἷον ὡς ἐπὶ θέματος, ἐπηρώτησά σε οὕτως. ὁμολογεῖς διδόναι μοι ἐν

dis cōmittitur, Re, Tēpore, Loco, Causa. Re, veluti si quis pro decem aureis, qui ipsi debentur, viginti petat. Aut si fundum, quem tu detines, cuiusque ex parte dimidia dominus sum, per actionem in rem ita petam, quòd dicam eum totum meum esse, aut certè dominum me eius esse in duas partes è trib⁹. Tempore plus peto, veluti si quod in diem aut sub conditione mihi debetur, ante quàm dies venerit, aut conditio exiſtat, petam. Quemadmodum enim is, qui tardius, id eſt, poſt tempus ſoluit, minus ſoluere videtur: ita & is, qui ante tempus petit, plus petere videtur. Loco plus petitur, veluti ſi id quod certo mihi loco ſoluendum eſt, alio loco petam, ſine commemoratione illius loci, in quo id ſoluendū erat. Vt in hac ſpecie. Ita ſum à te ſtipulatus, Epheſi mihi dare centum au-

reos spondes? quantum ad ius ciuile pertinet, alio loco id à te petere non possum, quam Ephesi. Nam si extra Ephesum petam, loco videor plus petere. Si enim Romæ te inuenero, puréque tecum egero, id est, nulla facta Ephesi mentione, introducitur plus petitio. Verùm quoniã eueniebat, vt numquã à te petere liceret, quod ita promissum esset: propterea quòd tu numquam Ephesum venires, neque ego tecum agere possem, primò non Ephesi, quoniã numquam illic inuenireris, deinde nec extra Ephesum propter plus petitioné: eiusce rei gratia hãc agendi rationé Prætor excogitauit: Liberum enim mihi fecit, vt & extra Ephesum tecum agerem, dum modò Ephesi mẽtionem facerem, & ita captiunculas plus petitionis effugerem. Nam si ita tecum Romę egero: si apparet aduersariũ cẽtum mihi aureos

ἐφέσῳ ρ̄ νομίσματα. ὅσον ἀπὸ τῆς πολιτικῆς νομοθεσίας, οὐ δύναμαί σε ἀπαιτεῖν ἐν ἑτέρῳ τόπῳ, εἰ μὴ ἐν αὐτῇ τῇ ἐφέσῳ. ἔξωθεν γὰρ ἀπαιτῶν σε τῆς ἐφέσου, τόπῳ plus πετιτεύω. ἐὰν γὰρ εὑρεθῇς ἐν τῇ ῥώμῃ, καὶ πούρως κινήσω κατὰ σοῦ, τουτέστι μὴ μνησθεὶς τῆς ἐφέσου, εἰσάγεται ἡ plus petitio. ἀλλ' ἐπειδὴ συνέβαινέ σε μηδέποτε ἀπαιτεῖσθαι διὰ τὸ μὴ παραγίνεσθαι ἐπὶ τὴν ἔφεσον, καὶ οὐκ ἠδυνάμην ἀπαιτῆσαί σε, οὔτε ἐν τῇ ἐφέσῳ, διὰ τὸ μὴ εὑρίσκεσθαι ἐν αὐτῇ, οὔτε ἐκτὸς τῆς ἐφέσου διὰ τὴν plus petitionem, τούτου χάριν ὁ πραίτωρ ἐπενόησε τὴν τοιαύτην ἀγωγήν. δέδωκε γάρ μοι ἐξουσίαν, καὶ ἐκτὸς τῆς ἐφέσου ὄντι κινεῖν κατὰ σοῦ, μόνον μέντοι ἵνα μνήμην ποιήσω τῆς ἐφέσου, καὶ διαφύγω τὴν plus petitionem. ἐὰν γὰρ ἐν τῇ ῥώμῃ κινήσω κατὰ σοῦ λέγων, εἰ φαίνεται τὸν ἀντίδικον χρῆναι δοῦναί μοι ρ̄ νομίσματα ἐν

ἐν Ἐφέσῳ, οὐ δοκῶ plus πετιτεύειν. εἰ δὲ πούρως, τουτέστι μνήμης μὴ γινομένης τῆς Ἐφέσου, εἰσάγεται plus petitio. ἀφαιροῦμαι γὰρ τὸ διαφέρον καὶ τὸ κέρδος, οὗπερ ἔμελλε τυγχάνειν ὁ ἐπερωτηθεὶς, εἰ κατέβαλεν ἐν τῇ Ἐφέσῳ. ἔσθ' ὅτε γὰρ εὐχερὴς ἦν αὐτῷ τῶν χρημάτων ἡ καταβολὴ ἐν τῇ Ἐφέσῳ. ἐκτὸς δὲ τῆς Ἐφέσου δυσχερεστάτη. ὥστε οὐ δεῖ αὐτὸν εἰς τὰ ρ νομίσματα καταδικάζεσθαι ἐκτὸς τῆς Ἐφέσου. δεῖ γὰρ ἐξαιρεθῆναι τῶν ρ νομισμάτων τοσαῦτα ὅσα ζημιοῦται ἐκτὸς τῆς Ἐφέσου καταβαλών. τυχὸν γὰρ ἐν τῇ ῥώμῃ τὸ χρέος καταβαλεῖν ἀναγκαζόμενος, δαπανᾷ κ νομίσματα, εἰς τὸ περιποιῆσαι ἑαυτῷ τὴν ποσότητα, ἣν ἐχρῆν μοι δοθῆναι. καὶ διὰ τοῦτο οὐ καταδικάζεται εἰς τὰ ρ, ἀλλ' εἰς π. ἐν ᾧ δὲ οὐ μνημονεύω τῆς Ἐφέσου ἐν τῇ δίκῃ ἐκτὸς κινῶν τῆς Ἐφέσου, ἐπειδὴ παρασκευάζω αὐ-

Ephesi dare oportere, plus petere non videbor. Sin verò purè egero, id est, nulla Ephesi mentione facta, haud dubiè incurret ratio plus petitionis: quoniam id quod rei interest, & emolumẽtum quod haberet promissor, si Ephesi solueret, auferre ti ac tollere videor. Interdum enim euenit, vt Ephesi sit ei facile pecuniam soluere, & extra Ephesum difficillimum. Neque verò in centum aureos, quos promisit, condemnari eum extra Ephesum oportet: Nam de centum illis aureis deduci debet omne id in quo læditur extra Ephesum soluendo. Fortè enim Romæ coactus debitum soluere, viginti aureos impendit contrahendis nũmis, quos mihi dari oportet: atque ideo non in centum aureos condemnatur, sed in octoginta. Cùm autem nullam Ephesi in intentione mentioné faciens extra Ephesum litẽ moueo: quoniam tunc omnino id ago ac studeo, vt in centum.

tum aureos sequatur condẽnatio (nã pura intentio eius quod interest tractatum, deductionémque tollit) ob eam rem, plus petere videor. Id autẽ quod eius interest, atque vtilitas hæc maximã plerunque in mercibus vendendis differẽtiam recipit: vt in vino, frumẽto, oleo, quæ per singulas regiones diuersa habent pretij. Nam si Romæ quis centum aureos à me petat, & ita merces, quas habeo, cogar diuendere, interdum centum solùm aureos consequar: quas si Ephesi venderẽ, centum viginti aureos possim consequi. At neque hisce tantùm in rebus, verùm in ipsis quoque pecuniis eius quod interest ratio ex varietate regionum habenda est. Quoniam non omnibus in regionibus eadem est ratio credendi sub vsuris. Nam Romæ, cùm multi sint ibi qui fœnus exercẽt, interdum is, qui sub vsuris mihi credidit, quartam centesimæ partẽ, siue qua-

τὸν εἰς ρ̄ νομίσματα καταδικασθῆναι· ἡ γὰρ τοιαύτη ἐναγωγὴ τὴν τοῦ διαφέροντος ἐξέτασιν ἀναιρεῖ. διὰ τοῦτο plus πετιτεύω. τοῦτο δὲ τὸ διαφέρον, ὡς ἐπὶ τὸ πλεῖστον ἐκ τῶν πιπρασκομένων φορτίων μεγίστην δέχεται διαφοράν. οἷον οἴνου, σίτου, ἐλαίου. ἅτινα καθ' ἕκαστον κλίμα διάφορον ἔχει τίμημα. ἀπαιτούμενος γὰρ ἐν τῇ ῥώμῃ ρ̄ νομίσματα, καὶ τὰ προσόντα μοι φορτία διαπωλεῖν ἀναγκαζόμενος, ἔσθ' ὅτε λήψομαι ὑπὲρ αὐτῶν ρ̄ νομίσματα μόνον. εἰ δὲ ἐν τῇ ἐφέσῳ ταῦτα διεπίπρασκον, ἐλάμβανον ρκ̄ νομίσματα. οὐ μόνον δὲ ἐν τούτοις, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς ἀργυρίοις τὸ διαφέρον ἐκ τῶν κλιμάτων εἰσάγεται. οὐδὲ γὰρ ἐν παντὶ κλίματι οἱ αὐτοὶ τόκοι ἀπαιτοῦνται. ἐν μὲν γὰρ τῇ ῥώμῃ, πολλῶν ὄντων τῶν δανειζόντων ἔσθ' ὅτε παρὰ τοῦ δανείζοντός μοι ἀπαιτοῦμαι τὸ δ̄ μέρος τῆς ἑκατοστῆς, ὅπερ

συντείνει, εἰς γ νομίσματα. ἐν δὲ τῇ ἐπαρχίᾳ διὰ τὸ ὀλίγους εἶναι τοὺς δανείζοντας, δανεισάμενος ἐγὼ ἐπὶ τῷ καταβαλεῖν σοι, ἀπαιτοῦμαι λόγῳ τόκων τὸ ἥμισυ τῆς ἑκατοστῆς, τουτέστι ἓξ νομίσματα. ὥστε οὖν καὶ ἐκ τῆς ποσότητος τῶν τόκων τὸ διαφέρον ποιεῖ τὰ κλίματα. διὰ τοῦτο οὖν ἀναγκαῖον μὲ μεμνῆσθαι τῆς Ἐφέσου, ἐκτὸς τῆς Ἐφέσου ποιούμενον τὴν ἐναγωγήν, ἵνα τὸ διαφέρον σκοπηθῇ. εἰ δὲ συμβῇ τὸν ἐπερωτηθέντα εὑρεθῆναι κατὰ τὴν Ἔφεσον, καθαρὰ ὀφείλει γίνεσθαι κατὰ σοῦ ἡ ἐναγωγή. κινῶν γὰρ ἐν τῇ Ἐφέσῳ, οὐκ ὀφείλεις μνήμην ποιήσασθαι τοῦ τόπου. ἰσοδυναμεῖ γὰρ τῇ μνήμῃ τοῦ ὀνόματος τοῦ τόπου, ἡ ἔν τινι τόπῳ γινομένη ἐναγωγή. καὶ πρόδηλον ὅτι ἐν τῇ Ἐφέσῳ κινουμένου τοῦ δικαστηρίου, καὶ τὸ διαφέρον ἀπὸ τοῦ τόπου σκοπηθήσεται. ¶ Ἔοικε τῷ plus πε-

6. Huic autẽ qui loco.

drantes vſuras poſcet, quæ res annuè colligit ternos aureos in centenos. In prouincia verò, vbi non magnus eſt eorum numerus, qui ſub vſuris credunt, vſurarũ nomine fortaſſe ei, à quo mutuum ſumpſi, quod tibi ſoluerem, dimidium cẽteſimæ præſtabo, hoc eſt, ſenos aureos quotannis in centenos. Itaque & ex ratione vſurarum adfert diuerſitas regionis, quod cuiuſque interſit. Quapropter, cùm extra Epheſum agere volam, neceſſe erit, vt & Epheſi mentionem faciam, quo ratio eius quod intereſt haberi poſsit. Quòd ſi contingat, vt tu promiſſor Epheſi depræhendaris, pura intentione tecum agẽdum eſt. Nam qui Epheſi agit, loci mentionem habere nõ cogitur. Quoniam tantumdẽ præſtat litem in loco mouere, quantũ nominatim loci mẽtionem facere. Nec dubium eſt, quin iudicio Epheſi conſtituto, & eius quod intereſt, ratio ex loco ducenda ſit. ¶ Ei qui plus loco petit,

adſtru

adfinis & similis est is, qui causa plus petit. Et quomodo fiet, vt quis causa plus petat? Et maximè id contingit in alternatione. Alternatio autem est ὁ ἐπαμφοτερισμὸς, vt Græci dicunt, id est, quæ ex distinctione dubiam habet præstationem & ancipitem exactionem. veluti, stipulatus sum à te, HOMINEM STICHVM AVT DECEM AVREOS DARE MIHI SPONDES? Et deinde sublata alternatione, decem aureos petij: causa plus peto, quoniam electionem, quam tibi natura stipulationis præbet, tibi adimo. Is enim à quo ita quis stipulatus est, DECEM AVREOS AVT HOMINEM STICHVM DARE MIHI SPONDES? potestatem habet, vtrum velit soluendi. Qui igitur, vel decem aureos tantùm, vel solum hominem petit: electionem soluendi aufert, eoque modo, suam quidem conditionem melio

πιπτόντι ἐν τόπῳ, καὶ ὁ αἰτίᳳ plus πεπτωκώς. καὶ πῶς αἰτίᳳ plus petitio γίνεται; τοῦτο συμβαίνει ἐπὶ τοῦ ἀλτερνατίονος. ἀλτερνατίων δέ ἐστιν ὁ ἐπαμφοτερισμός. οἷον ἐπηρώτησά σε, ΟΜΟΛΟΓΕΙΣ ΔΙΔΟΝΑΙ ΜΟΙ, ΣΤΙΧΟΝ ΤΟΝ ΟΙΚΕΤΗΝ, Η Ι ΝΟΜΙΣΜΑΤΑ; καὶ μετὰ ταῦτα ἦλθον μονοειδῶς τὰ ι νομίσματα ἀπαιτῶν. αἰτίᳳ plus πεπτωκώς, ἐπειδὴ ἀφαιροῦμαί σου τὴν ἐπιλογὴν, ἣν ἡ φύσις τῆς ἐπερωτήσεώς σοι παρέχει. ὁ γὰρ οὕτως ἐπερωτηθεὶς, ΟΜΟΛΟΓΕΙΣ ΔΙΔΟΝΑΙ ΜΟΙ Ι ΝΟΜΙΣΜΑΤΑ, Η ΣΤΙΧΟΝ ΤΟΝ ΟΙΚΕΤΗΝ; ἐξουσίαν ἔχει τοῦ καταβαλεῖν ὃ βούλεται. ὁ τοίνυν τὰ δέκα νομίσματα ἀπαιτῶν, ἢ μόνον τὸν οἰκέτην, ἀφαιρεῖται τὴν ἐπιλογὴν τοῦ χρέους. καὶ ἐντεῦθεν καλλίονα μὲν τὴν ἑαυτοῦ χείρονα δὲ τὴν αἵρεσιν ποιεῖ τοῦ ἐναγομένου. ἐπειδὴ ὅτε

γὰρ δυσχερεστέρα ἐστὶν ἡ καταβολὴ τῶν μέρων, τῶν δέκα νομισμάτων, ἤπερ τοῦ οἰκέτου. καὶ διὰ τοῦτο βλάπτεται τὴν ἐπιλογὴν οὐκ ἔχων. ὥστε οὖν δεῖ ὁμοιότροπον εἶναι τὴν ἐναγωγὴν τῇ ἐπερωτήσει. ἵνα οὕτως εἴπω, εἰ φαίνεται τὸν αὐτόδικον χρῆναι δοῦναι Στίχον, ἢ τὰ ι. νομίσματα. εἰ δὲ καί τις γενικῶς οἰκέτην ἐπερωτήσῃ, καὶ ἔλθῃ ἰδικῶς Στίχον ἀπαιτῶν· ἢ γενικῶς οἶνον ἐπερωτήσας, μετὰ ταῦτα ἰδικῶς καμπανὸν οἶνον ἀπαιτήσῃ· ἢ γενικῶς πορφύραν ἐπερωτήσας, μετὰ ταῦτα ἰδικῶς τυρίαν ἀπαιτήσῃ, plus πεπτεύκε. τὴν γὰρ ἐπιλογὴν ἀφαιρεῖται τοῦ ἐναγομένου, ἣν ἡ φύσις αὐτῷ δίδωσι τῆς ἐπερωτήσεως. ὁ γὰρ γενικῶς ἐπερωτηθεὶς οἰκέτην, ἢ οἶνον, ἢ πορφύραν, ἐξουσίαν ἔχει ἐξ οὗ βούλεται τόπου τοῦτο λαβὼν, καταβαλεῖν. τὸ πλέον φημὶ, εἰ καὶ εὐτελέστερον εἴη τὸ ἀπαιτούμενον, οὐδὲν ἧττον ἐστὶ

ré, eius verò à quo petit, deteriorem facit. Quoniam interdum minùs expedita est decem aureorum solutio, quàm hominis. In hoc igitur læditur, quòd electionem non habeat. Quapropter id agendum est, vt petitio similis sit stipulationi, & eodé modo petatur, quo promissum est: atque ideo sic dicendũ est: si apparet aduersarium, Stichum hominem aut decem aureos dare oportere. Sed & si quis generaliter hominem siue seruum stipulatus sit, & deinde Stichum specialiter petat: aut generaliter vinũ stipulatus sit, & postea specialiter Campanũ petat: aut generaliter purpurá stipulatus sit, deinde specialiter Tyriã petat: plus petere intellegitur: quoniã electionem aduersarij, quam natura stipulationis ei dederat, tollit. Ei enim, qui generaliter hominem, vinum, vel purpurá promisit, liberum est, quocumque id ex loco acceptum, soluere. Plus dico, licet quod alter petit,

tit, vilissimum sit, nihilominus & ita plus actor petit. Nā id interdum accidit, vt eius quod vile habetur, difficilior sit ei, à quo petitur solutio: velut, exem. gratia, vinū Campanū, omnium pessimum est. Si vinum generaliter stipulatus, Campanū petam: ideo plus petere videor, quòd illi à quo petitur, facilius sit melius aliquod vinum soluere, quàm Campanū: propterea quòd vinum Cāpanum non habeat. ¶ Sed hoc quidem ius plus petitionum olim in vsu fuerat. Nam postea & lex Diui Zenonis, & Imperatoris nostri constitutio rem totā in angustum cōtraxit. Et si quidem tempore plus fuerit petitum, secundùm ea, quæ Diui Zenonis lege tradita sunt, Iudex rem ad exitum perducet. Quòd si in quantitate, vel alio quopiā modo plus petitionem fieri cōtingat, & damnum aliquod ex ea re fe-

οὕτως ὁ ἄκτωρ plus πεπιτεύει. συμβαίνει γὰρ ἔσθ' ὅτε τὸ νομιζόμενον εἶναι εὐτελὲς δυσχερὲς εἰς καταβολὴν γίνεσθαι τῷ ἐναγομένῳ. οἷον λόγου χάριν, πάντων τῶν οἴνων χείρων ἐστὶν ὁ καμπάνιος. ἐὰν γενικῶς ἐπερωτήσας, ἰδικῶς καμπανὸν ἀπαιτῶ, διὰ τοῦτο plus πεπιτεύω, ἐπειδὴ ὁ ἐναγόμενος ἔσθ' ὅτε εὐχερέστερον οἶνον καλλίονα δίδωσιν ἢ καμπάνιον, διὰ τὸ τοῦτο ἀπορεῖν. ¶ Ἀλλὰ ταῦτα μὲν πάλαι ἦν ἐν πολιτείᾳ τὰ τῶν plus petitionum. μετὰ δὲ ταῦτα διάταξις Ζήνωνος τοῦ τῆς θείας λήξεως, οὐδὲν ἧττον καὶ νομοθεσία τοῦ ἡμετέρου βασιλέως ἐστένωσε ταῦτα τὰ τῶν plus petitionum. καὶ εἰ μὲν τις χρόνῳ plus πεπιτεύει τὸ χρὴ τὸν δικαστὴν ὁρίζειν, ὡς ἡ Ζήνωνος διδάσκει διάταξις. εἰ δὲ καὶ περὶ ποσότητος, ἢ καθ' ἕτερόν τινα τρόπον γίνεται ἡ plus petitio, καί τις ἐντεῦθεν ζημία συμβῇ τῷ

6. Sed hæ quidem a... tea.

ἐναγομένῳ, οἷον σπορτούλων πλειόνων δόσις, ὡς προειρήκαμεν εἰς τὸ τριπλοῦν, ὧν ὑπὲρ τὸ δέον ὁ ῥεὸς ἐζημιώθη, ὁ ἄκτωρ καταδικασθήσεται.

δ.si minus. ¶Κινῶν τις κατ' ἐμοῦ δικαστήριον minus ἐρεπετίτευσε. δέκα γὰρ ἐποφειλόμενος ἐκίνησε περὶ πέντε. ἢ δεσπόζων εἰς ὁλόκληρον τοῦ ὑπ' ἐμοῦ κατεχομένου ἀγροῦ, περὶ τοῦ ἡμίσεος ἐποιήσατο τὴν ἐναγωγήν. οὐδεὶς αὐτῷ κίνδυνος ἐντεῦθεν συμβήσεται. εἰς γὰρ τὴν λοιπὴν ποσότητα ὁ δικαστὴς ἐν αὐτῷ τῷ δικαστηρίῳ οὐδὲν ἧττον καταδικάζει με. ὡς ἡ εἰρημένη Ζήνωνος βούλεται διάταξις.

δ.Si quis. ¶Ἐάν τις aliud pro alio ἁμαρτήσῃ, οὐκ ἔσται αὐτῷ τὸ πταῖσμα ἐπιζήμιον. ἐν αὐτῷ γὰρ τῷ δικαστηρίῳ τῆς ἀληθείας γνωσθείσης, ἡ πλάνη διόρθωσιν ἐπιδέχεται. τὸ δὲ aliud pro alio ἁμαρτάνεται τρόποις δύο, ἢ πράγματι, ἢ αἰτίᾳ. πράγματι μὲν, οἷον εἰ-

cerit is, à quo petitur, veluti si maiores datæ sint sportulæ (vt prædictum à nobis est) in triplū eius, in quo supra verum iustúmq; læsus fuerit reus, actor cōdemnandus est. ¶Aliquis quum mecum iudicio cōsisteret, minus petiit. Nam cùm decem deberem, quinque dari intendit. Aut cùm fundi, quem ego tenebam, in solidum dominus esset, ad dimidiam eius partem egit. Nihil ex ea re periculi timendū est. Quoniam nihilo minus in reliquam quantitatem iudex me in eodem iudicio ei condemnat: quemadmodum iam relata Zenonis constitutione cautū est. ¶Si quis aliud pro alio errans petiit, errorē hunc ei fraudi esse non placet. Nam eodem in iudicio, cognita veritate errorem suum corrigere potest. Duobus autem fit modis, vt quis aliud pro alio petat. Aut re scilicet, aut causa. Re, veluti cui Stichus homo

mo debebatur, Erotem petiit. Caus̃, vt cùm aliam pro alia actionem quis mouit. Quum enim ex testamento agere deberet, ex stipulatu egit: aut etiam ex cõtrario. ¶Est & alia actionum diuisio. Quædam enim sunt actiones, quibus nõ solidũ quod nobis debetur, semper consequimur, sed aliàs solidum, aliàs minus. Veluti, si tecum agam de peculio, ob filiũ seruúmve tuũ, in decem aureos. Nam si locuples est peculium, decem aureos consequar. Sin autem ea, quę in peculio sunt, quinque tantùm aureis valēt, in solidum quinque pater dominúsve condemnatur. Quemadmodum autē peculium intellegendum sit, infrà latiùs discemus. ¶Præter actionem de peculio, est & alia actio, quæ non semper in solidum condemnationem habeat. Nam si dotem ab vxore

χον ἐποφειλόμενον τὸν οἰκέτην ἦλθεν ἔρωτα ἀπαιτῶν. αἰτία δέ, οἷον ἡνίκα ἑτέραν ἀντὶ ἑτέρας ἐκίνησεν ἀγωγήν. δέον γὰρ κινῆσαι τὴν ex testamento, ἐκίνησε τὴν ex stipulatu. ἢ καὶ ἐκ τοῦ ἐναντίου. ¶ Ἔστι δὲ ἄλλη τῶν ἀγωγῶν διαίρεσις. εἰσὶ γάρ τινες ἀγωγαί, δι' ὧν οὐχ ὅλον τὸ ἐποφειλόμενον λαμβάνομεν ἀλλὰ ποτὲ μὲν ὁλόκληρον, ποτὲ δὲ ἧττον. οἷον ἐὰν κινῶ κατὰ σοῦ τὴν de peculio, ἕνεκα τοῦ σοῦ υἱοῦ, ἢ τοῦ σοῦ οἰκέτου περὶ δέκα νομισμάτων. εἰ μὲν γὰρ εὔπορόν ἐστι τὸ peculium, λήψομαι τὰ ι νομίσματα. εἰ δὲ ἀξιά ἐστι τὰ ἐν τῷ peculio πράγματα πέντε νομισμάτων, εἰς τὰ ε μόνα ὁ πατὴρ ἢ ὁ δεσπότης καταδικάζεται. τίνα δὲ κατὰ τρόπον νοεῖσθαι τὸ peculium προϊόντες μαθησόμεθα. ¶ Ἔστι δὲ πρὸς τῇ de peculio, καὶ ἑτέρα ἀγωγή, οὐ πάντως εἰς ὁλόκληρον ποιουμένη τὴν καταδίκην. ἐὰν γὰρ ἐγὼ προῖκα ὑποδέξωμαι πα-

θ. Sunt præterea.

θ. Item si de dote.

ρὰ τῆς ἐμαυτοῦ γαμετῆς, εἶτα συστὰς ὁ γάμος, μετὰ ταῦτα διαλυθῇ, κινοῦσα κατ' ἐμοῦ τὴν ex stipulatu, ἐπὶ ἀπαιτήσει τῆς προικὸς, οὐ πάντως λήψεται τὸ ὁλόκληρον, ἀλλ' εἰς ὅσον ἐξαρκεῖ ἡ ἐμὴ περιουσία. καὶ εἰ μὲν συντρέχει ἡ ποσότης τῶν ἐμῶν πραγμάτων τῇ ποσότητι τῆς προικὸς, ἡ γυνὴ λήψεται τὸ ὁλόκληρον. εἰ δὲ ἑκατὸν νομισμάτων οὔσης τῆς προικὸς, ἡ περιουσία εἰς πεντήκοντα συντείνει, εἰς πεντήκοντα καταδικασθήσομαι, διὰ τὸ εἰς τοσοῦτον εὐπορεῖν. ἔσθ' ὅτε καὶ εὐπόρου μου ὄντος, οὐ πάντως ἡ ἐμὴ γυνὴ πᾶσαν λήψεται τὴν προῖκα, διὰ τὴν ἀντικειμένην αὐτῇ retentionem, ἥτις τὴν ποσότητα μειοῖ τῆς προικός. εἰ γὰρ ἐπιδοθῇ μοι πράγματα ἐν προικὶ εἰς χίλια νομίσματα συντείνοντα, δαπανήσω δὲ περὶ αὐτὰ ἑκατὸν νομίσματα, διαλυθέντος δὲ τοῦ γάμου, ἀπαιτοῦμαι τῶν χιλίων νομισμά-

mea accepero, & matrimoniũ semel constitutum, deinde solutũ fuerit: illa mecum ad repetitionẽ dotis ex stipulatu agens, non solidum omnino consequutura est, sed quatenus facultates meæ patiuntur. Et si quidem concurrat quãtitas bonorum meorum cum quantitate dotis, solidum cõsequutura est mulier. Sin verò cùm dos centum aureorum esset, facultates meæ tantùm quinquaginta colligant, in quinquaginta condemnandus sum. Eatenus enim facere possum. Interdum quoque & si maximè possim facere, non solidam tamen dotem cõsequutura est mulier, idque obiecta retentione, quæ dotis quantitatẽ minuit. Nam si mihi bona aliqua in dotem data sint, quę mille aureis valeãt: & centum aureos in illa impendero: ac deinde soluto matrimonio summa mille aureorũ à me

petatur:

petatur : obiicere possum & dicere, sumptum centū aureorum me fecisse in ędes aut fundos mihi in dotem datos. Et quoniam huiusmodi impensę ipso iure dotem minuūt, nō in mille aureos condemnabor, sed tantum in nongentos: dum necessarię fuerint impensę, id est, quas facere necesse fuerit, quoniā fortè futurum fuerit, vt ędes collaberentur, nisi in refectionem earum sumptus centum aureorum factus fuisset. Et ideo hac retentione vtar, quę dicitur ob necessarias impensas. Verùm hęc omnia perfectius ex libris Digestorum accipi poterunt. ¶ Si quis quū emācipatus esset scilicet, aut libertus, cū patre patronóve suo quacumq; actione egerit, aut si socius cū socio actione pro socio, non in

τὴν ποσότητα, δύναμαι ἀντιτιθέναι καὶ λέγειν, ὅτι περὶ ἑκατὸν νομίσματα ἐδαπάνησα περὶ τοὺς ἀγροὺς, ἢ τὰς οἰκίας, τὰς λόγῳ προικὸς ἐπιδοθείσας μοι. καὶ ἐπειδὴ ipso iure, ἤγουν αὐτῷ τῷ νόμῳ αἱ τοιαῦται δαπάναι τὴν προῖκα ἀπομειοῦσιν, οὐ καταδικασθήσομαι εἰς τὰ χίλια νομίσματα, ἀλλ' εἰς μόνα ἐννεακόσια. εἰ γέγονεν ἡ δαπάνη νεκεσσαρία οὖσα. τουτέστιν ἐξ ἀνάγκης δαπανηθεῖσα. ἔμελλε γὰρ ἔσθ' ὅτε καταπίπτειν ἡ οἰκία, εἰ μὴ περὶ ἀνανέωσιν αὐτῆς ἑκατὸν ἀνηλώθησαν νομίσματα. διὰ τοῦτο, ταύτῃ χρήσομαι τῇ ῥετεντζίωνι. τουτέστι τῇ παρακατασχέσει, ἥτις λέγεται ob necessarias impensas. ταῦτα δὲ πάντα τελειότερον ἐκ τῶν διγέστων ἔνεστι μαθεῖν. ¶ Ἐάν τις κατὰ τοῦ οἰκείου πατρὸς, ἐμαγκίπατος ὢν δηλονότι, ἢ ἀπελεύθερος κατὰ τοῦ οἰκείου πάτρωνος, κινήσῃ οἵαν δήποτε ἀγωγὴν, ἢ ἐὰν ὁ κοινωνὸς κατὰ τοῦ κοινωνοῦ κινήσῃ τὴν pro socio, οὐ πλέον

6. Sed & si quis.

ὁ ἐναγόμενος καταδικασθήσεται τῷ ἀντιδίκῳ, ἢ παρ' εἰς ὅσον εὐπορεῖ ἡ αὐτοῦ περιουσία. τὸ αὐτό ἐστι, καὶ ἐὰν donandi animo ἐπερωτηθῶ δοῦναι τινὶ ἑκατὸν νομίσματα. οὔτε γὰρ πλέον ὀφείλω καταδικασθῆναι αὐτῷ, ἢ παρ' εἰς ὅσον εὐπορῶ.

§. Compensationes. ¶ Καὶ αἱ κομπενσατίονες ἀντιτιθέμεναι ὡς ἐπὶ τὸ πλεῖστον ἀποτελοῦσιν, ὥστε μὴ ὅλον λαμβάνειν τὸν ἄκτωρα ὅπερ ἀπαιτεῖν πειρᾶται. εἰ γὰρ κινεῖ κατ' ἐμοῦ περὶ δέκα νομισμάτων, ἀμειβαδὸν ἀντεποφείλων μοι τρία νομίσματα, εἰς ἑπτὰ καταδικασθήσομαι. καθὰ καὶ ἤδη προείρηται. ἀλλὰ τοῦτο εἶπον ὡς ἐπὶ τὸ πλεῖστον, ἐπειδὴ ἐὰν συμβῇ μὴ σαφὲς εἶναι τὸ εἰς κομπενσατίονα ἀντιτιθέμενον χρέος, οὐδὲν ἧττον ὁ ἄκτωρ ἀπαιτήσει τὸ χρέος ὁλόκληρον.

§. Cum eo quoque. ¶ Ἐχρεώστει τις διαφόροις κρεδίτωρσι πολλὴν χρυσίου ποσότητα. ἐπικειμένων τῶν δανειστῶν, καὶ ἀπαιτούντων τὰ χρέα ἐξέστη τῆς οἰκείας

περι

amplius is à quo petitur aduersario suo cõdemnabitur, quàm in quantum facultates eius facere posiint. Idem est, si cui donandi animo centum aureos dare promiserim. Neque enim in amplius ei condemnabor, quàm in quantum facere possim. ¶ Compensationes quoque opposite plerumque efficiunt, vt non totum actor cõsequatur, quod petere tentat. Nam si mecum agat ad decem aureos, cùm mihi inuicem tres aureos debeat, in septé condemnabor, quemadmodum & iam antè dictum est. Ideo autem dixi, Plerumque, quia si certum ac liquidum nõ sit, quod compensationis gratia obiicitur, nihilominus actor totum quod sibi debetur, repetet. ¶ Titius graui ęre alieno confl.to, multis multa debebat. Qui creditores molesti & infesti incum

berent, & quod sibi debebatur peteret, bonis suis cessit, qa soluendo omnibus non esset. Si contingat post, Titium aliqua bona adquirere, quę dignũ emolumentũ habeant: poterunt creditores, vt quibus ad plenum satisfactum non fuerit, ex integro reliquas summas petere. Et condemnabitur eis, verùm nõ insolidum, sed quantum facere potest. Nam id inhumanũ visum est, cum qui fortunis omnibus a seipso exutus sit, in solidum condemnari.

περιουσίας, οὐκ ἐξαρκῶν, πρὸς τὴν τούτων καταβολήν. εἰ συνέβη τὸν Τίτιον αὐτὸν μετὰ χρόνον, ἕτερα κτήσασθαι πράγματα, εἰς ἀξιόπιστον συντείνοντα ποσότητα, δύνανται οἱ κρεδίτωρες οἷα μὴ δυνηθέντες ἀποπληρωθῆναι τὸ χρέος, τὴν λειπομένην αὐτοῦ ἀπαιτεῖν ποσότητα. καὶ καταδικασθήσεται αὐτοῖς, οὐκ εἰς ὁλόκληρον, ἀλλ' εἰς ὅσον εὐπορεῖ. ἀπάνθρωπον γὰρ ἐνομίσθη, τὸν ἰδίας αὐτὸν γυμνωθέντα περιουσίας, εἰς ἅπαν καταδικάζεσθαι τὸ χρέος.

## QVOD CVM EO QVI ALIENA IN potestate est, negotium gestum esse dicetur. Titul. VII.

MEntioné supra habuimus actionis de peculio, qua in peculium serui aut filiifamilias ad uersus patrem aut dominum agitur. Necesse est igitur & de ea dicere, nam in hoc tempus tractatum eius reieci-

ΕΝ τοῖς προλαβοῦσι, μνήμην ἐποιησάμεθα τῆς de peculio, ἥτις κινεῖται προφάσει τοῦ peculij τοῦ οἰκέτου, ἤγουν τοῦ ὑπεξουσίου υἱοῦ κατὰ τοῦ πατρὸς ἢ τοῦ δεσπότου. δεῖ τοίνυν περὶ αὐτῆς εἰπεῖν. εἰς τοῦτον γὰρ τὸν καιρὸν, τὴν αὐτῆς

ὑπε

ὑπερεθέμεθα διδασκαλίαν ποιήσασθαι. ἀλλὰ χρὴ καὶ περὶ ἑτέρων ἀγωγῶν, αἵ τινες χάριν τῶν αὐτῶν ὑπεξουσίων κατὰ πατρὸς ἢ δεσπότου κινοῦνται, ἐπιμελέστερον διεξελθεῖν. ἐπειδὴ δὲ συναλλάγματος γινομένου, εἴτε μετὰ οἰκέτου, εἴτε μετὰ ὑπεξουσίου υἱοῦ, τὰ αὐτά ἐστι σχεδὸν νόμιμα, ἵνα μὴ φλύαρος καὶ πολυρρήμων φανῶ, διαλογισμοῖς ἀπείροις κεχρημένος, λόγον ποιήσομαι περὶ μόνων τῶν πρὸς οἰκέτην γινομένων συναλλαγμάτων, καὶ τῆς κατὰ τοῦ δεσπότου ἀναγωγῆς. τὰ αὐτὰ γὰρ νοήσωμεν καὶ περὶ υἱοῦ. ἔτι δὲ καὶ περὶ πατρὸς ἔχοντος in potestate τὸν παῖδα. εἰ δέ τι ἰδιάζον ἐπὶ τούτων παραφυλάττεται, κεχωρισμένως ἐπιδείξωμεν τοῦτο.

§. Si igitur iussu.

¶ Ἔστι τοίνυν κατὰ τοῦ δεσπότου ἀγωγὴ ἡ quod iussu, προφάσει τῶν πρὸς τὸν οἰκέτην συναλλαγμάτων κινουμένη. ἐὰν γὰρ κελεύσῃ τοῦ δεσπότου συναλλάξῃ μοι, γένηται δέ μοι ἔνοχος, ἕξω κατ' αὐτοῦ τοῦ δεσπότου

...mus ac distulimus. Sed enim & de aliis actionibus, quibus seruorum filiorúmve familiâs gratia, cum patribus ac dominis agitur, diligentius differere oportet. Ac quoniam siue cum filiofamilias, siue cum seruo negotium gestũ fuerit, eadem pæne iura seruantur, ne cui loquax aut verbosus videar infinitis disputationibus vtẽdo, verba tantùm facturus sum de his quæ cum seruis geruntur, & de actionibus quibus cum domino agitur. Eadem enim & in filio dici intellegemus, & in patre, qui illum in potestate habet. Quòd si quid in his propriè obseruetur, id separatim ostendemus. ¶ Est igitur cũ domino actio Quod iussu, qua de negotiis cum seruo gestis agitur. Nam si iussu domini seruus mecum cõtraxerit, & mihi obligatus fuerit, habebo cum ipso domino actio-

nem Quod iussu. Nam quodammodo cum eo contrahere, & fidem eius sequi videor, ob iussum quem seruo fecerit. Hæc autem actio, Quod iussu, in solidum habet condemnationem. Ad exemplũ actionis, Quod iussu, & alias duas actiones, quæ & ipsę condemnationé habeant in solidum, pollicit⁹ est Prętor: quarum vna exercitoria, & altera institoria vocatur. Et exercitoria quidem tunc locum habet, cùm quis seruum suum magistrum nauí præposuit, & aliquid cum eo eius rei gratia cui præpositus est, contractum est. Namque in hac specie in solidum cum domino habebo actionem exercitoriam. Ideo autem dicta est exercitoria, quia exercitor is vocatur, ad quẽ cottidianus nauis quęstus pertinet. Institoria verò tunc

σπότου τὴν quod iussu. τρόπον γάρ τινα πρὸς αὐτὸν δοκῶ συναλλάττειν, καὶ τὴν αὐτοῦ μεταδιώκειν πίστιν, διὰ τὴν ὑπ' αὐτοῦ γενομένην κέλευσιν. εἰς ὁλόκληρον δὲ αὕτη ἡ quod iussu ἔχει τὴν καταδίκην. κατὰ μίμησιν τῆς quod iussu, καὶ ἑτέρας δύο εἰς ὁλόκληρον ἐχούσας τὴν καταδίκην ἀγωγὰς ὁ πραίτωρ ἐπηγγείλατο. ὧν ἡ μὲν exercitoria, ἡ δὲ ἑτέρα institoria προσαγορεύεται. καὶ ἡ μὲν exercitoria τότε χώραν ἔχει, ὁπότε τὸν ἴδιον οἰκέτην μάγιστρον τῆς οἰκείας προβάλλεται νηός, καὶ τιμήματος προβληθέντος αὐτῷ χάριν τοῦ πράγματος, ἐφ' ᾧ καὶ προεβλήθη, γέγονε συνάλλαγμα. ἐπὶ γὰρ τούτου τοῦ θέματος, εἰς ὁλόκληρον ἕξω τὴν exercitoriam, κατὰ τοῦ δεσπότου. διὰ τοῦτο δὲ ὠνόμασται exercitoria, ἐπειδὴ exercitor προσαγορεύεται οὗτος, πρὸς ὃν ὁ καθημερινὸς τῆς νεὼς πόρος ἀνατρέχει. ἡ δὲ institoria, τότε χώ-

ραν

ραν ἔχῃ, ἡνίκα τις καπηλείου τυχὸν, ἢ οἵας δήποτε πραγματείας, τὸν ἴδιον οἰκέτην προέστησεν. ἐὰν γὰρ μετ' αὐτοῦ τι συνάλλαγμα γένηται, τούτης χάριν τῆς αἰτίας, ἐφ' ἣ καὶ προέστη, ἐναχθήσεται ὁ δεσπότης εἰς ὁλόκληρον τῇ institoria. διὰ τοῦτο δὲ institoria προσαγορεύεται, ἐπειδὴ οἱ προβαλλόμενοι τῶν πραγμάτων institores καλοῦνται. χώρα δὲ ταύτῃ τῇ institoriæ, καὶ τῇ exercitoriæ, εἰ καὶ ἐλεύθερον, ἢ ἀλλότριον οἰκέτην, νεὼς, ἢ καπηλείου, ἢ οἵας δήποτε πραγματείας προέστησε. κἀνταῦθα γὰρ αὐτὸς ὁ τῆς δικαιοσύνης λόγος κατὰ τοῦ προστήσαντος τὴν exercitoriam, ἤγουν institoriam δίδωσιν. ὁ γὰρ προϊστῶν τινα, δοκεῖ λαμπρᾷ λέγειν τῇ φωνῇ. ὅτι ἐγὼ τοῦτον προέστησα. ὁ βουλόμενος αὐτῷ συναλλαττέτω. ¶ Ἐπενόησε δὲ καὶ ἄλλην ἀγωγὴν ὁ πραίτωρ, ἥτις tributoria καλεῖται. ἐὰν γὰρ ὁ ἐμὸς οἰκέτης

θ. Introduxit.

locum habet, cùm quis tabernæ forsitan, aut cuilibet negotiationi seruum suum præposuit. Nam si quid cum eo eius rei gratia, cui præpositus est, contractum fuerit: in solidū dominus actione institoria tenebitur. Ideo autem appellata est institoria, quia qui negotiationibus præponuntur, Institores vocantur. Est autem his actionibus institoriæ & exercitoriæ tūc locus, cùm quis liberam personam aut alienum hominem naui, tabernæ, aut cuicumque negotiationi præposuit. Nam & hic ratio æquitatis aduersus eum, qui præposuit, exercitoriam aut institoriā actionem dat. Qui enim aliquem præponit, id clara & aperta voce dicere videtur: Hunc ego præposui: qui volet, cum eo contrahat. ¶ Inuenit & aliam actionem Prætor quæ Tributoria vocatur, Nam si seruus meus

in mercibus peculiaribus negotietur, neque iubente me neque præponente, sed tamen sciente, & nõ vetante: & quid cũ eo contractum fuerit: Prætor ad hunc modum iis de rebus ius reddit. Nam si cõtigerit, vt is multis personis deberet, deberet item & mihi domino (quod dixi debere, non ciuiliter, sed naturaliter intellegendũ est) ac seruus cum mercibus suis adfuerit.

Creditores Prætorẽ adibunt, qui dominum cogat merces in medium proferre: & si quid ex mercibus venditum fuerit, pecuniam inde redactam, pro rata inter se & creditores ceteros distribuere. Et si dominus, cui Prætor mercium distributioné permittit, aliquas ex his interuerterit, nec omnes in mediũ attulerit, & aliquis creditorum id moleste ferens dixerit, minus mercium, quàm ser

εἰς τὰ peculiaria αὐτοῦ πραγματεύσηται φορτία, οὐ κατὰ κέλευσιν ἐμὴν οὐδὲ ἐμοῦ προεστῶτος αὐτὸν, εἰδότος μέν τοι, καὶ οὐκ ἀντιλέγοντος, γένηται δὲ πρὸς αὐτὸν συνάλλαγμα, οὕτως ὁ πραίτωρ ἐπὶ αὐτῷ δημοδοτεῖ. εἰ γὰρ συμβῇ ἐποφλῆσαι αὐτὸν διαφόροις προσώποις, ἐποφλῆσαι δὲ καὶ ἐμοὶ τῷ δεσπότῃ· ὃ δὲ εἶπον ἐποφλῆσαι φυσικῶς νοητέον, οὐκ ἐννόμως· παρέσται δὲ ὁ οἰκέτης ἔχων μεθ' ἑαυτοῦ τὰ φορτία, προσέρχονται οἱ κρεδίτωρες τῷ πραίτωρι, καὶ ἀναγκάζει τὸν δεσπότην ἀγαγεῖν εἰς μέσον τὰ φορτία. καὶ εἴ τι ἐκ τῶν φορτίων διεπράθη καὶ συνήχθη χρυσίον, καὶ τοῦτο ἀναλόγως διελεῖν μεθ' ἑαυτοῦ, καὶ τῶν λοιπῶν κρεδιτώρων. εἰ δὲ αὐτὸς ὁ δεσπότης, ᾧ ἐπετράπη τῶν φορτίων ἡ διαίρεσις, ὑφέληταί τινα ἐξ αὐτῶν, καὶ μὴ πάντα εἰς μέσον ἀγάγῃ, ἔλθῃ δέ τις τῶν κρεδιτώρων αἰτιώμενος καὶ λέγων, ὡς ὅτι ἐλάττονα φορτία τῶν ὑπὸ τοῦ

οἰκέ

οἰκέτου ἐκ τῆς πραγματείας συνεχθέντων εἰς μέσον ἐλήλυθε, δοθήσεται αὐτῷ tributoria κατὰ τοῦ δεσπότου. δι' ἧς ἀναγκασθήσεται, ὅπερ ἔτυχεν ἀποκρυψάμενος φορτίον εἰς μέσον συνεγκεῖν. λέγεται δὲ tributoria, ἡ διαιρετικὴ παρὰ τὸ distribuere, ὅ ἐστι διελεῖν.

§. Praeterea. ¶ Πρὸς ταῖς εἰρημέναις ἀγωγαῖς, ἐπενόησε καὶ τὴν de peculio, ἤτοι de in rem verso. τουτέστι περὶ τῶν ἐν πράγμασι τοῦ πατρὸς, ἢ καὶ δεσπότου, στραφέντων ἤγουν δαπανηθέντων, ἵνα εἰ καὶ παρὰ γνώμην τοῦ δεσπότου συνάλλαγμά τι γένηται πρὸς τὸν οἰκέτην, ὅμως εἴτε τι ἐδαπανήθη περὶ τὴν οὐσίαν τοῦ δεσπότου, τουτέστι in rem versum ἐγένετο, εἰς τοῦτο ὅλον ὁ δεσπότης καταδικασθῇ, εἴτε οὐκ ἐγένετο versum, εἰς τοῦτο μέχρι τῆς τοῦ peculij ποσότητος καταδικασθῇ. δοκεῖ δὲ versum γίνεσθαι εἰς τὴν οὐσίαν τοῦ δεσπότου, ἐάν τι κατὰ τὸ ἀναγκαῖον ἀναλωθῇ περὶ

uus in negotiatione sua habebat, in mediũ collatũ esse: dabitur ei aduersus dominum actio tributoria: per quam cogetur, quicquid mercium occultauerat, in medium afferre. Dicitur autem tributoria actio, quasi Graecè dicas διαιρετικὴν, ab eo quod est distribuere. ¶ Praeter actiones iam relatas inuenit & Praetor actionem de peculio, & de in rem verso. Vt quamuis sine voluntate domini negotium cum seruo gestum fuerit, tamen siue quid in rem domini impensum aut versum sit, id totum dominus soluere cogatur: siue quid in rem domini versum impẽsúmque non sit, id eatenus praestet, quatenus peculij quantitas patitur. Porrò in rem domini versum videtur, si quid necessariò in res eius impensum fuerit.

τὰ

Veluti, mutuo accepto seruus meus creditores meos dimisit: aut ędes ruinam mihi minantes fulsit, aut familię meę frumentum mercatus est: aut fundum mihi aliámve quam rem necessariam emit. Si decem igitur aureos à te mutuò sumpsit, & quinque creditori meo persoluit, & alios quinque quomodolibet cõsumpsit: pro quinque qui in rem meã versi sunt, in solidũ condemnor: pro reliquis qui in me impensi non sunt, quatenus peculij quantitas patet, teneor. Vnde apparet, quòd si omnes decem aureos in rem meam impendit, non quinque tantùm aureos, sed omnes decem creditor à me repetet. Hęc enim actio de peculio, vna quidem est actio, sed duas habet condemnationes. Quoniam aut de peculio, aut de in rem verso, &

τὰ αὐτοῦ πράγματα. οἷον δανεισάμενος ὁ ἐμὸς οἰκέτης τοῖς ἐμοῖς κρεδίτωρσι κατέβαλεν, ἢ μέλλουσάν μοι πίπτειν οἰκίαν ἀνώρθωσεν, ἢ τῇ ἐμῇ φαμιλίᾳ σῖτον ἠγόρασεν, ἤγουν ἀγρὸν, ἢ ἕτερον οἷον δήποτε πρᾶγμα ἀναγκαῖον ἠγόρασέ μοι. εἰ τοίνυν δέκα νομίσματα ἐδανείσατο παρὰ σοῦ, καὶ πέντε μὲν κατέβαλε τῷ ἐμῷ κρεδίτωρι, τὰ δὲ ἄλλα ὁπωσδήποτε ἐδαπάνησεν· ὑπὲρ μὲν τῶν πέντε versorum, εἰς ὁλόκληρον καταδικάζομαι· ὑπὲρ δὲ τῶν μὴ δαπανηθέντων εἰς ἐμὲ, μέχρι τούτου κατασχεθήσομαι, μέχρις οὗ ἐκτείνεται ἡ τοῦ peculij ποσότης. ἤγουν ἐντεῦθεν δῆλον, ὅτι εἰ πάντα τὰ δέκα νομίσματα εἰς τὴν ἐμὴν ἐδαπάνησεν οὐσίαν, οὐ τὰ πέντε, ἀλλὰ ὅλα τὰ δέκα νομίσματα ὁ κρεδίτωρ ἀπαιτήσει με. αὕτη γὰρ ἡ de peculio, μία μέν ἐστιν ἀγωγὴ, διπλῆν δὲ ἔχει τὴν καταδίκην. ἢ γὰρ εἰς τὸ peculium, ἢ εἰς τὸ versum γίνε-

ται ἡ ἐναγωγὴ καὶ ἡ καταδίκη. ὁ τοίνυν δικαστὴς, ὁ τῆς de peculio ἀκροώμενος πρότερον εἴωθε καταvοεῖν εἰ ἐδαπανήθη τι περὶ τὴν οὐσίαν τοῦ δεσπότου. καὶ εἰ μέν τι δεδαπάνηται, εἰς ταύτην πάντως τὴν ποσότητα τοῦ δεσπότην καταδικάζει. ἑτέρως γὰρ εἰς τὴν ζήτησιν τῆς ποσότητος τοῦ peculij μεταβήσεται, εἰ μηδὲν τῶν δανεισθέντων τῷ οἰκέτῃ, εἰς τὴν οἰκείαν οὐσίαν δαπανηθῇ τοῦ δεσπότου, ἤγουν μὴ πάντα δαπανηθῇ. ¶ Εἰπόντες περὶ τῆς de peculic, εἴπωμεν τί ἐστι peculium. ὅρος peculij οὗτός ἐστιν. οὐσία φυσικὴ προκεκυρωμένη ὑπεξουσίῳ, κατὰ γνώμην πατρὸς, ἢ δεσπότου, ἐξῃρημένων τῶν φυσικῶν χρεῶν, πατρικῶν φημὶ καὶ δεσποτικῶν, καὶ τῶν τοῖς ὑπεξουσίοις ἐποφειλομένων. οὐσίαν εἶπον φυσικὴν, ἐπειδὴ κατὰ νόμους οὐσίαν ἔχειν ὑπεξούσιος οὐ δύναται. προκεκυρωμένην ὑπεξουσίῳ κατὰ γνώμην

θ. Cum autē quæritur.

actio intentatur, & condemnatio sequitur. Iudex igitur, apud quem de peculio agitur, antè solet dispicere, an quid in rem domini versum sit, & si quid versum fuerit, in eam omnino summam dominum condemnat. Alioqui enim ad æstimationem peculij transibit, si nihil eorum aut nō omnia, quæ seruus mutuò sumpsit, in rem domini versa impensa que sint. ¶ Cum dictum sit de actione de peculi;, dicamus quid sit peculium. Et definitio peculij talis est. Est naturale patrimoniū ei, qui aliena in potestate est, concessum ac permissum, de voluntate patris aut domini, deductis naturalibus debitis, quæ aut patri debentur aut domino, & his, qui in eiusdem potestate sunt. Dixi Naturale patrimonium: quoniam per ius ciuile is qui aliena in potestate est, patrimonium habere nō potest. Dixi, Ei qui aliena

na in potestate est de voluntate patris aut domini permissum ac concessum: quia id demum peculium est, quod pater dominúsve non ignorat. Nā si quid sine voluntate ipsorū serui aut filij habuerint, id peculio adnumerandum nō est. Adieci, Deductis naturalibus debitis: quoniam id propriè peculium est, quod his deductis, quę naturaliter ab eo debētur, superest: veluti, cētum mihi aureos debet is, qui in potestate tua est: habétque peculium quod prima facie trecentorū aureūm putatur esse. Sed quoniam is patri aut domino cētum aureos debet, debétque itidem ei, qui in eiusdem potestate est, aut fratri suo: aut filius tuus debet seruo tuo, aut seruus tuus debet filio tuo, quem in potestate habes, centum quinquaginta aureos: purè videntur esse in peculio quinquaginta aurei. Inuenias tamē, quādo nec id quod ei debetur, qui in eius

πατρὸς, ἢ δεσπότου εἶπον, ἐπειδὴ ἐκεῖνο peculium ἐστὶν, ὃ οἶδεν ὁ πατὴρ, ἢ ὁ δεσπότης. εἰ γάρ τι παρὰ γνώμην αὐτῶν ἔχουσι, τοῦτο τῷ peculio οὐ συναριθμηθήσεται. ἐξῃρημένων φυσικῶν χρεῶν προσέθεικα, ἐπειδὴ κυρίως ἐκεῖνο ἐστὶ peculium, ὃ περιλιμπάνεται μετὰ τὴν τῶν φυσικῶν χρεῶν ἐξαίρεσιν. οἷον ἐποφείλει μοι ὁ σὸς ὑπεξούσιος ἑκατὸν νομίσματα. ἔχει δὲ peculium νομιζόμενον κατὰ πρώτην ὄψιν τριακοσίων νομισμάτων. ἀλλ᾽ ἐπειδὴ ἐποφείλει τῷ πατρὶ ἢ τῷ δεσπότῃ ἑκατὸν νομίσματα, ἐποφείλει δὲ καὶ τῷ συνυπεξουσίῳ, ἤγουν τῷ ἰδίῳ ἀδελφῷ· ἢ ὁ μὲν υἱὸς ἐποφείλει τῷ σῷ δούλῳ, ἢ ὁ σὸς δοῦλος ἐποφείλει τῷ υἱῷ σου τῷ ὑπεξουσίῳ ἑκατὸν καὶ πεντήκοντα νομίσματα, καθαρὸν νομίζεται peculium πεντήκοντα νομίσματα. ἔστι δὲ ὅτε τὸ τῷ ὑπεξουσίῳ ἐποφειλόμενον χρέος, οὐκ ἐξαιρεῖ-

ται κινουμένης τῆς de peculio. οἷον ὡς ἐπὶ τούτου τοῦ θέματος. ὁ σὸς οἰκέτης εἶχεν ἐν τῷ peculio αὐτοῦ οἰκέτην. οἱ δὲ νομικοὶ, τὸν μὲν πρῶτον οἰκέτην λέγουσιν ordinariũ· τὸν δὲ τοῦ οἰκέτου οἰκέτην λέγουσι vicarium. ὥσπερ ὁ ordinarius οἰκέτης ἐστὶν, οὕτω καὶ ὁ vicarius, ὥς τε οὖν συνυπεξούσιοί εἰσιν. ἐχρεώστει τοίνυν ὁ σὸς οἰκέτης ἐμοὶ ἑκατὸν νομίσματα. εἶχε δὲ peculium ἑκατὸν καὶ πεντήκοντα. ἡ γὰρ διατίμησις τῶν ἐν τῷ peculio πραγμάτων εἰς ταύτην συνέτεινε ποσότητα. ἦν δὲ ἐν τῇ διατιμήσει, καὶ ὁ vicarius. ἐχρεώστει δὲ καὶ ὁ ordinarius τῷ vicario ἑκατὸν νομίσματα. ἐναγόμενος οὖν σὺ παρ' ἐμοῦ τῇ de peculio, οὐ δύνασαι λέγειν ὅτι τὸ peculium τοῦ σοῦ οἰκέτου ἐστὶ πεντήκοντα μόνα νομίσματα, καὶ δεῖ σε εἰς πεντήκοντα μόνα καταδικασθῆναι. ἐπειδὴ ὁ ordinarius ὑπὲρ οὗ ἐνάγῃ τῇ de peculio τῷ vicario

dem poteſtate eſt deduci debeat in actione de peculio: elu-ti in hac ſpecie. Seruus tuus in peculio ſeruum habebat. Iuris prudentes autem primum illum, ſeruum ordinarium vocant, & ſerui ſeruũ vicarium. Porrò quẽadmodum ordinarius, ſeruus eſt, ita & vicarius. In eiuſdem itaq; poteſtate ſunt. Seruus igitur tuus centum aureos mihi debebat. Habebat autem peculiũ cẽtum quinquaginta aureorum: tanti enim res peculiares æſtimabantur: atque in hac æſtimatione erat & vicarius, ſed & huic vicario centum aureos debebat ordinarius. Si tecũ igitur agam de peculio, non potes dicere: quinquaginta tãtùm aureos in peculio ſerui tui eſſe, & ideo in quinquaginta ſolùm condẽnari te debere: quia ordinarius, cuius gratia tecum de peculio agitur, vicario

suo centum aureos debeat. Quoniam debitum hoc deduci non oportet. Et quę nam huiusce rei ratio sit, dicendum est. Ac ratio est hæc.

Cùm peculium ordinarij serui scire ac cognoscere volumus, ceterarum quidem rerum ęstimationem ineuntes, addere solemus & ęstimationem vicarij. Et ita pronūtiamus, tantum aut tantum esse in peculio. Id cùm ita se habeat: non potest vicarius, cuius ęstimatione peculium augetur, & ipse illud minuere, eo nomine, quòd sibi aliquid debeatur. Ne eadem persona duas contrarias habere functiones videatur, vt in eadem facti specie, & eadē causa simul & augeat & minuat peculium. Idémque est, si filius tuus, quē in potestate habes, hominem in peculio suo habeat, qui dicitur seruus peculiaris. Ac mihi centum aureos debeat, debeat item & seruo peculiari centum au

χρεωστεῖ ἑκατὸν νομίσματα. τοῦτο γὰρ τὸ χρέος οὐκ ἐξαιρεῖται. καὶ τίς ἐστιν ὁ λογισμός, ἀναγκαῖον εἰπεῖν. ὁ λογισμὸς οὗτός ἐστιν. ἡνίκα βουλόμεθα τὸ peculium, τοῦ ordinarij οἰκέτου καταμαθεῖν, ψηφίζοντες τὰς διατιμήσεις τῶν ἄλλων πραγμάτων, προστίθεμεν καὶ τὴν τοῦ vicarij διατίμησιν, καὶ οὕτως ἀποφαινόμεθα λέγοντες, τοσῆς δὲ εἶναι ποσότητος τὸ peculium. τούτου δὲ οὕτως ἔχοντος, οὐ δύναται ὁ vicarius οὗ ἡ διατίμησις ηὔξησε τὸ peculium, αὐτὸς καὶ μειοῦν αὐτὸ διὰ τῶν ἐποφειλομένων αὐτῷ, ἵνα μὴ τὸ αὐτὸ πρόσωπον εὑρεθῇ, δύο ἐναντία ποιοῦν, καὶ αὖξον, καὶ ἀπομειοῦν τὸ peculium, ἐν τῇ αὐτῇ ὑποθέσει, τὸ αὐτό ἐστιν, εἰ καὶ ὁ σὸς ὑπεξούσιος ἔχει οἰκέτην ἐν τῷ ἰδίῳ peculio, ὃς λέγεται πεκουλιάριος οἰκέτης. καὶ ἐποφείλει μοι ἑκατὸν νομίσματα. χρεωστεῖ δὲ καὶ τῷ πεκουλιαρίῳ οἰκέτῃ σοῦ

ἑκατὸν νομίσμασι. ἐνταῦθα λέγομεν, μὴ ἐξαιρεῖσθαι τοῦτο τὸ χρέος, ἵνα μὴ ὁ πεκουλιάριος οἰκέτης, αὐξήσῃ μὲν τὸ τοῦ υἱοῦ σου peculium, διὰ τῆς οἰκείας διατιμήσεως, μειώσῃ δὲ διὰ τῶν αὐτῷ φυσικῶς ἐποφειλομένων. καὶ εὑρεθῇ τὸ αὐτὸ πρόσωπον δύο ποιοῦν ἐναντία ἐν τῇ αὐτῇ δίκῃ, καὶ αὖξον καὶ μειοῦν τὸ peculiũ.

8. Cęterum. ¶ Ἐκ τῶν εἰρημένων δεδήλωται, ὅτι πολλαί εἰσιν αἱ ἀγωγαὶ αἱ κινούμεναι κατὰ τοῦ δεσπότου, προφάσει τῶν ἐποφειλομένων ὑπὸ τοῦ οἰκέτου. ἔστι γὰρ ἡ quod iussu, ἡ institoria, ἡ exercitoria, ἡ tributoria. ἔστι δὲ καὶ ἡ de peculio. ἔξεστι δέ τινι ἐάσαντι τὴν quod iussu, ἢ τὴν exercitoriam, ἢ τὴν institoriam, ἐλθεῖν ἐπὶ τὴν de peculio. γενικὴ γὰρ οὖσα ἡ de peculio, ἀντὶ πασῶν δύναται κινεῖσθαι. ἐκεῖναι μὲν γὰρ ἰδικαί. αὕτη δὲ γενική ἐστιν. ἀνόητος δὲ ἐκεῖνός ἐστιν, ὁ ἐάσας ἐκείνας, αἵ τινες δύ-

reos. Nam & hîc diximus, debitum hoc deduci non debere, ne seruus peculiaris, simul & æstimatione sui peculium filij tui augeat, & eorum nomine quę sibi naturaliter debentur, minuat: & eadẽ persona in eadẽ causa duas cõtrarias functiones obire intelligatur, vt & augeat & minuat peculium.

¶ Ex his quæ dicta sunt, constat, multas esse actiones quibus cum domino, de his quæ seruus debet, agere possimus. Est enim actio Quod iussu: est institoria: est exercitoria: est tributoria: est & de peculio. Porrò dubiũ nõ est, quin omissa actione Quod iussu, vel exercitoria, aut institoria, de peculio agere liceat. Nam cùm actio de peculio generalis sit, cuiuscumq; in locum moueri potest, quoniam cæteræ speciales sunt, hæc autem generalis est. Ceterũ stultus admodum sit oportet, qui omissis illis, quæ & facilem habent

habent probationē, & actori in solidū pariunt condemnationem, ad actionem de peculio decurrit. Nam & illud in primis, difficile est planum facere, quantū in peculio sit: res enim peculiares, nō omnibus extraneis notæ sunt: & deinde vbi magno labore planum fecerit, quātum in peculio sit, tunc & quæstio de naturalibus debitis quæ peculium minuūt, referri potest. Porrò difficile est & illud probare, quid quantùmque ex his quæ mutuò seruus sumpserit, in rem domini versum impensúmq; sit. Enim uerò hæc actio de peculio interdum & vt genus, & vt species mouetur. Et quando id contingit? veluti, contraxi cum seruo tuo, neque iubente te, neque cùm præpositus esset alicui negotiationi maritimæ vel terrestri. Hic actio de peculio & vt genus & vt species est. Sed &, si tibi actio tributoria cōpetit, potes hac omissa æquè de peculio siue

χερεῖς εἰσιν εἰς ἀπόδειξιν, καὶ τὸ ὁλόκληρον περιποιῆσαι τῷ ἐνάγοντι, καὶ ὁρμῶν ἐπὶ τὴν de peculio. δυσχερὲς γάρ ἐστι πρῶτον μὲν δεῖξαι, πόσον ἐστὶ τὸ peculium. τὰ γὰρ πράγματα τοῦ peculij, οὐκ ἐστὶ πρόδηλα τοῖς ἔξωθεν. ὅτε δὲ καὶ δείξει πολλὰ κοπωθεὶς ὁπόσον ἐστὶ τὸ peculium, τότε δύναται ἀντιτιθέναι φυσικὸν χρέος ἀπομειοῦν τὸ peculium. δυσχερὲς δέ ἐστιν ἀπόδειξιν καὶ πόσα τῶν δανεισθέντων αὐτῷ versa ἐποίησε περὶ τὸν δεσπότην. ἔστι δὲ ὅτε ἡ de peculio αὕτη, καὶ ὡς εἶδος καὶ ὡς γένος κινεῖται. καὶ πότε τοῦτό ἐστιν; οἷον συνήλλαξα τῷ σῷ οἰκέτῃ, οὐδὲ κατὰ κέλευσιν σήν, οὐδὲ προεστὼς αὐτοῦ πραγματείας τῆς κατὰ γῆν, ἢ κατὰ θάλασσαν ἐνταῦθα ἡ de peculio ἐστὶ, καὶ ὡς εἶδος, καὶ ὡς γένος. εἰ δὲ ἁρμόσει σοι ἡ tributoria, δύνασαι ταύτην ἐάσας, ἐλθεῖν ἐπὶ τὴν de peculio, ἤτοι de in rem verso.

verso. ἐνταῦθα δὲ οὐ πάντως καταγινώσκομεν τοῦ ἐάσαντος τὴν τριβουτορίαν καὶ ἐλθόντος ἐπὶ τὴν de peculio. ποτὲ μὲν γὰρ ἡ de peculio καλλίων εὑρίσκεται τῆς tributorias, ποτὲ δὲ ἐλάττονα περιποιεῖται τῆς τριβουτορίας, καὶ τότε καλλίων ἡ tributoria. οἷον ἡνίκα πολλὰ ὑπέστι φυσικὰ χρέα. τῆς μὲν γὰρ τριβουτορίας κινουμένης, οὐδὲν ἐξαιρεθήσεται φυσικὸν χρέος. ἴσον γὰρ τὸ τοῦ δεσπότου χρέος ἐστὶ, καὶ τῶν κρεδιτώρων. καὶ οὐδεμίαν προτίμησιν ἐν αὐτῇ ὁ δεσπότης ἔχει, οὐδὲ ἐξαιρεῖται τὸ αὐτῷ ἐποφειλόμενον. τῆς δὲ de peculio κινουμένης, καλλίων ἡ τοῦ δεσπότου αἵρεσις. ἐξαιρεῖται γὰρ τὸ φυσικὸν χρέος. τουτέστι τὸ τῷ δεσπότῃ ἐποφειλόμενον. καὶ οὕτως εἰς τὴν λειπομένην ποσότητα τῷ δανειστῇ ὁ δεσπότης τοῦ δούλου καταδικάζεται. καλλίων δὲ ἡ ἐναγωγὴ ἐπὶ τῆς de peculio ἐστὶν, ὑπὲρ τῆς tributorias ἐν τούτῳ. ὅτι κινουμένης τῆς de

¶ His quæ de iudiciis dicta sunt, & illud necesse est addere: si is quicum agitur, bonam fidem agnoscens actori satisfecerit, id est, aut id quod debet, aut rem quæ ab eo petitur, reddiderit: nihil opus est eum propterea condemnari, quia lis cum eo contestata sit. Sed pudori eius ignoscimus, & absolutione eum dignamur: quamuis accipiendi iudicij litisque contestandæ tempore, in ea causa fuerit, vt damnari deberet. Et hoc illud scilicet est, quod vulgò iactatur, Omnia iudicia esse absolutoria. Hoc est, permissum est Iudici ante condemnationem reum,

τὸ depositum συνάλλαγμά ἐστιν. αἱ δὲ ποιναλίαι ἀγωγαί, ὡς εἰρήκαμεν ἐν τοῖς προλαβοῦσι, κατὰ κληρονόμων μὴ παραπέμπεσθαι, τινὰς δὲ μὴ εἰς κληρονόμους διαβαίνειν, ἐὰν ζώντων προκαταρχθῶσι τῶν πρωτοτύπων, ἀκωλύτως καὶ μεταξὺ τῶν κληρονόμων ἐγυμνασθήσονται. ¶ Τοῖς περὶ δικαστηρίων λεγομένοις, ἀνάγκη κἀκεῖνο προστεθεῖναι. ἐὰν ὁ ἐναγόμενος πρὸ τῆς καταδίκης, τὸ δέον ἐπιγνοὺς, τὸ ἱκανὸν ποιήσῃ τῷ ἄκτωρι, τουτέστιν ἀποδῷ τὸ χρέος, ἢ τὸ πρᾶγμα ἐφ' ᾧ ἐνάγεται, οὐκ ἔστιν ἐπάναγκες, ὥστε αὐτὸν καταδικασθῆναι, ἐπειδὴ ὅλως προκατήρχθη. ἀλλὰ συντρέχομεν αὐτοῦ τῇ εὐγνωμοσύνῃ, καὶ ἀβσολουτίονος ἀξιοῦται. εἰ καὶ ὁ τῆς προκατάρξεως καιρὸς οἶδεν αὐτὸν ἄξιον ὄντα τοῦ καταδικασθῆναι. καὶ τοῦτο ἐστὶ τὸ ἐν τῷ πλήθει λεγόμενον, ὅτι πάντα τὰ δικαστήρια ἀβσολουτόρια ἐστίν: τουτέστιν ἔξεστι τῷ δικαστῇ πρὸ καταδίκης θ. Superest.

εὐγνωμονοῦντα τὸν ῥέον ἀφεῖναι τῆς ἀγωγῆς.

qui bonam fidem agnoscat, ab actione liberatū dimittere.

## DE EXCEPTIONIBVS. Titul. XIII.

Εἰπόντες περὶ τῶν ἀγωγῶν, ἀκόλουθον ἐνομίσαμεν, καὶ περὶ παραγραφῶν διαλεχθῆναι. αἵτινες ἐπενοήθησαν, ἐπὶ βοηθείᾳ τῶν ἐναγομένων. καὶ τί ἐστι παραγραφή; δικαιολογία τις, ἁρμόζουσα τῷ ῥέῳ, κατὰ ἀγωγῆς ἐρρωμένης μὲν τῷ νόμῳ, ἀδίκου δὲ τῇ φύσει περιβαλλομένης ἰσχύν. οἷον ὡς ἐπὶ θέματος, φόβον σοι ἐπήγαγον, καὶ παρεσκεύασά σε ἐπερωτηθῆναι ὅτι δώσεις μοι ἑκατὸν νομίσματα, ἢ ἐδελέασά σε δολεραῖς σοι προσελθὼν, ὥστε σε ἐπερωτηθῆναι, ἢ καὶ πλανηθεὶς ὑπέστησας ἑαυτὸν ἐποφείλειν, καὶ ἐπερωτήθης ταῦτα ἃ χρεωστεῖν ἐνόμιζες, εἰ καὶ ἡ ἐπερώτησις ἐποίησε τὸ ἑαυτῆς, καὶ ἔτεκε τὴν verbis ἐνοχὴν, καὶ τὴν ἐντεῦθεν ἐγειρομένην ἀγωγήν.

CVM dictum sit de actionibus: cōsequēs est, vt & de exceptionibus dicamus, quæ defendendorum eorum gratia quibuscū agitur, comparatæ sunt. Et quid est exceptio? Est iudicialis quædā allegatio reō competens, aduersus actioné, quæ iure quidē ciuili efficax sit, sed natura iniquas vires habeat: veluti (vt rem exemplo ostendam) metu tibi iniecto, curaui: vt promitteres mihi te daturum cētum aureos. Aut dolo aggressus, eō te illectum perduxi, vt promitteres aliquid. Aut etiam per errorem cùm debere te putares, promisisti ea mihi stipulanti, quæ mihi credebas deberi. Quāmuis stipulatio vim suam explicuerit, obligationémque verborū pepererit, & actionē, quæ ex ea nascitur:

tur: vt ego iam efficacem tecum habeã ex stipulatu actionẽ, aut etiam condictionem: tamẽ quia iniquum est, vt quod non debeas, id propter regulas iuris soluere cogaris: ideo mihi ex stipulatione agenti, exceptionem oppones: si non per metum promisi: aut si non per errorem dare tibi spopondi. Ecce actio iure ciuili valebat: sed quoniam natura iniquũ erat, vt valeret, data est tibi exceptio, qua teipsum iuuare possis. Hæc autem exceptio erroris, in factũ dicitur: quia διηγηματικῶς, id est, narratiuè opponitur. ¶ Opponi solet exceptio & illa in specie. Centum à me aureos mutuo rogabas, Promisi id facere. Tu igitur priusquàm pecuniã exhiberem, litteras stipulationis mihi dedisti. Quibus acceptis, recepi me facturum, vt postridie tibi pecunia numeraretur: Nec feci tamẽ.

ὥς τε οὖν ἰσχύουσαν ἔχω τὴν ex stipulatu κατὰ σοῦ, ἤτοι τὸ κονδικτίκιον. ἀλλ' ἐπειδὴ ἄτοπόν ἐστι μηδὲν ἐποφείλοντά σε κατὰ νόμους ἀπαιτεῖσθαι, τούτου χάριν, κινοῦντί μοι τὴν ex stipulatu, ἀντιθήσεις παραγραφὴν λέγων, ἀλλ' εἰ μὴ κατὰ φόβον ἐπηρωτήθην. ἤγουν ἀλλ' εἰ μὴ κατὰ πλάνην ὡμολόγησά σοι δώσειν. ἰδοὺ ἡ ἀγωγὴ ἴσχυσε τῷ νόμῳ. ἀλλ' ἐπειδὴ κατὰ τὸ φύσει δίκαιον ἄδικος ἦν ἡ τοιαύτη ἰσχὺς, ἐπενοήθη δικαιολογία, ἤτοι παραγραφὴ, δι' ἧς ἐβοήθησας σεαυτῷ. αὕτη δὲ ἡ περὶ πλάνης παραγραφὴ in factum λέγεται. ἐπειδὴ διηγηματικῶς ταύτην ἀντιτίθησιν. ¶ Ἀντιτίθεται παραγραφὴ, καὶ ἐπὶ ἐκείνου τοῦ θέματος. ᾔτησάς με ὥς τε ἐκδανεῖσαί σοι ἑκατὸν νομίσματα, ὑπεσχόμην τοῦτο πρᾶξαι. εἰ γοῦν πρότερον ἐκτιθεμένου γραμματεῖον παρέχεις, λαβὼν ἐγὼ τοῦτο, ὑπεσχόμην τῇ ἑξῆς ποιῆσαι τὴν ἀπαρίθμησιν, οὐκ ἐπηρώτα- 8. Idem iuris.

μετὰ δὲ. μετὰ ταῦτα παρῆλθε χρόνος. εἰδὼς ἐγὼ, ὅτι ἡ ἐπερώτησις ἐποίησε τὸ ἑαυτῆς, κινῶ κατὰ σοῦ τὸν κονδικτίκιον, ὡς ἀπὸ τῆς ἐπερωτήσεως διὰ τὴν τοῦ νόμου ἀκρίβειαν. ἀλλ' ἐπειδὴ ἄδικόν ἐστι καταδικάζεσθαί σε, ὡς τῆς ἀπαριθμήσεως μὴ γενομένης, δοθήσεταί σοι παραγραφὴ, ἡ τῆς ἀναργυρίας, ἣν οἱ νομικοὶ λέγουσι pecuniæ nõ numeratæ. ἀλλὰ πάλαι μὲν μέχρι πενταετίας ἠδύνατο ἀντιτίθεσθαι ἡ τοιαύτη παραγραφή. σήμερον δὲ καθὰ εἰρήκαμεν ἐν τῇ τρίτῃ ἰνστιτούτῳ, τίτλῳ κα' περὶ τῆς λίττερεις διαλεγόμενοι, διάταξις τοῦ ἡμετέρου βασιλέως, ἐστένωσε ταύτην εἰς διετίαν. καὶ εἰ μὲν ἔσω τῆς διετίας κινῶ, ἀντιτίθεταί μοι παραγραφή. ταύτης δὲ παραδραμούσης, ἀρνηθήσεται τῷ ῥέῳ ἡ παραγραφή.

§. Præterea. ¶ ὅμοιόν ἐστι κἀκεῖνο τὸ θέμα. ἐδάνεισά σοι ρ' νομίσματα. μετὰ χρόνον τινὰ πάκτον ἐποίησα, ὅτι οὐκ ἀπαιτήσω τὸ

Post hæc, temporis aliquantum præteriit. Ego cùm scirẽ efficacem esse stipulationem, condictione tecum agere cœpi, velut ex stipulatione propter exactã strictámque iuris rationem. Verùm quoniam iniquum est condemnari te, vtpote non sequuta numeratione: exceptio tibi dabitur, quam Iurisconsulti vocant Pecuniæ nõ numeratæ. Et olim quidem exceptio hæc vsque ad quinquennium opponi poterat, sed hodie (vt supra libro tertio diximus Titul. XXI. cùm de litterarum obligatione ageremus) constitutio Imperatoris nostri ad biennium eam coangustauit. Atq; ita si intra biẽnium agã, exceptio mihi obstabit: eo vero elapso, exceptio reo non dabitur.

¶ Huic & illa species similis est. Centum tibi aureos mutuò dedi. Post tempus aliquod conuẽnit, ne quod mihi deberes, peterem.

Pactum hoc ipso iure condictionē non perimit, quoniā stricti iuris est actio. Sed adhuc iure ciuili obligatus manes. Quoniam ergo & efficax mihi est condictio, rectéq; intendo, SI APPARET TE DARE OPORTERE: & tamen iura naturæ lædo, pactionibus meis aduersans, ac modò remittēs, nūc iterum petens: pacti exceptio mihi obstabit. ¶ Centum mihi aliquis aureo. debebat. Petere ab eo cœpi quod mihi debebat. Negauit ille se quicquam debere. Iusiurandum ei detuli. iurauit se nihil debere. Nihilominus salua & efficax mihi est condictio. Quemadmodum enim pactum, ita & iusiurandum, actionem ipso iure non extinguit. Verùm, quoniam absurdum est, vt ego cum eo agendo, de periurio ipsius quæram, iurisiurandi exceptio mihi obstabit. Quoniam dicet is, quicum agetur: si non iuraui, nihil me tibi

χρέος. τὸ πάκτον τοῦτο οὐκ ἀναιρεῖ ipso iure τὴν κονδικτίκιον, στρίκταν οὖσαν τὴν ἀγωγήν. ἀλλὰ μένεις ἔτι τῷ νόμῳ ἔνοχος ὤν. ἐπειδὴ οὖν ἰσχύει κατὰ σοῦ ὁ κονδικτίκιος, καὶ καλῶς λέγω, ΕἸ ΦΑΊΝΕΤΑΊ ΣΕ ΧΡΗ͂ΝΑΙ ΔΟΥ͂ΝΑΙ, ἀδικῶ δὲ κατὰ τὸ φύσει δίκαιον, ἐναντιούμενος τοῖς ἐμαυτοῦ συμφώνοις, συγχωρήσας, καὶ πάλιν ἀπαιτῶν, ἀντιτίθεταί μοι ἡ τοῦ πάκτου παραγραφή. ¶ Ἐχρεώστει τίς ἐμοὶ ρ νομίσματα, ἀπήτουν αὐτὸν τὸ χρέος. ἠρνήσατο ἐκεῖνος τὸ ἐποφείλειν. ὅρκον αὐτῷ ἐπήγαγον, ὤμοσεν ὡς οὐδὲν χρεωστεῖ οὐδὲν ἧττον ἔρρωταί μοι ὁ κονδικτίκιος. ὥσπερ γὰρ τὸ πάκτον, οὕτω καὶ ὁ ὅρκος ipso iure οὐ διαλύει τὴν ἀγωγήν. ἀλλ᾽ ἐπειδὴ ἄτοπόν ἐστι κινοῦντά τε ἐλέγχειν αὐτοῦ τὴν ἐπιορκίαν, ἀντιτίθεταί μοι παραγραφὴ ἡ τοῦ ὅρκου. λέγει γὰρ ὁ ἐναγόμενος, ἀλλ᾽ εἰ μὴ ὤμοσα μηδέν σοι ἐποφείλειν. οὐ μό

θ. Aequè si debitor.

οὐ μόνον δὲ ἐπὶ τῶν περσοναλίων ἀγωγῶν, ἀλλὰ καὶ ἐπὶ τῶν in rē δύνανται ἀντιτίθεσθαι αἱ παραγραφαί. οἷον ἐνεφάνισας πρᾶγμα διαφέρειν τῇ ἐμῇ δεσποτείᾳ. ἤτουν τοῦτο λαβεῖν παρὰ σοῦ. σὺ τοῦτο διεβεβαιοῦ τῆς σῆς εἶναι δεσποτείας. ὅρκον ἐπήγαγον περὶ τούτου. ὤμοσας ἑαυτὸν εἶναι δεσπότην. ἐὰν ἔλθω μετὰ ταῦτα κινῶν κατὰ σοῦ τὴν in rē, ἁρμόζει γάρ μοι οὐδὲν ἧττον, οὐδὲ γὰρ ὁ ὅρκος ἐπέσβεσε τὴν οὖσαν παρ' ἐμοὶ δεσποτείαν, ἀντιτίθεταί μοι διὰ τὸ φύσει δίκαιον ἡ τοῦ ὅρκου παραγραφή.

θ. Item si in iudicio.

¶ Ἠ κίνησα κατὰ σοῦ τὴν ἁρμόζουσάν μοι in rem, ἢ περσοναλίαν. ἡττήθην ἢ ἐγὼ αὐτὸς συναρπαγείς, ἢ τοῦ δικαστοῦ κακῶς ἀποφηναμένου. αἱ μὲν ἀγωγαὶ μένουσιν ἐπὶ τῆς οἰκείας ἰσχύος. εἰ δὲ πειραθῶ αὖθις κινῆσαι, ἐκβάλλομαι τῇ rei iudicatæ παραγραφῇ.

θ. Hæc exempli.

¶ Ἀρκεῖ μέχρι τοσούτου ἐξαριθμήσασθαι θέματα, ἐξ ὧν τίκτονται παραγραφαί. πολ-

debere. Non solum autem in actionibus in personam, sed & in actionibus in ré, exceptiones opponi possunt: veluti, tenebas rem, quæ ad me pertinet: persequi eam abs te volui. Tu verò tuam esse asseuerabas. Iusiurandū tibi detuli. Iurasti te esse dominū. Si deinde ego tecum in rem agere cœpero. (nam adhuc actio mihi competit, quoniam iusiurandum dominium meum non extinxit): ex æquitate naturali, exceptio iurisiurandi mihi obstabit.

¶ Actio mihi aliqua tecum erat in rem aut in personam. Agere hac institui. Et victus sum, siue quod Iudici obreptum fuerit, aut ego me nimia celeritate præcipitauerim, siue quod iudex malè pronuntiauerit Nō est dubium, quin actiones mihi efficaces maneant. Si tamen iterum petere cœpero, exceptione rei iudicatæ submouebor.

¶ Atque hactenus quidem, species quasdam & exépla enumerasse suffi-

ciat, ex quibus exceptiones nascantur. Porrò sunt & aliæ multę ac varię caussæ, quæ exceptiones admittant. Sed eas plenius perfectiúsq; ex digestis seu Pandectis discemus. Enimuerò illud sciendum est, exceptionũ alias esse ex legibus, alias ex his quæ legis vim obtinẽt introductas esse, vt S. C. aut Principum constitutionibus, alias item Prætorem inuenisse. ¶Omniũ autẽ exceptionum, quędam perpetuę sunt, quę & peremptorię dicuntur: alię temporales, siue dilatorię. Et peremptorię sunt, quę in perpetuum obstant actori, & semper actionem perimunt, quia scilicet vires actionis resoluant. Talis est doli exceptio, & Quod metus causa, & Pacti conuenti, cùm ita conuenit ne vnquam à debitore, quod mihi deberet, peterẽ. Temporales autem sunt, quę ad certum tempus obstant: qualis est tẽporarij pa-

λαι δὲ ἕτεραι, καὶ ποικίλαι εἰσὶν αἰτίαι παραγραφῶν δεκτικαί. ταύτας δὲ τελειότερον μαθησόμεθα, ἐκ τῶν διγέστων, ἤτοι τοῦ πανδέκτου. τοῦτο δὲ εἰδέναι χρὴ, ὅτι τῶν παραγραφῶν, αἱ μὲν εἰσιν ἀπὸ νόμου, αἱ δὲ ἀπὸ τῶν νόμου τάξιν ἐχόντων, οἷον δογμάτων καὶ διατάξεων, ἐπινενόηνται. ταύτας δὲ αὐτὸς ἐφεῦρεν ὁ πραίτωρ.

¶ Τῶν παραγραφῶν αἱ μὲν εἰσι περπέτουαι, αἵτινες καὶ περεμπτόριαι προσαγορεύονται. αἱ δὲ τεμποράλιαι, ἤτοι διλατόριαι, καὶ περεμπτόριαί εἰσιν, αἵτινες διηνεκῶς ἀπόκεινται τῷ ἄκτωρι ἀεὶ τὴν ὑπ' αὐτοῦ κινουμένην ἀγωγὴν ἀναιροῦσαι, ἐπειδὴ διαλύουσι τῆς ἀγωγῆς τὴν ἰσχύν. τοιαύτη ἐστὶ ἡ τοῦ δόλου παραγραφὴ, ἡ τοῦ φόβου, ἡ τοῦ πάκτου, ἡνίκα πακτεύσω τῷ δεβίτωρι, ὅτι οὐδέποτέ σε ἀπαιτήσω τὸ χρέος. τεμποράλιαι δὲ εἰσιν, αἱ μέχρι φανεροῦ χρόνου ἀντικείμεναι, οἷον τοῦ τεμπορα-

θ. Appellantur.

ποραλίου πάκτου παραγραφή. ἡνίκα πάκτον ποιήσω τῷ ἐμῷ δεβίτωρι, ὅτι οὐκ ἀπαιτήσω σε τὸ χρέος, ἕως πέντε ἐνιαυτῶν. εἴσω μὲν γὰρ τούτου τοῦ χρόνου ἀντίκειταί μοι ἡ παραγραφή. παραδραμούσης δὲ τῆς πενταετίας ἀποσβέννυται. ὥστε οὖν καθὰ εἴρηται βουλομένῳ μοι εἴσω τοῦ χρόνου κινῆσαι, ἀντίκειται παραγραφὴ, ἡ τοῦ προειρημένου πάκτου, ἢ ἑτέρα οἵα δήποτε ὁμοία. διὸ ὀφείλω τὴν πενταετίαν ὑπερθέσθαι, καὶ μετὰ ταῦτα κινεῖν. διὰ τοῦτο γὰρ διλατόρια προσαγορεύεται, διὰ τὸ ἔχειν ὑπέρθεσίν τινα. Dilatio γὰρ λέγεται ἡ ὑπέρθεσις. εἰ δὲ προφθάσω κινῆσαι εἴσω τῆς πενταετίας, τοῦτο καθ' ἑαυτὸν λογισάμενος, ὅτι εἰ μὲν δυνηθῇ συναρπάσαι, ἐντεῦθεν ἤδη τὸ χρέος ἀπαιτῶ. εἰ δὲ ἀντιτεθῇ μοι ἡ τοῦ τεμποραλίου πάκτου παραγραφὴ, ἐξ ἀνάγκης ἀπαιτήσω μετὰ τὴν πενταετίαν. ὁ ταῦτα λογισάμενος

cti exceptio, cùm scilicet conuênit, ne vsque ad quinque annos debitum peterem: quoniam intra tempus hoc, obstat mihi exceptio, sed eo elapso, extinguitur: Itaque si intra annum (vt dictum est) agere velim, obstabit mihi prędicti pacti exceptio, aut alia quęuis similis. Atque ideo actionem in quinquennium differre debeo, & post tempus agere. Nam inde dilatorię dicuntur, quòd rem differant. Dilatio enim ab eo quod est differre, vocata est. Quòd si intra tẽpora quinque annorum agere pergam, ita mecum in animo rationem subducens, si illum pręcipitem dare ante diem & iudici obrepere potero, iam inde confestim, id quod mihi debetur, consequar: sin verò temporarij illius pacti exceptio mihi obstabit, necesse erit omnino, vt post quinquennium consequi liceat. Qui apud sese huiuscemodi cogitationem

gitationē instituet, non rectè sibi videtur consultum ire. Nam intra tempora submouebitur per exceptionem pacti, & post tempora, si pergat agere, habebit aduersum se exceptionē rei iudicatę, quoniam hęc peremptoria est. Nā illud in uniuersum sciēdum est, per exceptionem dilatoriā, quę semel opposita efficax fuerit, hoc est, actorem à iudicio repellere potuerit, peremptoriā exceptionem adquiri. Hunc igitur in modum totam litem actor amittit. ¶Sed olim hæc in usu fuerunt. Hodie verò Imperator noster sanctissimus tā iniquæ huic subtilitati locum esse noluit. Sed constituit, ut qui aut ita stipulatus est, POST QVINQVENNIVM MIHI DARE SPONDES? aut qui mutuum dedit, & pactum deinde cū debitore fecit, ne intra quinque annos id ab eo peteret: si ante quinquénium vel stipulationi insertum, vel in

κακῶς βουλεύεται. τέως μὲν γὰρ ἐκβάλλεται, μετὰ δὲ τὴν πενταετίαν εἰ πάλιν κινήσει, ἀντικειμένην ἔχει τὴν rei iudicatæ παραγραφήν· ἥτις ἐστὶ περεμπτορία. κανόνα γὰρ ἴσθι καθολικὸν ὅτι διλατορία παραγραφὴ ἀντιτεθεῖσα καὶ ἰσχύσασα, τουτέστι δυνηθεῖσα τὸν ἄκτωρα ἐξωθῆσαι τοῦ δικαστηρίου, περεμπτορίαν τίκτει παραγραφήν. τούτῳ οὖν τῷ τρόπῳ, τῆς δίκης ὁ ἐνάγων ἐκπίπτει. ¶Ἀλλὰ ταῦτα μὲν τὸ παλαιόν. σήμερον δὲ ὁ θειότατος ἡμῶν βασιλεὺς οὐ βούλεται ταύτην τὴν ἄδικον χώραν ἔχειν ἀκρίβειαν· ἀλλὰ φησίν, ἐάν τις ἐπερωτήσας ΟΜΟΛΟΓΕΙΣ ΔΙΔΟΝΑΙ ΜΟΙ ΜΕΤΑ ΠΕΝΤΑΕΤΙΑΝ; ἢ καὶ δανείσας τινὶ πάκτον ποιήσηται μετὰ ταῦτα πρὸς αὐτὸν, ὅτι οὐκ ἀπαιτῶ σε τὸ δάνεισμα ἕως ε ἐνιαυτῶν. εἴσω δὲ πενταετίας τῆς εἰρημένης τῇ ἐπερωτήσει, ἢ τῷ γενομένῳ πάκτῳ, κινήσῃ, χώραν ἐχέτω ἡ ζηνω

θ Hodie autem.

ζήνωνος διάταξις ἐπ' αὐτῷ, ἡ διαλεγομένη περὶ τῶν κατὰ χρόνον plus πεπιτευόντων. ἥτις παρακελεύεται, τὸν προτερόν τι πλημμελήσαντα καὶ πρὸ τριετίας τυχὸν τοῦ περαιωθῆναι τὴν πενταετίαν, τὴν τῷ πάκτῳ περιεχομένην, ἢ καὶ ἐγκειμένην τῇ ἐπερωτήσει κινῆσαι, ὥστε μηδὲν ἐντεῦθεν ἤδη λαμβάνειν τι, ἀλλὰ διπλασιάζεσθαι κατ' αὐτοῦ τὴν προθεσμίαν, καὶ ἀναγκάζεσθαι αὐτὸν ἑξαετίαν ἀναμεῖναι. μετὰ δὲ τὴν ἑξαετίαν τότε κινῶν λήψεται, ἡνίκα παράσχῃ τὰ δαπανήματα ὁ ἄκτωρ, ὅσα ὁ ῥέος ἐδαπάνησεν ἐναχθεὶς πρὸ τοῦ χρόνου. τούτῳ γὰρ τῷ τρόπῳ σωφρονισθέντες οἱ κρεδίτωρες, τῆς ὑπ' αὐτῶν δεδομένης οὐ καταφρονοῦσι προθεσμίας. ¶ Τῶν δὲ διλατορίων παραγραφῶν, αἱ μὲν ἀπὸ πράγματος, αἱ δὲ ἀπὸ προσώπου ἀναφύονται. καὶ ἀπὸ πράγματος μὲν, οἷον ἡ τοῦ τεμποραλίου πάκτου παραγραφή. ἀπὸ προ

§. Praeterea etiam.

pactum deductus agat: locum in eo haberet Zenonis constitutio, quam de his edidit, qui tempore plus peterent. Hac autem ita cauetur, vt qui tale aliquid deliquit, & ante triennium forte, quam quinquenniũ exiret, quod vel in stipulationem deductum vel pacto indultum fuerit, agit: nihil inde consequatur emolumenti, sed aduersus eum praescripta tempora duplicentur, & ipse sexennium expectare cogatur. Sed &, vt cùm agere peracto sexennio volet, ita suum actor recipiat, si impensas ac sumptus, quos is, qui ante tempus conuentus erat, fecerit, ei restituerit. Hoc enim modo prudentiores facti creditores, tẽpora ac inducias quas ipsi dederint, non tam facile contemnent. ¶ Dilatoriarũ autem exceptionum aliae ex re, aliae ex persona nascuntur. Et ex re quidẽ, vt temporarij pacti exceptio. Ex persona ve-

rò,

tio vt procuratoriæ. Veluti si quis per militem aut fœminam agere velit, Exceptione enim submouebitur. Nam miles quum totum se debeat armorum studio & exercitio dare, ne pro patre quidem aut matre, immò neque pro vxore, quamuis sacrum haberet rescriptum, procuratorio nomine agere potest. Pro se verò agere nō prohibetur. Nam id legibus, quæ de re militari latæ sunt, non repugnat. ¶ Sunt & aliæ dilatoriæ exceptiones, quę ex personis nascantur: exque procuratoribus ex causa infamiæ opponi solent. Porrò quid id sit, dicere operepretiū est. Tu verò hęc habe in modum cuiusdā pręuię inspectionis. Si quis aut depositi aut iniuriarum condemnatus fuerit, infamis fit. Is autem qui infamię nota inusta est, multis affici tur pœnis. Nam neque in Senatum allegi, neque Decurio creari, neque militię nomen dare, neque aduocatiōes subire,

σώπου δὲ αἱ προκουρατόριαι, οἷον ἐάν τις διὰ στρατιώτου, ἢ γυναικὸς ἐνάγειν βουληθῇ, ἐκβάλλεται παραγραφῇ. στρατιώτης γὰρ οἷον τοῖς ὅπλοις σχολάζειν ὀφείλων, procuratorio nomine οὐδὲ ὑπὲρ πατρὸς, ἢ μητρὸς, οὐδὲ ὑπὲρ γαμετῆς, οὐδὲ εἰ ἔχει θείαν ἀντιγραφὴν, συγχωρεῖται κινεῖν. ὑπὲρ ἑαυτοῦ δὲ κινεῖν οὐ κεκώλυται. τοῦτο γὰρ τοῖς περὶ στρατιωτῶν οὐκ ἐναντιοῦται νόμοις. ¶ Εἰσὶ δὲ καὶ ἄλλαι διλατόριαι παραγραφαὶ, ἀπὸ προσώπων ἐγειρόμεναι, αἵ τινες ἀντίκεινται τοῖς προκουράτωρσι, διὰ τὸν λόγον τῆς ἀτιμίας. τί δὲ τοῦτο ἐστὶν, ἀναγκαῖον εἰπεῖν. ἔχει δὲ ταῦτα ὡς ἐν προθεωρίᾳ. ἐάν τις καταδικασθῇ τῇ depositi ἐναχθεὶς, ἢ τῇ iniuriarum, γίνεται ἄτιμος, ὁ δὲ ἀτιμωθεὶς πολλὰς ὑφίσταται ποινάς. οὔτε γὰρ συγκλητικὸς γενέσθαι δύναται, οὔτε βουλευτής. οὐδὲ στρατεύεται, οὐδὲ συνηγορεῖ. οὐδὲ γίνεται τινὸς

θ Eas verò.

προκουράτωρ. οὔτε ἐνάγων δύναται διδόναι προκουράτορα. αὐτὸς μέντοι δι' ἑαυτοῦ ἐνάγειν οὐ κεκώλυται. ἐπειδὴ τοίνυν ταῦτα προτεθεώρηται, ὅρα λοιπὸν τὸ προκείμενον. ἠβουλήθην κατὰ σοῦ κινῆσαι δίκην, προεβαλόμην προκουράτορα ἄτιμον ὄντα ἢ ἐκεῖνος μὲν ἔντιμος, ἐγὼ δὲ ἄτιμος, ἀντιτίθεται παραγραφὴ, ἡ τῆς ἀτιμίας. ὁ γὰρ ἐναγόμενος λέγει, ἀλλ' εἰ μὴ ἄτιμος εἶ σὺ ὁ προκουράτωρ, ἤγουν ἀπ' ἀτίμου ἐδόθης. καὶ ἔστιν αὕτη ἡ παραγραφὴ διλατορία ἀπὸ προσώπου ἐγειρομένη. τὰς δὲ διλατορίας παραγραφὰς, δυνατὸν ἐκκλῖναι μεθόδῳ. εἰ γὰρ εἴπῃ ὁ ῥέος, ὅτι ἄτιμός ἐστιν ὁ προκουράτωρ, δύναμαι ἐγὼ ἀμείψας αὐτὸν προβάλλεσθαι ἔντιμον ἤγουν δι' ἐμαυτοῦ δικάσασθαι. εἰ δὲ εἴπῃ, ἄτιμός ἐστιν ὁ σὲ προβαλλόμενος, ἐκκλίνω ταύτην, ἀποκινῶν μὲν τὸν προκουράτορα, δι' ἐμαυτοῦ δὲ κινῶν. ὁ γὰρ ἄτιμος, εἰ καὶ μὴ δῶ

neq; procurator cuiusquam esse, neque si agat, procuratorẽ constituere potest: Suam tamen litem per se non prohibetur persequi. His ita inspectis, vide nunc deinceps rem quam agimus. Volebam te cum agere. Infamẽ aliquem procuratorem constitui, aut cũ is integræ famæ esset, ego infamis eram. Infamiæ exceptio obstabit. Dicet enim is, cum quo agetur: si tu procurator non infamis es, aut certè non ab infami datus es. Et est hæc exceptio dilatoria ex persona nascens. Facile est autẽ dilatorias has exceptiones effugere. Nã si dixerit reus infamem esse procuratorem: possum eo submoto aliquem integræ famæ constituere, aut per meipsum litigare. Sin autem dixerit, infamem esse qui procuratorem dederit: id vitabo, si procuratorem missum faciem, & ipse in causam descendã. Nam qui infamia laborat, quamuis pro-

curatorem non constituat, tamen per sese agere potest. Quòd si actor hac exceptione contempta, ita secum in animo suo cogitet: siue fefellero ac causam vicero, siue opposita exceptione illa, per meipsum egero, omnino consequar id quod mihi debetur, seipsum planè decipit. Nam si dein de agere cœperit, peremptoria rei iudicatæ exceptione submouebitur. Idque propter regulā iam tibi traditam, qua dicimus: per exceptionem dilatoriam quæ semel opposita efficax fuerit, peremptoriam exceptionē adquiri. Verùm hæc quæ de infamia dicta sunt, olim procedebant. Sed hodie, cùm hæc frequenter in Iudiciis non versentur: ne fieri quidem videtur posse, vt aliquid de infamia quæ procuratoribus obiici posset, propter desuetudinē eius tractemus aut quæramus. Nam & illud absurdum esse visum est, dum de personarum conditione altercamur,

προκυράτερα, ἀλλ᾽ οὖν δι᾽ ἑαυτοῦ ἐνάγειν δύναται. εἰ δὲ ὁ ἄκτωρ καταφρονήσει τῆς τοιαύτης παραγραφῆς, ἐνθυμηθεὶς ὅτι ἢ συναρπάζω καὶ νικῶ τὴν δίκην, ἢ ἐὰν ἀντιτεθῇ ἡ παραγραφὴ, δι᾽ ἐμαυτοῦ κινῶ, καὶ λαμβάνω τὸ χρέος, ἑαυτὸν ἀπατᾷ. προαχθεὶς γὰρ μετὰ ταῦτα κινῆσαι, ἐκβάλλεται περεμπτορίᾳ παραγραφῇ, ἢ τῇ rei iudicatæ, διὰ τὸν ἤδη παραδοθέντα σοι κανόνα, τὸν λέγοντα, ὅτι διλατορία παραγραφὴ, ἀντιτεθεῖσα καὶ ἰσχύσασα, περεμπτορίαν ποιεῖ παραγραφήν. ἀλλὰ ταῦτα μὲν περὶ ἀτιμίας τὸ παλαιὸν ἐπραγματεύετο. σήμερον δὲ διὰ τὸ μὴ συνεχῶς ἐν τοῖς δικαστηρίοις ἀναστρέφεσθαι ταῦτα, οὐδὲ δυνατὸν διὰ τὴν ἀσυνήθειαν, πραγματεύειν τι περὶ ἀτιμίας, τῇ προφάσει τῶν προκουράτορων ἀντιτιθεμένης. ἄτοπον γὰρ περὶ προσώπων ποιότητα φιλονεικοῦντας, τὴν

τοῦ πράγματος ἐπεκτείνειν ζήτησιν.

ipsius negotij disceptationem longius differre.

## DE REPLICATIONIBVS.

### Titul. XIIII.

Ὥσπερ ταῖς ἀγωγαῖς ἰσχυούσαις μὲν τῷ νόμῳ, ἀδικούσαις δὲ κατὰ τὸ φυσικὸν δίκαιον, ἀντιτίθενται αἱ παραγραφαί, οὕτω καὶ ταῖς παραγραφαῖς, ἐρρωμέναις μὲν κατὰ τὸ ἀληθές, ἀδίκοις δὲ νομιζομέναις τῇ φύσει, ἀντιτίθεται δικαιολογία ὑπὸ τῶν ἐναγόντων, ἥτις λέγεται replicatio. ὠνόμασται δὲ ἐντεῦθεν, ἐπειδὴ δι' αὐτῆς ἀναπλέκεται καὶ ἀναλύεται ἡ τῆς παραγραφῆς ἰσχύς. Plico γάρ ἐστι τὸ πλέκω, replico δὲ τὸ ἀναπλέκω, καὶ ἀναλύω. θεωρεῖται δὲ τὸ εἰρημένον, ἐπὶ τούτου τοῦ θέματος. πάκτον ἐποίησα τῷ ἐμῷ δεβίτωρι, ὅτι οὐκ ἀπαιτήσω αὐτὸν τὸ χρέος. μετὰ χρόνον τινὰ ὁ δεβίτωρ ἐν εὐπορίᾳ γινόμενος χρυσίου, ἢ καὶ τυχὸν ὀνειδισθεὶς παρ' ἐμοῦ, ἢ ὑφ'

Quemadmodum actionibus, quę iure quidem ciuili efficaces sunt, sed ex equitate naturali iniquè nocent, exceptiones opponi solent: ita & exceptionibus quæ reuera quidē validæ sunt, sed ex æquitate iniquæ putantur: allegatio quædam ab agētib' opponitur, quæ replicatio vocata est. Ac inde nomen habet, quòd per eam replicatur ac resoluitur vis exceptionis: nempe à replicādo. Prædicta autem tractari posſint tali in specie. Pactum cum debitore meo feci, ne quod mihi deberet peterē. Post tēpus aliquod cùm debitor factus esset ditior, aut cùm ego id exprobrassem aut

alius quispiam, pactum mecum iniit, quo mihi permisit pristinum debitum petere. Si nunc ego post secundum hoc pactum, condictione aduersus illum ad ea quæ mihi debentur experiar, atque ille pœnitentia ductus pacti exceptionem mihi opponat, sic dicendo: SI PACTVM AMPLIVS NON PETENDI NON FECISTI: prima facie, pactũ hoc multum videtur petitionem meam lædere. Nam reuera ita conuenit, & nihilominus verũ manet: Nam per secundum pactum, prius ipso iure sublatum non est. Sed quoniã iniquum est, creditorem excludi: ex secundo pacto datur ei replicatio, in qua sic dicet: SI POSTERIVS inter nos pactum factum non est ut quo mihi petendi facultas data sit. Porro quemadmodum exceptioni opponitur replicatio, ita & replicationi quæ, prima fa-

ἑτέρου, πάκτον ἐποίησεν, ἐν ᾧ ἐπέτρεψέ μοι ποιήσασθαι τὴν τοῦ χρέους ἀπαίτησιν. ἐὰν κινήσω ἐγὼ κατ' αὐτοῦ τὴν κονδικτίτιον ἀπαιτῶν τὸ χρέος μετὰ τὸ γενέσθαι τὸ δεύτερον πάκτον, μεταγνοὺς δὲ ἐκεῖνος ἀντιθῇ μοι τὴν τοῦ πάκτου παραγραφὴν, λέγων, ΑΛΛ' ΕΙ ΜΗ ΠΑΚΤΟΝ ΕΠΟΙΗΣΑΣ ΜΗ ΑΠΑΙΤΕΙΝ ΤΟ ΧΡΕΟΣ, δοκεῖ κατὰ πρώτην ὄψιν ἐμποδίζειν μοι τὸ πάκτον πρὸς τὴν ἀπαίτησιν. συνεφωνήθη γὰρ τῇ ἀληθείᾳ, καὶ μένει οὐδὲν ἧττον ἀληθές. τὸ γὰρ δεύτερον πάκτον οὐκ ἐγέγονεν ipso iure τοῦ προτέρου ἀναιρετικόν. ἀλλ' ἐπειδὴ ἄδικόν ἐστι τὸν κρεδίτορα ἐξωθεῖσθαι, δέδοται αὐτῷ replicatio ἐκ τοῦ δευτέρου πάκτου, ἐν ᾗ φησι, ΑΛΛ' ΕΙ ΜΗ δεύτερον πάκτον ἐγένετο ἐπιτρέπον μοι τὴν ἀπαίτησιν. ὥσπερ δὲ τῇ παραγραφῇ ἀντιτίθεται replicatio, οὕτω καὶ τῇ replicationi,

οὔσῃ μὲν ἐννόμῳ κατὰ τὴν προτέραν τάξιν, βλαπτούσῃ δὲ κατὰ τὸ φύσει δίκαιον, ἄλλη ἀντιτίθεται δικαιολογία ὑπὸ τοῦ ῥέου, ἥτις duplicatio προσαγορεύεται. οἷον ἐποίησά σοι πάκτον, ὅτι οὐκ ἀπαιτῶ σε τὸ χρέος. σὺ δὲ δεύτερον πάκτον ἐποίησας, ἐπιτρέπων μοι τὴν ἀπαίτησιν. ἐγὼ τρίτον συγχωρῶν τὸ χρέος. εἰ δὲ καὶ ἡ duplicatio εὑρεθῇ ἄδικος οὖσα φύσει, χρειώδης ἐστὶ τῷ ἄκτωρι εἰς πρὸς βοήθειαν ἄλλη δικαιολογία, ἥτις λέγεται triplicatio. τούτων δὲ τῶν παραγραφῶν τὴν χρῆσιν, περαιτέρω ἢ ὥσπερ εἰρήκαμεν, ἡ τῶν πραγμάτων ἐπενόησε ποικιλία. δύναται γὰρ τῇ τριπλικατίονι κουαδρουπλικατίων ἀντιτεθῆναι. ταῦτα πάντα δὲ εὐχερῶς ἔξεστι γνῶναι, ἐκ τῶν πλατυτέρων τῶν διγέστων συνταγμάτων.

8. Exceptiones.

¶ Αἷς δὲ παραγραφαῖς ὁ πρωτότυπος δεβίτωρ κεχρῆσθαι δύναται, ταύταις ὡς ἐπὶ τὸ πλεῖστον καὶ ὁ ἐγγυητὴς ἀντιτίθησιν εἰκότως. ὁ γὰρ αὐ-

eic iusta est, sed ex æquitate naturali iniquè nocet, alia quædam allegatio à reo opponitur, quæ duplicatio vocatur. Veluti pactū amplius non petendi tecum feci. Deinde posteriore pacto cōuēnit vt petere possem. Tertium pactum sequutum est, quo debitū tibi iterum remisi. Quòd si & duplicatio aliquam ob causam iniquè noceat, alia rursus allegatione opus est actori, vt ea adiuuetur, quę dicitur triplicatio. Harum autem exceptionū vsum & vlterius interdum quàm diximus, varietas negotiorum producit. Nam & triplicationi, quadruplicatio opponi potest. Sed omnia hæc & alia facilius ex latioribus Digestorum voluminibus cognosci poterunt. ¶ Exceptiones autem, quibus principalis debitor vti potest, plerumq; & fideiussor opponit. Meritò: Quoniā

quod à fideiussore petitur, id ab ipso debitore peti videtur. Nam fideiussor cùm soluerit, mandati actionem aduersus eum habebit.

Qua ratione, si cum debitore pactum fecerim, ne ab eo peterem: exceptio pacti conuenti & his dabitur, qui pro ipso obligati sunt, perinde atque si expressè dixissem, ne à vobis quidem petã, quod mihi debetur. Sunt tamẽ exceptiones quædã quę non ęquè fideiussori ac debitori cõpetant: veluti, mutuum dedi Primo, & Secundũ fideiussorẽ accepi. Primus cùm nihil haberet, vnde ego meum consequi possem, bonis suis cessit. Si cum eo velim agere, habet is exceptionem, quam mihi opponat, sic dicendo: SI BONIS NON CESSI, & ita me iudicio potest excludere. Verùm exceptio hæc, fideiussores ipsi' non iuuabit: hac maximè de causa, quoniã qui fideiussorẽ à debitore suo accipit,

ἀπαιτηθῇ ὁ ἐγγυητής, ὁ δεβίτωρ ἀπαιτεῖσθαι δοκεῖ. καταβαλὼν γὰρ ὁ ἐγγυητής, ἕξει κατ' αὐτοῦ τὴν mandati. ὅθεν ἐὰν πάκτον ποιήσω τῷ δεβίτωρι μου, μὴ ἀπαιτεῖν τὸ χρέος, ἡ τοῦ πάκτου παραγραφή, καὶ τοῖς ὑπὲρ αὐτοῦ γινομένοις ἐνόχοις δοθήσεται, ὥσπερ εἰ φανερῶς εἶπον, ὅτι οὐδὲ ὑμᾶς ἀπαιτήσω τὸ χρέος. εἰσὶ δέ τινες παραγραφαί, ὧν οὐ συναπολαύει ὁ ἐγγυητὴς τῷ δεβίτωρι. οἷον ἐδάνεισα πρίμῳ, σεκοῦνδον δὲ ἔλαβον ἐγγυητήν. ὁ πρίμος ἐξέστη τῆς οἰκείας περιουσίας, μηδὲν ἀξιόπιστον ἐπικτησάμενος. ἐναγόμενος δὲ παρ' ἐμοῦ, δύναται ἀντιτιθέναι παραγραφήν, καὶ λέγειν, ἈΛΛ' ΕἸ ΜῊ ἘΞΕΣΤΙΝ, καὶ ἐκβάλλει με τοῦ δικαστηρίου. αὕτη δὲ ἡ παραγραφή, οὐκ ὠφελήσει τοὺς ἐγγυητὰς αὐτοῦ, διὰ ταύτην τὴν αἰτίαν. ἐπειδὴ ὁ παρὰ τοῦ οἰκείου δεβίτωρος λαμβάνων ἐγγυητήν, διὰ τοῦ-

τὸ μάλιστα λαμβάνει, πρόνοιαν αὐτοῦ ποιούμενος, ἵνα εἰ συμβῇ ἀπορῆσαι τὸν δεβίτωρα, δυνηθῇ χωρῆσαι κατὰ τῶν ἐγγυησαμένων. εἰ δὲ τὴν ἀπὸ τῆς ἐκστάσεως παραγραφὴν δῶμεν καὶ τῷ ἐγγυητῇ, ἀνωφελὴς ἔσται μοι, καὶ ἡ διὰ τῆς λήψεως τῶν ἐγγυητῶν πρόνοια.

eam ob rem præcipuè accipit, vt sibi rebúsque suis consulat, nempe vt si cõtingat debitorẽ soluendo non esse, regressum habeat ad eos, qui pro illo fidem suam obligarunt. Quòd si & fideiussori dederimus exceptionem cessionis, futurum est, vt non admodum benè rem meam gessisse videar accipiendo fideiussores.

---

## DE INTERDICTIS.
### Titul. XV.

ΤΟν περὶ ἀγωγῶν, καὶ παραγραφῶν, καὶ ῥεπλικατιόνων διαλεχθέντα, ἀκόλουθόν ἐστι, καὶ περὶ ἰντερδίκτων διεξελθεῖν, ἤτοι τῶν ἀγωγῶν αἵτινες εἰς τάξιν τῶν ἰντερδίκτων κινοῦνται. τὸν δὲ περὶ ἰντερδίκτων διαλεγόμενον, ἀναγκαῖον εἰδέναι πότε μὲν περὶ νομῆς λέγει· πότε δὲ ὡσανεὶ περὶ νομῆς. καὶ νομὴ μέν ἐστι σωματικοῦ πράγματος κατοχή. ὡσανεὶ δὲ νομή ἐστιν, ἀσωμάτου πράγματος χρῆσις. καὶ σωματικὸν μέν ἐστιν, οἷον

QVI de actionibus, exceptionibúsq; & replicationibus disseruit, consequẽs est vt & de interdictis disserat, siue de actionibus quæ vice interdictorum exercentur. Sed & is qui de interdictis disputat, scire debet, quando de possessione loquatur, & quãdo de quasi possessione. Et possessio quidem est, corporalis rei detẽtio. Quasi verò possessio est, incorporalis rei vsus. Et corporalis quidem res est, veluti

el fundus, ædes, & quæcunque iis similia sunt. Incorporalis verò, vt vsusfructus, seruitus, & si qua talia. Quum igitur inter duos aliquos de possessione aut quasi possessione controuersia est, Prætoré adeunt, ac totam rem ei exponunt: quoniam in huiusmodi controuersiis sępe contingit & cædes fieri, & vulnera infligi, & ad manus veniri. Rem itaque omnem Prætori ordine exponunt. At is quædam verba inter eos pronuntiat, non litem dirimens, sed ad pedaneum Iudicem remittens, qui de controuersia ipsorũ cognoscat. Dicendum est igitur omnibus in vnum collectis, quid sit interdictũ. Interdictũ ergo est, enuntiatum Prætoris inter duos aliquos, qui de possessione vel quasi possessione cõtendunt emissum, facti quidem speciem causamq́; non incidés, sed quomodo de ea iudicandum sit, iudi-

ἀγρὸς, οἰκεία, καὶ ὅσα τοιαῦτα. ἀσώματον δὲ ἐστιν οἷον usufructus, καὶ δουλεία, καὶ τὰ τούτοις ἐοικότα. ἡνίκα τοίνυν περὶ νομῆς, ἢ ὡσανεὶ νομῆς μεταξὺ δύο τινῶν γίνεται φιλονεικία, ἀπέρχονται πρὸς τὸν πραίτωρα τοῦτο αὐτῷ διηγούμενοι, ἐπειδὴ συμβαίνει πολλάκις, καὶ φόνους πλημμελείας, καὶ τραύματα ἐπάγεσθαι, καὶ πληγὰς ἐπιφέρεσθαι, ἐν ταῖς τοιαύταις φιλονεικίαις, καὶ διηγοῦνται τῷ πραίτωρι τὸ γεγονός. ὁ δὲ λέγει μεταξὺ αὐτῶν ῥήματα τινὰ, οὐ τέμνων τὴν ζήτησιν, ἀλλὰ παραπέμπων αὐτοὺς χαμαιδικαστῇ, ἀκροατῇ γνωσομένῳ τῆς μεταξὺ αὐτῶν φιλονεικίας. δεῖ οὖν συναγαγόντα ὁρίσασθαι, καὶ εἰπεῖν, τί ἐστιν ἰντερδίκτον. ἰντερδίκτον δὲ ἐστιν ὁμιλία πραίτωρος μεταξὺ δύο τινῶν περὶ νομῆς, ἢ ὡσανεὶ νομῆς ἀγωνιζομένων γινομένη, οὐ τέμνουσα τὴν ὑπόθεσιν, ἀλλὰ ῥυθμίζουσα τὴν δικαστὴν, ὅπως χρὴ κρί-

σειν περὶ τῆς ὑποθέσεως. λέγει δὲ ταῦτα τὰ ῥήματα ὁ πραίτωρ, ἢ ὡς κωλύων τι γενέσθαι, ἢ ὡς κελεύων. μάλιστα δὲ ἐπὶ νομῆς χώρα τοῖς ἰντερδίκτοις. διὰ τοῦτο δὲ εἶπον μάλιστα, ἐπειδή ἐστιν ὅτε καὶ νομῆς οὐχ ὑπόκειται λόγος, καὶ ἰντέρδικτον ἁρμόζει.

§. Summa. ¶Ἡ δὲ ἄκρα διαίρεσις τῶν ἰντερδίκτων ἐστὶν αὕτη. ὅτι τῶν ἰντερδίκτων τὰ μέν ἐστι προϊβιτόρια, ἤγουν κωλυτικά. τὰ δὲ ἐξιβιτόρια, ἤτοι παραστατικά. τὰ δὲ ῥεστιτουτόρια, ἤτοι ἀποκαταστατικά. καὶ προϊβιτόρια μέν ἐστιν, ἐν οἷς κωλύει τι γενέσθαι, οἷον ἠπείλει τις ἐπιέναι, καὶ τὴν οὖσαν παρ' ἐμοὶ διαταράττειν νομήν. προσῆλθον ἐγὼ τῷ πραίτωρι, τὴν τοῦ ἀντιδίκου διηγούμενος ἀπειλήν. εἶπον δὲ ἐμαυτὸν ἀνεπιλήπτως νέμεσθαι, καὶ ἀπεφήνατο ὁ πραίτωρ οὕτως λέγων, SINE VITIO POSSIDENTI VIM FIERI VETO. τουτέστι τῷ νεμομένῳ δίχα ἐλαττώματος βίαν γενέσθαι κωλύω.

cem informans. Hæc autem verba dicit Prætor, aut vt prohibens, aut vt iubens, quid fieri. Porrò interdictis vel maximè locus est in possessione. Ideò autẽ dixi, maximè, quoniam interdũ & de possessione quæstio non mouetur, & interdictum tamen cõpetit. ¶ Summa interdictorum diuisio est hæc, quòd interdictorũ alia sint prohibitoria, alia exhibitoria, & alia restitutoria. Et prohibitoria quidem sunt, quibus aliquid fieri Prætor prohibet: veluti, minas aliquis iactabat aduersum me, quasi ingressurus, & possessionem quam habebam turbaturus. Ego prætorem adij, & minas aduersarij exposui, ac sine vitio me possidere dixi. Prætor itaque sic pronuntiauit: SINE VITIO POSSIDENTI VIM FIERI VETO. Sed & in-

ἢ καὶ

terdum aliquis mortuū, cuius ad ipsum cura spectet, in locum aliquem quo ius ei erat inferendi, inferre vult: huic ergo interdictum prohibitorium dabitur, aduersus eum qui prohibere id voluerit. Aut etiam in sacro loco, vel publico flumine ripáve eius aliquis opus aliquod molit, quò per flumē peior fiat nauigatio: Nam & hic prohibitorium interdictū dabitur. Restitutoria autem sunt, quibus restitui aliquid iubet: veluti bonorū possessori, vt reddatur possessio earū rerum, quas alius quis pro herede vel pro possessore possidet. Quid verò sit pro herede aut pro possessore possidere infrà discemus. Aut cùm possessionem fundi mihi restitui iubet, de qua vi deiectus sum. Exhibitoria autem sunt, per quę quid iubet in mediū proferri: veluti fratrē meum apud

ἢ καὶ ἔσθ᾽ ὅτε τις ἐβούλετο λείψανον αὐτῷ διαφέρον, εἴσω ἀγαγεῖν καὶ ἀποθέσθαι ἐν τῷ τόπῳ ἔνθα δίκαιον ἦν αὐτῷ ἀποτίθεσθαι. δοθήσεται αὐτῷ προϊβιτόριον ἰντέρδικτον κατὰ τοῦ βουλομένου ἐπέχειν αὐτόν. ἢ καὶ ἐβούλετό τις, ἐν σακρῷ τόπῳ οἰκοδομεῖν, ἢ καὶ ἐν δημοσίῳ ποταμῷ, ἢ καὶ ἐν ὄχθῃ αὐτοῦ κατασκευάζειν τι δι᾽ οὗ κατασκευάσματος, χείρονα ἐποίει τὸν τοῦ ποταμοῦ πλοῦν. κἀνταῦθα δοθήσεται προϊβιτόριον ἰντέρδικτον. ῥεστιτουτόρια δέ ἐστι, δι᾽ ὧν ἀποκαταστῆσαί τι κελεύει. οἷον τῷ bonorū possessori. ὥστε δοθῆναι τὴν νομὴν τῶν πραγμάτων, ὧν ἕτερός τις, pro hærede, ἢ pro possessore ἐπελάβετο. τί δέ ἐστι pro hærede, ἢ pro possessore, προϊόντες μαθησόμεθα. ἢ ἡνίκα κελεύει ἀποκατασταθῆναί μοι τὴν νομὴν τοῦ ἀγροῦ, ἧς ἐξεβλήθην βίᾳ. ἐξιβιτόρια δέ ἐστιν, ἐν οἷς κελεύει τι εἰς μέσον φέρεσθαι. οἷον ἀποκρύπτοντος τὸν

ἐμὸν

ἐμὸν ἀδελφὸν, λέγων αὐτὸν εἶναι δοῦλον σὸν, ἐμοῦ βουλομένου περὶ τῆς αὐτοῦ δικάσασθαι ἐλευθερίας· ἢ ἀποκρύπτεις τὸν ἐμὸν ἀπελεύθερον, ᾧ τινι βούλομαι ὀπέρας ἐπιθεῖναι. ἢ τὸ πολλάκις τὸν υἱόν μου, ἢ τὸν ἔγγονον τὸν ὑπεξούσιον ἀποκρύπτεις, καὶ βούλομαι τούτους εἰς μέσον ἀχθῆναι. τινὲς δὲ λέγουσιν ἰντέρδικτα κυρίως ἐκεῖνα καλεῖσθαι, ἐν οἷς κωλύει τι γίνεσθαι. ἐπειδὴ interdicere ἐστὶ, τὸ παραγγεῖλαι καὶ κωλῦσαι. τὰ δὲ ῥεστιτουτόρια καὶ ἐξιβιτόρια οὐκ ἰντέρδικτα, ἀλλὰ δέκρετα καλεῖσθαι· παρὰ τὸ decernere, ὅ ἐστι ψηφίσασθαι. ἀλλ᾽ ὅμως ἤρεσε, πάντα προσαγορεύεσθαι interdicta, quia inter duos dicuntur. ἐπειδὴ, μεταξὺ δύο τινῶν λέγεται.

§. Sequens diuisio.

¶ Δευτέρα τῶν ἰντερδίκτων διαίρεσίς ἐστιν αὕτη· ὅτι τῶν ἰντερδίκτων, τινὰ μέν ἐστι τῆς ἀδιπισκένδας ἐνεργείας, ἤτοι προσληπτικῆς. αἰτοῦμεν γὰρ ταῦτα νομῆς δρά-

te occultas, quòd dicas eum seruũ tuum esse: cum ego de libertate eius agere velim. Aut libertum meum apud te occultas, cui operas ego velim indicere. Aut filium meum (quod sæpe contingit) vel nepotem meum qui in potestate mea sunt, apud te occultas, quos ego in medium adduci velim. Sunt tamẽ qui dicant ea propriè interdicta vocari, quibus quid fieri prohibet. Ab interdicẽdo scilicet, quod denuntiare & prohibere significat. Restitutoria verò & exhibitoria, decreta dici: nempe ab eo quod est decernere. Id enim statuere & censere est. Sed tamen obtinuit, vt omnia interdicta appellentur, propterea quòd inter duos quosdã dicantur. ¶ Altera interdictorum diuisio est hæc, quòd interdictorum alia habeant vim adipiscẽdæ possessionis: quoniam ea petimus, cùm adipisci possessionem

ssionem volumus: alia retinendę: alia recuperandę. Et adipiscendę quidē vim habet interdictum, Quorum bonorum, quod bonorū possessori accommodatur. Veluti in hac specie. Mortuus est cognatus meus. In bonis huius petij bonorum possessionem Vnde cognati. Aliqua ex his bonis quidam tenebāt In eorū ego possessionem per interdictū, Quorum bonorum, venire possum. Sed non omnino aduersus quemuis possessorem interdictum hoc mihi dabitur, verū aduersus duos dumtaxat, nēpe aduersus eum, qui pro herede possidet, & aduersus eum qui pro possessore. Et quis pro herede possidet? is qui se heredem putat. Cur autem sic vocetur, paulò latius dicēdū est. Multę sunt adquisitionum rationes: Et quot sunt adquisitionum rationes, totidem sunt & tituli. Titulus verò est pos

ξασθαι βουλόμενοι. τινὰ δὲ τῆς ῥετινένδαι, ἤτοι κατασχετικῆς. τινὰ δὲ τῆς ῥεκουπεράνδαι, ἤτοι ἀναληπτικῆς. καὶ τὸ μὲν ἀδιπισκένδαι ἐνεργείας ἐστὶν, ἤτοι δυνάμεως, τὸ ἰντέρδικτον, τὸ quorum bonorum. ὅπερ δίδοται τῷ bonorū possessori. οἷον ἐπὶ τούτου τοῦ θέματος. ἐτελεύτησεν ὁ ἐμὸς κογνάτος. ᾔτησα τὴν vnde cognati διακατοχὴν ἐπὶ τοῖς τούτου πράγμασι. τινὰ τῶν πραγμάτων διεκράτουν τινὲς, δύναμαι διὰ τοῦ quorū bonorum ἰντερδίκτου, τούτων γενέσθαι ἐπὶ νομῆς. ἀλλ' οὐ κατὰ παντὸς νομέως δοθήσεταί μοι τὸ ἰντέρδικτον. ἀλλὰ κατὰ δύο μόνον, κατὰ τοῦ pro hærede, καὶ κατὰ τοῦ pro possessore. καὶ τίς ἐστι pro hærede? ὁ νομίζων ἑαυτὸν εἶναι κληρονόμον. διὰ τί δὲ οὕτως ὠνόμασται, ἀναγκαῖον εἰπεῖν. πολλαὶ κτήσεων εἰσὶ προφάσεις, καὶ ὅσαι τῶν κτήσεων εἰσὶ προφάσεις, τοσοῦτοι καὶ τίτλοι. τίτλος

δὲ

δέ ἐστιν, ἡ τῆς διακατοχῆς αἰτία. οἷον ἐρωτῶ σε ΠΟΘΕΝ ΝΕΜΗ ΤΟΥΤΟ ΤΟ ΠΡΑΓΜΑ; καὶ λέγεις, ΕΠΕΙΔΗ ΕΔΩΡΗΘΗ ΜΟΙ. καὶ ὁ τίτλος ἐστὶ pro donato. ἢ ΕΠΕΙΔΗ ΗΓΟΡΑΣΑ, καὶ ὁ τίτλος ἐστὶ pro empto. ἢ ΕΙΣ ΠΡΟΙΚΑ ΜΟΙ ΕΠΕΔΟΘΗ, καὶ ὁ τίτλος ἐστὶ pro dote. ἢ ΕΛΗΓΑΤΕΥΘΗ ΜΟΙ, καὶ ὁ τίτλος ἐστὶ pro legato. ἐνταῦθα οὖν ἐρωτώμενος λέγει, ΕΠΕΙΔΗ ΝΟΜΙΖΩ ΕΜΑΥΤΟΝ ΕΙΝΑΙ ΚΛΗΡΟΝΟΜΟΝ. καὶ λέγεται pro hærede. τίς δέ ἐστιν pro possessore? Pro possessore ἐστὶ καὶ λέγεται, ὁ βίαιος ἅρπαξ, ὁ μηδεμίαν εὔλογον ἔχων αἰτίαν τῆς κατοχῆς. ὃς ἐρωτώμενος πόθεν νέμεται λέγει, ΕΠΕΙΔΗ ΝΕΜΟΜΑΙ. καὶ τὴν ἐρώτησιν εἰς ἀπόκρισιν μετατρέπει. οὗτος οὖν λέγεται pro possessore, οὐ διαφερομένων ἡ-

sessionis causa. Veluti rogo te, VNDE HANC REM POSSIDES? Et dicis, QVONIAM MIHI DONATA EST: & titulus est, Pro donato. AVT QVONIAM EMI: & titulus est, Pro empto. AVT IN DOTEM MIHI DATA EST: & titulus est Pro dote. AVT LEGATA MIHI EST: & titulus est, Pro legato. Et hîc ergo, si quis rogetur, dicet: QVONIAM HEREDEM ESSE ME PVTO: & dicitur Pro herede. Quis autem pro possessore possidet? Pro possessore possidet, & dicitur, qui vi rapuit aut abstulit: nec vllã possessionis iustã habet causam, quiq; si rogetur vnde possideat, dicturus sit; QVONIAM POSSIDEO, & interrogationem in responsionem versurus. Hic igitur pro possessore possidere dicitur: nec refert, totam he- [illegible] reditatem

reditatem an rem aliquã possidea. Ideo autẽ in interdicto, Quorum bonorum, adipiscendę possessionis potestas versatur, quia ei tantùm utile est, qui nunc primũ adipisci vult possessionẽ. Huius remedi est & interdictum Saluianum, quod fundi domino datur aduersus colonũ, qui ea, quę in fundum illata & inuecta essent, pignori futura mercedis nomine pepigit. Nã si is cesserit in soluẽdo, aduersus quẽuis res coloni possidentẽ interdicto Saluiano dominus experiri poterit. Si quis ergo nunc primùm adipisci possessionem velit, necessaria sunt ei interdicta adipiscendę possessionis. Sin verò semel ad ptus eam amiserit, ad ea interdicta transeundum ei est, in quibus potestas recuperandę versatur. ¶ Cùm dictum sit de interdictis adipiscendę possessionis, dicamus & de interdi-

μῶν, εἴτε πᾶσαν νέμεται τὴν κληρονομίαν, εἴτε ἓν πρᾶγμα. διὰ τοῦτο δὲ ὑπὸ τὴν ἀδιπισκένδαι ἐνέργειαν ἀνάγεται τὸ quorum bonorum ἰντέρδικτον, ἐπειδὴ χρειῶδές ἐστιν ἐκείνῳ, ὃς πρῶτον βούλεται δράξασθαι νομῆς. τοιοῦτό ἐστι, τὸ σαλβιάνδον ἰντέρδικτον, ὅπερ δίδοται τῷ δεσπότῃ τοῦ ἀγροῦ, κατὰ τοῦ κολωνοῦ τοῦ συμφωνήσαντος, ὥς τε τὰ εἰσαχθέμενα ὑπ' αὐτοῦ ἐν τῷ ἀγρῷ πράγματα, ὑποκεῖσθαι ἐν τῷ μισθώματι. ἐὰν γὰρ ἀγνωμονήσῃ, κατὰ παντὸς κατέχοντος τὰ τοῦ κολωνοῦ πράγματα κινηθήσεται τὸ σαλβιάνειον ἰντέρδικτον. εἰ μὲν οὖν θελήσει τις πρῶτον δράξασθαι νομῆς, ἔστιν αὐτῷ ἀναγκαῖα τὰ ἰντέρδικτα τῆς ἀδιπισκένδαι νομῆς. εἰ δὲ δραξάμενος ἐκπέσῃ, χρὴ αὐτὸν τότε μετιέναι ἐπὶ τὰ ἰντέρδικτα, ἅπερ ἐστὶ τῆς ῥεκουπεράνδαι ἐνεργείας. ¶ Εἰπόντες τὰ τῆς ἀδιπισκένδαι ἐνεργείας, εἴπωμεν τὰ τῆς ῥετι-

8. Retinendę.

νένδ

νέσθαι. τοιοῦτόν ἐστι, τὸ uti possidetis, καὶ τὸ utrubi. χώραν δὲ ἔχει ἐπὶ τούτου τοῦ θέματος. συνέβη με δράξασθαι οἰκέτου τινὸς, παρόντος σοῦ. καὶ λέγοντός μου τοῦτον ἐμὸν εἶναι οἰκέτην, διεβεβαίου σεαυτὸν εἶναι δεσπότην. καὶ ἑκάτερος ἡμῶν εἰς ἑαυτὸν μετέφερε τὴν δεσποτείαν. τελευταῖον εἶπον ἐγώ, εἰ νομίζεις σεαυτὸν εἶναι δεσπότην, ἰδοὺ ἐγὼ νέμομαι τὸν οἰκέτην, κίνησον κατ' ἐμοῦ τὴν in rem. καὶ ἀποδείξας λήψη τὸν οἰκέτην. ἔλεγες δὲ καὶ σὺ τὰ αὐτὰ, ὅτι ἐγὼ νέμομαι, καὶ σὺ μᾶλλον κίνησον κατ' ἐμοῦ τὴν in rem. καὶ πρότερον ἀρξάμενοι περὶ δεσποτείας, ἔλθωμεν εἰς τὸν λόγον περὶ τῆς νομῆς. δεῖ γοῦν διακελθῶσαι καὶ γνῶναι, τίς ἐστιν ὁ ῥέος, τίς δὲ ὁ ἄκτωρ. ἐπειδὴ οὐδὲ κατὰ τὸ πολιτικὸν, οὐδὲ κατὰ τὸν φυσικὸν λόγον προβήσεται δικαστήριον, εἰ μὴ γνῶμεν, τίς ἐστιν ὁ ἐνάγων, τίς δὲ ὁ ἐναγό-

ctis retinendę possessionis. Huiusmodi autem est interdictum, Vti possidetis, & interdictum Vtrubi. Quę tali ferè in specie locum habent. Euenit, vt ego seruum aliquē nanciscerer, idque pręsente te. Cum ego meum esse illū dicerem: tu contrà, te eius esse dominū affirmabas. Atq; ita vterque nostrum ad se trahebat dominiū serui. Ad extremū, ego sic locutus sum. Si tu te dominum esse putas, en ego seruū possideo, in rem mecum agito: & si probaris, habebis eum. Eadem & tu dicebas. Immò verò ego eum possideo: & tu potius mecum in rem agito. Initio igitur controuersię coorto de serui proprietate, eò veniendum est, vt de possessione quęramus. Illud enim in primis discerni ac cognosci oportet, vter reus sit, vter actor. Quoniam neq; ius ciuile id recipit, neque naturalis ratio admittit, vt iudicium procedat, nisi nouerimus, quis petitor

titor sit, & à quo petatur. Potior est autem in iudiciis rei causa, quàm actoris. Atque ideo plerunque in gentes existũt contẽtiones de ipsa possessione, vtrius scilicet ea sit. Possessionis autem cõmodũ in hoc est, quòd quamuis res, de qua agitur, posidentis non sit, interdum tamen causam obtineat, cùm videlicet actor probare non potest proprietatẽ ad se pertinere. Quapropter cùm incertũ est, actor an reus domin⁹ sit, pro reo fertur sententia. Sẽper enim cùm actor in probatione deficit (namque is onus probandi sustinet) victoria reo paratur. ¶ Hæc igitur duo interdicta, retinendæ possessionis sunt. Est tamen non nihil inter ea differentiæ: Nam interdictum Vti posidetis in rebus immobilib⁹ veluti in fundo aut ædibus locũ habet: interdictũ autem Vtrubi, in rebus mobilibus. ¶ Ipso portò interdicto Vti

μένος. κάλλιον δὲ ἐν τοῖς δικαστηρίοις, ὁ ῥέος τοῦ ἄκτωρος. καὶ διὰ τοῦτο ὡς ἐπὶ τὸ πλεῖστον, μεγάλαι ἀναφύονται φιλονεικίαι περὶ αὐτῆς τῆς νομῆς, παρά τινι αὐτὴ τυγχάνει. ἔστι γὰρ τὸ κέρδος τοῦ νεμομένου ἐν τούτῳ, ὅτι εἰ καὶ μὴ αὐτοῦ ἐστι τὸ πρᾶγμα τοῦ νεμομένου, ἔσθ᾽ ὅτε τὴν δίκην νικᾷ ὁ ῥέος, τοῦ ἄκτωρος μὴ δυνηθέντος ἀποδεῖξαι προσεῖναι αὐτῷ τὴν δεσποτείαν. διὸ ἡνίκα ἄδηλόν ἐστι, πότερον ὁ ἐνάγων, ἢ ὁ ἐναγόμενος ἐστὶ δεσπότης, ὑπὲρ τοῦ ῥέου ἐκφέρεται ἡ ἀπόφασις. ἀεὶ γὰρ ἡ ἀσθένεια τῆς ἀποδείξεως τοῦ ἄκτωρος (αὐτὸς γὰρ εἴωθε βαρύνεσθαι ταῖς ἀποδείξεσι) νίκην περιποιεῖ τῷ ῥέῳ. ¶ Τὰ μὲν οὖν δύο ἰντέρδικτα, τῆς ῥετινένδας ἐστὶν ἐνεργείας. διαφορὰ δέ ἐστιν αὐτῶν μεταξὺ· ὅτι τὸ μὲν vti possidetis, ἐπὶ τῶν ἀκινήτων, οἷον ἀγροῦ, καὶ οἰκίας χώραν ἔχει, τὸ δὲ vtrubi ἐπὶ τῶν κινητῶν. ¶ Νικᾷ δὲ ἐπὶ τοῦ vti possi

f. Sed inter dicto.

f. Quorum

possidetis ἰντερδίκτῳ ἐκεῖνος, ὃς νέμεται ἀνεπιλήπτως τὸν ἀγρὸν κατ' ἐκεῖνον τὸν χρόνον, ὅτε ὁ πραίτωρ ἐδίδου τὸ ἰντέρδικτον, τουτέστιν οὔτε βιασάμενος, οὔτε λάθρα λαβὼν, οὔτε κατ' ἀξίωσιν. εἰ καὶ τὰ μάλιστα γὰρ ἕτερον βιασάμενος νέμομαι ἐγὼ τὸν ἀγρὸν, ἢ λάθρα ἔλαβον παρ' ἑτέρου, ἢ ἕτερον παρακαλέσας γέγονα ἐν νομῇ, πλὴν ἡνίκα μηδὲν τοιοῦτον πέπρακταί μοι πρὸς σὲ, ἐν τῷ ἀγῶνι νικῶ σε τοῦ ἰντερδίκτου. ἐπὶ δὲ τοῦ vtrubi οὗτος νικᾷ, ὅς τις εἰς τοὐπίσω ἀνακαλουμένου τοῦ ἐνιαυτοῦ, τὸν πλείονα χρόνον ἐνεμήθη, οἷον ἐνεμήθην ἐγὼ ἑπτὰ μῆνας, σὺ πέντε τοὺς τελευταίους, ἐγὼ νικήσω. λοιπὸν οὖν τῆς νομῆς ἐμοὶ ἀποδοθείσης, τότε σὺ ἄκτωρ γενόμενος, ταῖς ἀποδείξεσι βαρυνῇ. ἀλλὰ ταῦτα μὲν πάντα τὸ παλαιόν. σήμερον δὲ ἑτέρως ταῦτα παραφυλάττεται, οὐδεμιᾶς διαφορᾶς, ἐπὶ τῇ ἐξετάσει τῆς νομῆς, τῶν ἰντερδίκτων φυλαττομένης.

possidetis vincit, qui eo tépore, quo Prætor interdicit, sine vitio fundũ possidet. hoc est neque vi inuasum, neque clàm arreptum, neque precariò concessum. Sed quamuis alteri vim fecerim vt possiderem, aut ab altero clam arripuerim, aut ab altero precariò rogauerim possessionem: dum nihil aduersus te huiusmodi cõmiserim, vincere te debeo in hoc interdicto. In interdicto autem Vtrubi, is vincit, qui maiore parte eius anni (qui retrò legendus est) possedit. Veluti septem ego mẽses possedi, tu quinque postremos, ego te vincam. deinceps ergo tu possessione mihi restituta, actor factus, onere probandi grauaberis. Et ita quidẽ olim hæc in vsu erant. Sed hodie aliter ea obseruantur: nulla facta differẽtia inter vtrumq; interdictum, quantum attinet ad quæstionẽ possessionis.

νης.

Is enim vincit, siue res soli sit, siue mobilis, qui litis contestatæ tempore sine vitio possidet. Non amplius igitur quærimus vter interdicti reddendi tēpore possideat, neq; vter maiore parte anni possederit.

¶ Possidemus autē non solùm per nosmetipsos, aut eos, quos in potestate habemus: verumetiam per alios, qui in potestate nostra non sunt. Quod genus est, qui fundū à nobis conduxit: ac inquilinus, & is apud quem deposui, vel cui cōmodaui rem meam. Nam illis naturaliter possidentibus, ego ciuiliter possideo. Et hoc scilicet illud est, quod vulgo dicitur possessionem retinere me posse per alium qui nomine meo in possessione sit. Enimuerò potest quis animo possessionē retinere, quā-nis neque ipse, neq; alius quisquam nomine eius in possessione rerum sit tnem

νης. ἐκεῖνος γὰρ νικᾷ, εἴτε ἀκίνητον, εἴτε κινητὸν ἐστὶ τὸ πρᾶγμα, ὃς νέμεται ἀνεπιλήπτως τὸν ἀγρὸν, κατὰ τὸν καιρὸν τῆς προκαταρξεως. ὥστε οὐκ ἔτι σκοποῦμεν τίς ἐνέμετο, ὅτε ἐδίδοτο τὸ ἰντέρδικτον· οὐδὲ τίς ἐνεμήθη τὸν πλείονα χρόνον τοῦ περιλαβόντος ἐνιαυτοῦ.

¶ Νεμόμεθα δὲ, οὐ μόνον δι' ἡμῶν αὐτῶν, ἢ διὰ τῶν ἡμετέρων ὑπεξουσίων, ἀλλὰ καὶ δι' ἑτέρων, οἳ οὐκ εἰσὶν ἡμῖν in potestate. ὁποῖός ἐστιν ὁ μισθωσάμενος παρ' ἡμῶν τὸν ἀγρόν· καὶ ὁ ἔνοικος· κἀκεῖνος, ᾧ παρεθέμην, ἢ ᾧ ἔχρησα τὸ ἐμὸν πρᾶγμα. ἐκείνων γὰρ κατεχόντων φυσικῶς, ἐγὼ τῷ νόμῳ νέμομαι. καὶ τοῦτό ἐστι τὸ πανταχοῦ λεγόμενον, δύνασθαι νομὴν παρακατέχειν δι' ἑτέρου, ὃς ἐμοῦ ὀνόματί ἐστιν ἐν κατοχῇ. ψυχῇ δὲ δύναταί τις παρακατέχειν νομήν. εἰ καὶ τὰ μάλιστα γὰρ μήτε αὐτὸς, μήτε ὀνόματι αὐτοῦ ἐστί τις ἐν κατοχῇ τοῦ πράγματος, ἀλλὰ

§.Posside-

κατέλιπε τὸ πρᾶγμα, οὐ ψυχῇ καταφρονοῦντος, ἀλλ' ἐν ἐλπίδι, τοῦ μετὰ ταῦτα ὑποστρέφειν εἰς αὐτὸν, καὶ οὕτω δοκεῖ παρακατέχειν τὴν νομήν. τοῦτο δὲ γίνεται ἐπὶ ἀγρῶν, ἢ προαστείων. καταλιμπάνομεν γὰρ ταῦτα ὥρᾳ χειμῶνος, διὰ τὸ ἀνεπιτήδειον τῆς οἰκήσεως, ἐλπίζοντες καιροῦ καλοῦντος τοὺς αὐτοὺς καταλήψεσθαι τόπους. ψυχῇ δὲ πρώτης δράξασθαι νομῆς οὐ δυνατόν. οἷον ἐπώλησάς μοι κτήματα, διακείμενα ἐν τῇ δε τῇ ἐπαρχίᾳ. ἠθέλησάς μοι ταῦτα παραδοῦναι, οὔτε ἐγὼ δύναμαι καταλαβεῖν τοὺς τόπους ἐκείνους, ἤγουν οὐκ ἀνέχομαι, οὔτε τινὰ τὸν παραληψόμενον πέμψαι. οὐ δύναμαι λέγειν σοι, ὍΤΙ ἈΠΌΣΤΗΘΙ ΤΩ͂Ν ΚΤΗΜΆΤΩΝ, ἐγὼ γὰρ ταῦτα ψυχῇ νέμομαι. ψυχῇ γὰρ πρώτης δράξασθαι νομῆς οὐ δυνατόν. τὴν δὲ σώματί μοι παραδοθεῖσαν νομὴν, ψυχῇ

pe si non ea mente rem reliquit, quòd eam aspernaretur, sed cùm speraret fore, vt postea ad eã rediret. Nam & ita possessionem videtur retinere. Id autẽ maximè contingit in agris & prædiis suburbanis: Ab his enim sub hyemis tẽpus discedimus propter incommodam habitationem, sperãtes fore, vt cùm tẽpus inuitauerit, eodẽ reuertamur. Iam primum verò possessionem adipisci solo animo nõ possumus: veluti prædia quædam, quæ in illa prouincia sita sunt, mihi vendidisti. Volebas ea mihi tradere. Ego nec accipere ea ex distante terrarum spatio possum: nec aliquẽ illuc mittere in animũ induco, qui accipiat. Dicere ego tibi non potero, DISCEDE A PRAEDIIS ILLIS, quoniam ego ea animo possideo. Nã id fieri non potest, vt solo animo iam primum possessionem nanciscar. Sed possessionem semel mihi corporaliter traditam, solo animo

mo retinere possum. Qui autē sint, per quos adquiri possessio queat, plenè suprà libro secūdo exposuimus.

